μόνου[1] μακροθύμου καὶ ἀγαθοῦ, ἐπὶ τῇ τοῦ βίου συντελείᾳ ὡρίσθη γενέσθαι[2] κρίσις, ἵνα οἱ ἀγαθοὶ τοῦ λοιποῦ τῶν ἀπορρήτων ἀγαθῶν ἀϊδίως ἀπολαύσωσιν, οἱ δὲ ἁμαρτωλοὶ εὑρεθέντες ὡς κακοὶ ἀπορρήτου κολάσεως τεύξωνται[3] τὸν αἰῶνα. καὶ ταῦτα μὲν οὕτως ἔχειν, εἰ μὴ ὁ τῆς ἀληθείας προφήτης ἐνόρκως εἰρήκει[4] ἔσεσθαι, τάχα ἂν εὔλογον ἦν ἀμφιβάλλειν.

XI. Διὸ προφήτου ἀληθοῦς[5] ὄντες μαθηταί, ἀποθέμενοι τὴν διχόνοιαν ἐξ ἧς γίνεται ἡ κακοπραξία, προθύμως τὸ εὐποιεῖν ἀναδέξασθε. εἰ δὲ περὶ τῶν εἰρημένων ἔσεσθαι ἀμφιβάλλει τις ὑμῶν, μὴ αἰδεσθεὶς ὁμολογήτω, εἴπερ τῆς αὐτοῦ φροντίζει ψυχῆς, καὶ ὑπὸ τοῦ προεστῶτος πληροφορηθήσεται. εἰ δ' ὀρθῶς πεπίστευκε, θαρρῶν πολιτεύεσθω, ὡς μέγα καταδίκης πῦρ φεύγων καὶ εἰς ἀΐδιον ἀγαθῶν[6] Θεοῦ βασιλείαν εἰσερχόμενος.

XII. Οἱ μὲν οὖν τῆς ἐκκλησίας διάκονοι τοῦ ἐπισκόπου συνετῶς[7] ἐμβόμενοι ἔστωσαν οἱ[8] ὀφθαλμοί, ἑκάστου τῆς ἐκκλησίας πολυπραγμονοῦντες τὰς πράξεις, τίς μέλλει ἁμαρτάνειν, ἵνα νουθεσίᾳ καταληφθεὶς ὑπὸ τοῦ προκαθεζομένου τάχα οὐ μὴ τελέσῃ[9] τὸ ἁμάρτημα· τοὺς λειποτάκτας ἐπιστρεφέτωσαν, τοῦ μὴ ἐπιλείπειν τοὺς[10] συνερχομένους τῶν λόγων ἐπακούειν, ὅπως τὰς ἑκάστοτε τῇ καρδίᾳ προσπιπτούσας ἀθυμίας ἔκ τε βιωτι-

finitum est? ut boni deinceps ineffabilibus bonis perpetuo fruantur, qui vero peccatores inventi fuerint, tamquam mali inenarrabili supplicio afficiantur in sempiternum. Et ista quidem ita se habere, nisi veritatis Propheta futurum jurejurando affirmasset, forte par erat dubitare.

XI. Quocirca cum sitis veri Prophetae discipuli, deposita vacillatione animi, ex qua mala opera oriuntur, alacriter bene agere recipite. Quod si circa ea quae futura diximus aliquis vestrum ambigit, non erubescat confiteri, si quidem curam habet animae suae, et a praeposito satisfiet ipsi: sin vero recte credidit, confidens vivat, quasi qui magnum condemnationis ignem effugerit, et in aeternum bonorum Dei regnum sit ingressurus.

XII. Porro Ecclesiae Diaconi Episcopo sint, scite oberrando, oculi; singulorum Ecclesiae hominum opera perscrutantes, quis peccato proximus sit, quo a praeside admonitione praeventus peccatum forte non perficiat. Ecclesiae desertores corrigant, ut non desistant congregati audire sermones, quo animi molestias, quae passim cordi ex mundanis casibus et pravis colloquiis

1. *μόνου* haud dubie mutandum in *μόνον*. In hoc tantum aevo, ait auctor epistolae, Deus se exhibet *μακρόθυμον καὶ ἀγαθόν*, in altero aevo exercebit *δικαιοσύνην*. S.
2. *γενέσθαι ὡρίσθη* C.
3. *τεύξονται* O.
4. *εἰρήνης* O.
5. Ita O c. Ruf., *ἀληθῶς* C.
6. *ἀϊδίαν ἀγαθὴν* C.
7. „cum verecundia“ Ruf., quasi legerit *σὺν αἰδοῖ*. Cfr. Const. Apost. II, 44, Hom. III, 67. S.
8. *οἱ* addidi c. O.
9. *τελεύσῃ* C.
10. Expungendum *τοὺς*, nisi alia corruptela in reliquis latet. S.

www.libtool.com.cn

κῶν συμπτώσεων καὶ ὀμελιῶν κακῶν λόγῳ [1] ἀληθείας καθαίρεσθαι δύνωνται· ἐπεὶ γὰρ ἂν χρόνῳ πολλῷ χερσεύσωσιν [2], πυρὸς ἔργον γίνονται. τοὺς δὲ καὶ κατὰ σάρκα νοσοῦντας μανθανέτωσαν καὶ τῷ ἀγνοοῦντι πλήθει προσαντιβαλλέτωσαν, ἵν' [3] ἐπιφαίνωνται, καὶ τὰ δέοντα ἐπὶ τῇ τοῦ προκαθεζομένου γνώμῃ παρεχέτωσαν. τοῦτο δὲ κἂν λάθρα αὐτοῦ ποιῶσιν, οὐχ ἁμαρτάνουσιν [4]. ταῦτα μὲν οὖν καὶ τὰ τούτοις ὅμοια οἱ διάκονοι προνοήτωσαν [5].

XIII. Οἱ κατηχοῦντες πρῶτον κατηχηθέντες κατηχήτωσαν [6]· ὅτι περὶ ψυχῶν [7] ἀνθρώπων τὸ ἔργον· πρὸς γὰρ τὰς πολλὰς τῶν μανθανόντων γνώμας συναρμόζεσθαι δεῖ τὸν τῶν λόγων ὑφηγητήν. πολυμαθὴ οὖν καὶ ἀνεπίληπτον, πολύπειρόν [8] τε καὶ δῆλον τὸν κατηχοῦντα εἶναι δεῖ, ὡς αὐτοὶ εἴσεσθε [9] Κλήμεντα μετ' ἐμὲ κατηχεῖν μέλλοντα. πολὺ γάρ ἐστιν ἐμὲ νῦν τὸ κατ' εἶδος λέγειν. πλὴν ἐὰν ὁμονοήσητε, δυνήσεσθε εἰς τὸν τῆς ἀναπαύσεως ἐνεχθῆναι λιμένα, ἔνθα μεγάλου βασιλέως ἐστὶν εἰρηνικὴ [10] πόλις.

XIV. Ἔοικε [11] γὰρ ὅλον τὸ πρᾶγμα τῆς ἐκκλησίας νηῒ μεγάλῃ, διὰ σφοδροῦ [12] χειμῶνος ἄνδρας φερούσῃ ἐκ πολλῶν τόπων ὄντας καὶ μίαν

incidunt, verbo veritatis possint purgare; si etenim multo tempore inculti manent, ignis materia fiunt. Quinetiam Diaconi corpore aegros perquirant et ignoranti plebi indicent, ut appareant atque visitent; et necessaria ex praesidis sententia praebeant. Hoc vero quamvis clam eo fecerint, non peccabunt. Ista equidem et illis similia Diaconis curae sint.

XIII. Qui alios in religione instituunt, ipsi prius instructi alios instruant: quia de hominum animis agitur. Oportet quippe ad multas discentium sententias et voluntates aptari eum, qui verbum Dei subministrat et docet. Sit ergo necesse est Catechista valde doctus, irreprehensibilis, multa expertus et perspicuus; sicut ipsi experiemini fore Clementem, post me Catechistae officio functurum. Longum enim est nunc me singula recensere. Verum si concordiam tenueritis, poteritis portum quietis attingere, ubi Regis summi exstat urbs pacifica.

XIV. Similis namque est totus Ecclesiae status navi magnae, quae per validam tempestatem fert viros diversorum locorum unam boni regni civitatem incolendi

1. Ita O et Ruf. „praedicatione veritatis“, λόγια C.
2. ὠχερσεύσωσι O.
3. ἵνα C.
4. Ita O c. S, ἁμαρτάνωσιν C. Tum addidi οὖν c. O.
5. προνοείτωσαν O.
6. κατηχείτωσαν O.
7. ψυχῆς C.
8. πέπειρόν C. Subinde ἄδειλον (impavidus) Ruf., quod commendat S.
9. Lectionem εἴσεσθε „ut ipsi experiemini“ largitus est O. Ita Cotelerii conjectura non opus est, qui Infinitivo ἔσεσθαι expresso post αὐτοὶ deesse δοκιμάσετε vel quid simile opinabatur. „sicut ipsi probabitis fore Clementem hunc post me“ Ruf.
10. εἰρήνη O.
11. O in marg. man. rec. ἐν τῷ β' τῶν διατάξεων ἐν κεφ. ιζ'.
12. σφοδρῶς O.

www.libtool.com.cn

τὴν[1] ἀγαθῆς βασιλείας πόλιν οἰκεῖν θέλοντας. ἔστω μὲν οὖν ὑμῖν ὁ ταύτης δεσπότης Θεός, καὶ παρεικάσθω ὁ μὲν κυβερνήτης[2] Χριστῷ, ὁ πρωρεὺς ἐπισκόπῳ, οἱ ναῦται πρεσβυτέροις, οἱ τοίχαρχοι διακόνοις, οἱ ναυστολόγοι τοῖς κατηχοῦσιν, τοῖς ἐπιβάταις τὸ τῶν ἀδελφῶν πλῆθος, τῷ βυθῷ ὁ κόσμος, αἱ ἀντίπνοιαι τοῖς πειρασμοῖς[5], οἱ δὲ διωγμοὶ καὶ οἱ κίνδυνοι καὶ αἱ παντοδαπαὶ θλίψεις ταῖς τρικυμίαις, τὰ δὲ ἀπόγεια[5] τῶν χειμάρρων καὶ τὰ φυσήματα ταῖς τῶν πλάνων καὶ τῶν ψευδοπροφητῶν ὁμιλίαις, τὰ δὲ ἀκρωτήρια καὶ τὰ τραχέα τῶν τόπων τοῖς ἐν ὑπεροχαῖς δεινὰ ἀπειλοῦσι δικασταῖς, διθάλασσοι δὲ καὶ θηριώδεις τόποι τοῖς ἀλογίστοις καὶ ἐνδοιάζουσι περὶ τῶν τῆς[6] ἀληθείας ἐπαγγελμάτων. οἱ ὑποκριταὶ τοῖς πειραταῖς παρεικασμένοι νοείσθωσαν· πλὴν ἰσχυρὰν ἴλιγγα καὶ ταρταρείαν[7] χάρυβδιν καὶ φόνια προσρήγματα καὶ θανατώδεις διαλύσεις μόνας[8] τὰς ἁμαρτίας εἶναι νομίζετε. ἵνα οὖν οὐρίᾳ[9] πλέοντες εἰς τὸν λιμένα τῆς ἐλπιζομένης πόλεως ἀκινδυνότεροι ἐνεχθῆτε, ἐπηκόως εὔχεσθε· εὐχαὶ δὲ ἐπήκοοι γίνονται ταῖς εὐπραγίαις.

XV. Εὐσταθείτωσαν[10] οὖν οἱ ἐπιβάται ἑδραῖοι ἐπὶ τῶν ἰδίων καθεζόμενοι τόπων, ἵνα μὴ τῇ ἀταξίᾳ σεισμὸν ἢ ἑτεροκλινίαν παρέχωσιν. οἱ ναυστολόγοι τοὺς μισθοὺς ὑπομιμνησκέτωσαν. οἱ διάκονοι μηδὲν ἀμελεί-

cupidos. Sit ergo vobis navis dominus Deus: et assimilentur gubernator quidem Christo, proreta Episcopo, nautae Presbyteris, praefecti laterum Diaconis, naustologi Catechistis, vectoribus universa fratrum multitudo, mari mundus, venti adversi tentationibus, persecutiones vero et pericula et omnigenae afflictiones decumanis fluctibus, ex continenti venientes torrentes et flatus sermonibus seductorum ac pseudoprophetarum, at promontoria et loca confragosa judicibus dignitate eminentibus et crudelia minantibus, loca autem bimaria et fera iis hominibus qui ratione carent ac de promissionibus veritatis dubitant; hypocritae piratis similes habeantur: sed et validum vorticem et tartaream Charybdin et cruenta fragmina et mortiferas subversiones sola esse peccata existimate. Quo igitur vento secundo navigantes in urbis speratae portum absque gravi periculo deferamini, orate precibus quae exaudiri dignae sint: preces autem tales fiunt bonis operibus.

XV. Itaque in quiete firmi maneant epibatae, in propriis locis sedentes; ne perturbato ordine concussum et ad alterum latus inclinationem excitent. Naustologi de mercede commoneant. Diaconi nihil eorum quae ipsis credita

1. τινὰ C. Postea ἔστω μὲν ἡμῖν O.
2. κυβερνήτης O.
3. περισπαγμοῖς O.
4. αἱ adjunxi ex O.
5. Ita O et ex conjectura C, ἀπόγια id. in textu. Tum ταῖς ὁμιλίαις O c. S, αἱ — ὁμιλίαι C. τῶν ante ψευδοπροφητῶν accessit ex O.
6. τῶν O.
7. Ita S, ταρταρέα C, ταρταραιαν O.
8. Conjectaverim τεὼς. S. Tum post ἁμαρτίας O praebet αἰτίας.
9. οὖρια O.
10. Εὐσταθήτωσαν C. Postea οἰκείων pro ἰδίων O.

www.hbook.com.cn

τωσαν [1] ὧν ἐπιστεύθησαν, οἱ πρεσβύτεροι ὥσπερ ναῦται καταρτιζέτωσαν ἐπιμελῶς τὰ χρήζοντα ἑκάστῳ. ὁ ἐπίσκοπος ὡς πρωρεὺς ἐγρηγορὼς τοῦ κυβερνήτου μόνου τοὺς λόγους ἀντιβαλλέτω. ὁ Χριστὸς [2] καὶ [3] σωτήρ, κυβερνήτης φιλείσθω, καὶ μόνος περὶ ὧν λέγει πιστευέσθω. οἱ δὲ πάντες τῷ Θεῷ περὶ τοῦ εὐρίᾳ [4] πλέειν προσευχέσθωσαν. οἱ πλέοντες πᾶσαν [5] θλῖψιν προσδοκάτωσαν, ὡς μέγαν [5] καὶ ταραχώδη βυθὸν παραπλέοντες, τὸν κόσμιον· ὁτὲ [6] μὲν ἀθυμιοῦντες, διωκόμενοι, σκορπιζόμενοι, πεινῶντες, διψῶντες, γυμνητεύοντες [7], στενοχωρούμενοι· καὶ πάλιν ὁτὲ [8] μὲν ἐνούμενοι, συναυλιζόμενοι, ἡσυχάζοντες· ἀλλὰ καὶ ναυτιῶντες, ἰλιγγιῶντες, ἀπεμιῶντες [9], τουτέστιν ἐξομολογούμενοι τὰ παραπτώματα ὥσπερ νοσοποιοὺς χολάς, τὰς ἐκ πικρίας ἁμαρτίας λέγω καὶ τὰ ἐξ ἐπιθυμιῶν ἀτάκτων σωρευθέντα κακά, ἄτινα τῷ ὁμολογῆσαι ὥσπερ ἀπεράσαντες [10] κουφίζεσθε τῆς νόσου, προσιέμενοι τὴν ἐκ τῆς ἐπιμελείας σωτήριον ὑγείαν.

XVI. Πλὴν γινώσκετε πάντες πάντων ὑμῶν πλεῖον κάμνοντα τὸν ἐπίσκοπον, ὅτι ἕκαστος ὑμῶν τὴν αὐτοῦ θλῖψιν πάσχει, αὐτὸς δὲ τὴν αὐτοῦ καὶ τὴν ἑκάστου. διό, ὦ Κλήμης, ἑκάστῳ κατὰ τὸ δυνατὸν προκαθέσθητι βοηθός, τὰς πάντων φορτισθεὶς φροντίδας. ὅθεν τό σε οἰκο-

sunt negligant. Presbyteri velut nautae diligenter praeparent unicuique necessaria. Episcopus tamquam proreta vigilanter solius gubernatoris doctrinam secum reputet. Christus ac Salvator ut gubernator diligatur, solusque in iis quae dicit credatur. Cuncti vero Deum de prospera navigatione orent. Navigantes omnem angustiam exspectent, ut qui magnum ac turbidum pelagus transfretent, mundum scilicet: interdum quidem afflicti, persecutionem patientes, dissipati, esurientes, sitientes, nudi, coangustati; rursus autem interdum adunati, congregati, quieti; sed et nauseantes, vertigine affecti, vomentes, hoc est confitentes delicta tamquam morbidam bilem, peccata dico ex amaritudine profecta, et mala ex inordinatis cupiditatibus accumulata, quae per confessionem veluti evomentes a morbo allevamini, recipientes salutarem ex sedulitate sanitatem.

XVI. Cuncti tamen scitote, plus vobis omnibus Episcopum laborare: quoniam unusquisque vestrum suam patitur molestiam, ille vero suam et singulorum. Quocirca, o Clemens, ita praeside, ut unicuique pro viribus sis adjutor, qui omnium sollicitudinibus onustus es. Unde quod hanc dispensationem susci-

1. ἀμελήτωσαν C.
2. τοῦ Χριστοῦ Ruf. interpunctione mutata.
3. ὁ C. Excidisse fortasse ὡς post σωτήρ suspicatur S.
4. οὔρια O.
5. μέγα C.
6. Ita O c. S, ὅτε C.
7. γυμνιτεύοντες O.
8. Ita S, ὅτε C, ὅ τὲ O. ὁτὲ μὲν vitiose in textum irrepsisse putat S. Tum συναλιζόμενοι C.
9. ἀπερῶντες O.
10. ἀπεμήσαντες C. Dein προθέμενοι pro προσιέμενοι var. lect. ap. C.

www.libtool.com.cn

νομεῖν ἀναδέξασθαι, χάριν οἶδα εἰληφὼς οὐ δεδωκώς· ἀλλὰ θάρρει[1] καὶ γενναίως φέρε, ὡς εἰδὼς ὅτι ἀποδώσει σοι ὁ Θεὸς εἰς τὸν λιμένα τῆς ἀναπαύσεως καταντήσαντι τὸ μέγιστον τῶν ἀγαθῶν, ἀναφαίρετον μισθόν, καθ' ὅτι[2] ὑπὲρ τῆς τῶν πάντων σωτηρίας τὸν μείζονα ἀνεδέξω κάματον. ὥστε ἐάν σε πολλοὶ τῶν ἀδελφῶν διὰ τὴν ἐπ' ἄκρον[3] δικαιοσύνην μισήσωσιν, τὸ αὐτῶν μὲν μῖσος οὐδέν σε βλάψει, ἡ δὲ τοῦ δικαίου Θεοῦ φιλία πολύ σε ὀνήσει[4]. ὥστε πειρῶ τὸν ἐξ ἀδικίας γινόμενον ἔπαινον ἀποσείεσθαι, διὰ δὲ δικαίαν διοίκησιν τὸν ἐκ Χριστοῦ ἐπωφελῆ θηρεύειν ἔπαινον.

XVII. Ταῦτα εἰπὼν καὶ τὰ[5] τούτων πλείονα πάλιν τῷ πλήθει προσεμβλέψας εἶπεν· καὶ ὑμεῖς δέ, ἀγαπητοί μου ἀδελφοὶ καὶ σύνδουλοι, τῷ προκαθεζομένῳ ἀληθείας κατὰ πάντα ὑπείξατε, τοῦτ'[6] εἰδότες, ὅτι ὁ τοῦτον λυπήσας Χριστόν, οὗ τὴν καθέδραν πεπίστευται, οὐκ ἐδέξατο, καὶ ὁ[7] Χριστὸν μὴ δεξάμενος ὡς ἀθετήσας τὸν πατέρα λογισθήσεται, διὸ τῆς ἀγαθῆς βασιλείας ἀποβληθήσεται. οὗ εἵνεκεν πειρᾶσθε, κατὰ πάσας συνόδους ἔρχεσθαι[8], ἵνα μὴ ὡς λειποτάκται ὑπὸ τῆς τοῦ ταξιάρχου ἀθυμίας ἁμαρτίας ἔγκλημα λάβητε. διὸ πρὸ πάντων οἱ πάντες τὰ ὑπὲρ αὐτοῦ φρονεῖτε, τοῦτ'[9] εἰδότες ὅτι δι' ἕκαστον ὑμῶν ὁ πονηρὸς αὐτῷ μόνῳ τὸ

pis, scio me gratiam accipere, non dare: sed confide et fortem te praesta, tamquam qui scias quod tibi Deus, in requietis portum appellenti, retribuet summum bonorum, mercedem stabilem, quandoquidem pro universorum salute majorem suscepisti laborem. Adeo ut si multi ex fratribus te ob supremam justitiam odio habuerint, eorum quidem odium nullatenus te laedet, justi autem Dei amicitia multum tibi conducet. Itaque nitere laudem injustitia partam depellere, per justam vero administrationem sectari utilem laudem ex Christo provenientem.

XVII. Haec et alia plura cum protulisset, rursus multitudinem intuens dixit: et vero vos, dilecti mei fratres et conservi, praesidi veritatis in omnibus obsecundate, illud scientes, quod qui hunc contristaverit, Christum, cujus cathedram tenet, non recepit; et qui Christum non receperit, quasi qui Patrem rejecerit reputabitur, ideoque a bono regno ejicietur. Qua de causa ad omnes conventus venire satagite, ne velut desertores, per imperatoris anxietatem, peccati probrum accipiatis. Idcirco ante omnia cuncti quae pro ipso faciunt sentite, id cognoscentes, quod propter unumquemque vestrum Diabolus ipsi

1. θάρσει O.
2. καθό τι O.
3. Ita O et ex conject. C, in cuj. textu ἔπακρον. Subinde μισήσουσιν idem. Et Ruf. „odio habuerint", ut C.
4. ὠνήσει C.
5. τὴν O.
6. τοῦτο. Cfr. Hom. III, 66. C.
7. ὡς C.
8. καὶ (εἰς in marg.) πάσας συνόδους ἔρχεσθαι C, ἐν πάσαις συνόδοις συνέρχεσθαι var. lect. ap. eundem. Rufinus „propter quod satagite ad omnem collectam et congregationem semper convenire". Tum S mavult: ἀπὸ τῆς τοῦ ταξιάρχου ἀσυλίας. Cfr. Hom. III, 69.
9. τοῦτο C.

πλεῖον ἐχθραίνων προσπολεμεῖ. ὑμεῖς οὖν πειρᾶσθε, τῇ πρὸς αὐτὸν στοργῇ καὶ τῇ πρὸς ἀλλήλους εὐνοίᾳ διατελεῖν καὶ αὐτῷ ἐπακούειν, ἵνα καὶ αὐτὸς κουφίζηται καὶ ὑμεῖς σωθῆναι δυνηθῆτε.

XVIII. Ἔνια δὲ καὶ ἀφ' ἑαυτῶν νοεῖν ὀφείλετε, διὰ τὸ αὐτὸν μὴ δύνασθαι ἐν φανερῷ λέγειν διὰ τὰς ἐπιβουλάς· οἷον ἐὰν ἐχθραίνῃ τινί, μὴ ἀναμένετε αὐτὸν εἰπεῖν, τῷ δὲ μὴ προσαμιλλᾶσθε, ἀλλὰ φρονίμως ἔπεσθε[1] αὐτοῦ τῷ βουλήματι, ἐχθροὶ γινόμενοι οἷς ἐχθραίνει, καὶ μὴ ὁμιλοῦντες οἷς μὴ ὁμιλεῖ· ἵνα ἕκαστος, ἐπιδιωκόμενος τοῦ πάντας φίλους ἔχειν, αὐτὸν διαλλάττων σώζηται, τῆς αὐτοῦ ἐπακούων ὁμιλίας. εἰ δέ τις φίλος μενεῖ[2] οἷς αὐτὸς ἐχθραίνει, καὶ λαλεῖ οἷς αὐτὸς οὐχ ὁμιλεῖ, εἷς ἐστι καὶ αὐτὸς τῶν ὀλοθρεύειν[3] θελόντων τὴν ἐκκλησίαν· τῷ γὰρ σώματι συνὼν ὑμῖν[4], τῇ γνώμῃ μὴ ὢν μεθ' ὑμῶν, καθ' ὑμῶν ἐστίν, πολλῷ χείρων τῶν ἔξωθεν φαινομένων ἐχθρῶν, μετὰ δοκούσης φιλίας σκορπίζων τοὺς ἔσω.

XIX. Καὶ ταῦτα εἰπὼν ἐν μέσῳ ἐπὶ πάντων μοι τὰς χεῖρας ἐπιθεὶς εἰς τὴν αὐτοῦ καθέδραν καθεσθῆναί με ἐδυσώπησεν. καθεσθέντι δὲ τοῦτό μοι εὐθέως ἔφη· ἀξιῶ σε ἐπὶ πάντων μου τῶν συμπαρόντων ἀδελφῶν, ὅπως ὁπόταν τοῦ ἐνταῦθα, ὡς ἐμοὶ ὀφείλεται, ἀπαλλάξω βίου, σὲ Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ κυρίου διαπέμψαι[5] ἐν ἐπιτομῇ ἀναγραψάμενον μέχρι καὶ

soli magis inimicus bellum infert. Vos ergo contendite, in amore erga ipsum et in mutua benevolentia perseverare, eique obedire; ut et ipse sublevetur, et vos possitis salutem consequi.

XVIII. Quinetiam nonnulla ex vobis ipsis debetis intelligere, quae ipse manifesto dicere propter insidias non possit: verbi gratia, si alicui sit infensus, ne exspectetis ipse dicat: illi vero nolite in contentione assistere; sed prudenter hujus voluntatem sequimini, odio habentes quos odio prosequitur, nec loquentes cum iis cum quibus non loquitur; ut quilibet dum studet universorum amicitiam habere, reconciliatus ei salvus fiat, ejus obediens sermoni. Quod si quis amicus permaneat his quos ipse odit, et loquatur cum quibus ipse non disserit, unus etiam ipse eorum est qui Ecclesiam exterminare cupiunt: corpore enim vobiscum manens, sententia vobiscum non exsistens, contra vos est; multo pejor iis qui extra inimici apparent, quippe qui cum apparente amicitia eos qui intra sunt dispergat.

XIX. Atque his dictis in medio coram omnibus manus mihi imponens in sua cathedra sedere me erubescentem compulit. Cumque sedissem, hoc statim mihi dixit: Rogo te coram omnibus adstantibus fratribus meis, ut postquam ex hac, quemadmodum mihi necesse est, vita migravero, Jacobo fratri Domini mittas in epitome, describasque etiam usque ad cogitationes pueritiae tuae, et

1. ἔπεσθαι O.
2. μὲν ᾖ C, male.
3. ὀλεθρεύειν O.
4. ἡμῖν O. Tum idem ἡμῶν, καθ' ἡμῶν pro ὑμῶν, καθ' ὑμῶν.
5. Planius Epit. c. 147: ἀξιῶ σε ἐπὶ πάντων μου τῶν συμπαρόντων ἀδελφῶν, ὁπηνίκα τοῦ ἐνταῦθα μεταστῶ βίου, ὡς ἡ

www.liptool.com.cn

τῶν ἐκ παίδων σου[1] λογισμῶν, καὶ ὡς ἀπ' ἀρχῆς μέχρι τοῦ νῦν συνώδευσάς μοι, ἐπακούων τῶν κατὰ πόλιν ὑπ' ἐμοῦ κηρυχθέντων λόγων τε καὶ πράξεων· ἔπειτα πρὸς τῷ τέλει[2] καὶ τὴν τοῦ θανάτου μου πρόφασιν, ὡς προεῖπον[3], δηλῶσαι μὴ ὀκνήσεις. οὔτε γὰρ λίαν αὐτὸν λυπήσει τοῦτο, εἰδότα ὅτι ὃ πάντως ἔδει με παθεῖν εὐσεβῶς ἀπεδόμην, μεγίστης δὲ παραμυθίας τεύξεται, μαθὼν ὅτι μετ' ἐμὲ οὐκ ἀμαθὴς ἀνὴρ καὶ ζωοποιοὺς λόγους ἀγνοῶν καὶ ἐκκλησίας κανόνα οὐκ εἰδὼς τὴν τοῦ διδάσκοντος ἐπιστεύθη καθέδραν. πλάνου[4] γὰρ ὁμιλία τῶν ἀκουόντων ὄχλων ἀναιρεῖ[5] τὰς ψυχάς.

XX. Ὅθεν ἐγώ, κύριέ μου Ἰάκωβε, αὐτοῦ ταῦτα εἰπόντος ὑποσχόμενος οὐκ ὤκνησα[6], ὡς ἐκελεύσθην, τὸ πολὺ τῶν κατὰ πόλιν λόγων τῶν ἤδη σοι προγραφέντων καὶ ὑπ' αὐτοῦ διαπεμφθέντων ἐν βίβλοις ἐπὶ κεφαλαίων ποιῆσαι, ὥσπερ σημείου χάριν, καὶ οὕτως διαπέμψαι σοι, ἐπιγράψαντα[7], Κλήμεντος τῶν Πέτρου ἐπιδημιῶν κηρυγμάτων ἐπιτομή. πλὴν τοῦ ἐπιθέναι ὡς ἐκελεύσθην ἄρξομαι.

quo modo ab initio usque nunc me comitatus es, sermonibus a me per civitates praedicatis et actibus meis intendens: deinde in fine mortis quoque meae occasionem, sicut dixi, declarare non pigebit. Neque enim ea res valde ipsum contristabit, quarum, me pie id persolvisse, quod omnino perpeti necesse erat: maxima vero afficietur consolatione, cum didicerit quod post me non ineruditus vir nec vivificorum ignarus sermonum Ecclesiaeque regulam nesciens docentis acceperit cathedram. Imperiti enim ac seductoris sermo audientis vulgi animas interimit.

XX. Unde ego, Domine mi Jacobe, his ab eo dictis pollicitus non tardavi, sicut jussus sum, magnam partem sermonum per civitates habitorum, qui jam tibi descripti sunt ac per ipsum missi, in libris breviter comprehendere, quasi indicandi gratia, sicque ad te destinare, cum hac inscriptione: Clementis Epitome praedicationum Petri in peregrinationibus. Caeterum exponere ut jussus sum incipiam.

τοῦ θεοῦ κέχρικε πρόνοια, πάντα τῷ κυρίῳ Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ κυρίου μου ἐν ἐπιτομῇ ἀναγραψάμενον διαπέμψαι κτλ.

1. ἐκ παιδός σου Cod. 804 et Epit. l. c. S.

2. Ita O c. Cod. 804 et Epit. l. l., τὰ τέλει C.

3. ὡς προεῖπον om. O.

4. Ita de conject. C, cujus textus et O. exh. πλάνος.

5. ἀναίρει C.

6. ὀκνήσω O.

7. ἐπιγράψας Cod. 804 et Epit. c. 147, quod praestat.

# ΚΛΗΜΕΝΤΟΣ ΤΩΝ ΠΕΤΡΟΥ ΕΠΙΔΗΜΙΩΝ ΚΗΡΥΓΜΑΤΩΝ ΕΠΙΤΟΜΗ.

www.libtool.com.cn

## ΟΜΙΛΙΑ Α'.

I. Ἐγὼ Κλήμης, Ῥωμαίων πολίτης ὤν, καὶ τὴν πρώτην ἡλικίαν σωφρόνως ζῆσαι δεδύνημαι[1], τῆς ἐννοίας μου ἐκ παιδὸς ἀποσχολούσης τὴν ἐν ἐμοὶ ἐπιθυμίαν εἴς τε ἀθυμίας καὶ πόνους. συνῆν γάρ μοι λογισμὸς οὐκ οἶδα πόθεν τὴν ἀρχὴν λαβών, περὶ θανάτου πυκνὰς ποιούμενος ὑπομνήσεις, ὅτι ἄρα θανὼν οὐκ εἰμὶ καὶ οὐδὲ μνήμην τις ποιήσει μού ποτε, τοῦ ἀπείρου χρόνου πάντων[2] τὰ πάντα εἰς λήθην φέροντος, ἔσομαι δὲ οὐκ ὤν, οὐκ ὄντας[3] εἰδώς, οὐ γινώσκων, οὐ γινωσκόμενος, οὐ γεγονώς, οὐ γινόμενος· καὶ ἆρά ποτε γέγονεν ὁ κόσμος, καὶ πρὸ τοῦ γενέσθαι τί ἐτὸς[4] ἦν; εἰ γὰρ ἦν ἀεί, καὶ ἔσται· εἰ δὲ γέγονε, καὶ λυθήσεται· καὶ μετὰ λύσιν τί ἄρα ἔσται πάλιν, εἰ μὴ τάχα σιγὴ καὶ λήθη; καὶ[5] τάχα ἔσται τι, ὃ νῦν νοῆσαι οὐ δυνατόν.

II. Ταῦτά τε καὶ τὰ τούτοις ὅμοια οὐκ οἶδα πόθεν ἀπαύστως ἐνθυμούμενος ὀδυνηρὰν εἶχον λύπην τοσοῦτον, ὡς ὠχριακότα με τήκεσθαι· καὶ

## CLEMENTIS DE PRAEDICATIONIBUS PETRI INTER PEREGRINANDUM EPITOME.

### HOMILIA PRIMA.

I. Ego Clemens, civis Romanus, primam aetatem pudice ac temperanter vivere valui, cum a pueritia mens mea atque cogitatio inhaerentem mihi cupiditatem avocaret ad moerores et molestias. Inerat enim consideratio, nescio unde oborta, quae crebro mortis commonebat: quod utique post mortem non sim, neque usquam mei mentionem quisquam facturus sit, scilicet immenso tempore cunctorum cuncta in oblivionem adducente, sim autem non exsistens, eos qui sunt non cognoscens; nec cognoscens, nec cognitus; quique aliquando non fuerim, et tunc non sim? Et an factus sit mundus; et antequam fieret, quidnam fuerit? Nam si semper exstitit, semper erit: si autem factus est, etiam dissolvetur: et post dissolutionem quid erit iterum, nisi forte silentium et oblivio? Et forsan erit aliquid, quod nunc cogitare est impossibile.

II. Haec atque his similia, nescio unde, indesinenter cogitans, acerbam adeo cepi tristitiam, ut pallerem ac tabescerem: et quod molestissimum, si quando

1. Scripserim c. O *δεδυνημένος*, sed obstat *καὶ* copula praecedens. Nominativus absolutus primae periodi epigraphes modo toti narrationi eleganter praefigeretur.
2. *πάντως* conj. S.
3. Fortasse *οὐ τὰ ὄντα* pro *οὐκ ὄντας*. S. Tum *οὐ γὰρ γεγονώς* O pr. man.
4. *ἄρα* C.
5. *καὶ ἡ* O.

τὸ δεινότατον, εἴ ποτε ἀπωσασθαι τὴν φροντίδα ὡς ἀνωφελῆ ἐβουλευσάμην, ἀκμαιότερόν μοι μᾶλλον τὸ πάθος ἐγίνετο. καὶ ἠχθόμην ἐπὶ τούτῳ, οὐκ εἰδὼς σύνοικον καλὴν ἔχων ἔννοιαν, ἀθανασίας ἀγαθὴν [1] αἰτίαν μοι γενησομένην [2], ὡς ὕστερον τῇ πείρᾳ ἐπέγνων καὶ Θεῷ τῷ πάντων δεσπότῃ ηὐχαρίστησα. ὑπὸ γὰρ τῆς κατ' ἀρχὰς θλιβούσης με ἐννοίας εἰς τὴν τῶν πραγμάτων ζήτησιν καὶ εὕρεσιν ἠναγκάσθην ἐλθεῖν· καὶ τότε ἐταλάνιζον οὓς τὴν ἀρχὴν δι' ἄγνοιαν μακαρίζειν ἐκινδύνευον.

III. Ἐκ παιδὸς οὖν ἡλικίας ὢν ἐν τοιούτοις λογισμοῖς, χάριν τοῦ μαθεῖν τι βέβαιον, εἰς τὰς τῶν φιλοσόφων ἐφοίτων διατριβάς· καὶ οὐδὲν ἕτερον ἑώρων, ἢ δογμάτων ἀνασκευὰς καὶ κατασκευὰς καὶ ἔρεις καὶ φιλονεικίας καὶ συλλογισμῶν τέχνας καὶ λημμάτων ἐπινοίας. καὶ ὁτὲ [3] μὲν ἐπεκράτει, φέρε λέγειν, ὅτι ἀθάνατος ἡ ψυχή, ὁτὲ δὲ ὅτι θνητή. εἴ ποτε οὖν ἐπεκράτει λόγος ὅτι ἀθάνατος, ἔχαιρον· ὁπότε δὲ ὅτι θνητή, ἐλυπούμην· πλεῖον δὲ [4] ἠθύμουν, ὅτι οὐδ' ὁπότερον εἰς τὸν ἐμὸν βεβαιῶσαι νοῦν ἠδυνάμην. πλὴν [5] συνενόουν ὅτι αἱ δόξαι τῶν ὑποθέσεων παρὰ τοὺς ἐκδικοῦντας ψευδεῖς ἢ ἀληθεῖς ὑπολαμβάνονται, καὶ οὐχ ὡς ἔχουσιν ἀληθείας φαίνονται. ἐπιστήσας οὖν ἤδη ποτὲ ὅτι οὐ παρὰ τὰς ἐκδικουμένας

eam sollicitudinem tamquam inutilem repellere cogitarem, vehementior multo me urgebat affectus: eamque rem aegre ferebam, nesciens quod contubernalem praeclaram haberem eam cogitationem, quae mihi bona immortalitatis foret causa, quemadmodum postea experientia agnovi, et Deo cunctorum Domino gratias egi. Cum enim me ab initio illa consideratio premeret, ad rerum inquisitionem et inventionem venire coactus sum: tuncque miseros judicavi, quos principio per ignorantiam beatos praedicare ausus fueram.

III. Igitur cum a puerili aetate in hujusmodi degerem cogitationibus, quo aliquid certi addiscerem, ad philosophorum adventabam scholas; nihilque aliud cernebam, quam dogmatum destructiones et adstructiones, item lites et contentiones, et syllogismorum artificia, necnon sumptionum excogitationes: et interdum quidem praevalebat, verbi gratia, animam esse immortalem, interdum autem mortalem esse. Si quando igitur sermo de illius immortalitate obtinebat, laetabar; cum vero sermo de mortalitate, tristis eram: magis autem rursus animum despondebam, quod neutrum possem menti meae infigere: verum reputabam mecum, sententias controversiarum pro viribus propugnatorum veras aut falsas existimari, non autem tales videri, quales revera sunt. Jam igitur

1. ἀγαθῆς C.

2. γενομένην C. τῷ ante πάντων excidit e recensione Clerico — Schwegleriana.

3. ὁτὲ μὲν — ὁτὲ δὲ S O, ὅτε μὲν — ὅτε δὲ C.

4. Ita locum sanavi ex O. Prope accedit Epitome, quam admonente Cotelerio S in auxilium vocavit. Vbb. ὅτι θνητή, ἐλυπούμην· πλεῖον δὲ ἠθύμουν desunt in textu Ci.

5. Rufinus clarius: „sed hoc tantum intelligebam, quod sententiae ac definitiones rerum non pro natura sui ac veritate causarum, sed pro ingeniis defendentium falsae imaginarentur aut verae.“

www.libtool.com.cn

ὑποθέσεις ἡ κατάληψις γίνεται, ἀλλὰ παρὰ τοὺς ἐκδικοῦντας αἱ δόξαι ἀποφέρονται [1], ἔτι μᾶλλον ὀλιγγίων ἐν τοῖς πράγμασιν. διὸ ἐκ τοῦ τῆς ψυχῆς βάθους ἐστέναζον· οὔτε γάρ τι βεβαιῶσαι οἷός τ' [2] ἤμην, οὔτε τὴν τῶν τοιούτων φροντίδα ἀποσείσασθαι ἐδυνάμην, καί περ βουλόμενος, ὡς [3] φθάσας εἶπον· ὅτι ἐμαυτῷ πυκνότερον ἡσυχάζειν ἐπιτάσσοντος, οὐκ οἶδ' [5]. ὅπως [4] λανθανόντως μεθ' ἡδονῆς ὁ τῶν τοιούτων με εἰσήρχετο λογισμός.

IV. Καὶ πάλιν ἀπορούμενος ἔλεγον ἐμαυτῷ· τί ματαιοπονῶ σαφοῦς ὄντος τοῦ πράγματος; ὅτι εἰ μὲν θανὼν οὐκ εἰμί, νῦν ὄντα με λυπεῖσθαι οὐ προσῆκεν [5]. διὸ τηρήσω τὸ λυπεῖσθαι εἰς τὴν τότε, ὅτε οὐκ ὢν οὐ λυπηθήσομαι. εἰ δ' ἄρα εἰμί, τί νῦν ἐκ περισσοῦ μοι πρόσεστι τὸ λυπεῖσθαι; καὶ εὐθέως μετὰ τοῦτο ἕτερός με εἰσῄει λογισμός. ἔλεγον γάρ· μή τί [6] γε τοῦ νῦν με λυποῦντος ἐκεῖ χεῖρον παθεῖν ἔχω, μὴ βεβιωκὼς εὐσεβῶς, καὶ παραδοθήσομαι κατ' ἐνίων φιλοσόφων λόγους Πυριφλεγέθοντι καὶ Ταρτάρῳ ὡς Σίσυφος ἢ Τιτυὸς [7] ἢ Ἰξίων ἢ Τάνταλος, καὶ ἔσομαι ἐν ᾅδου τὸν αἰῶνα κολαζόμενος; πάλιν [8] τε ἀνθυπέφερον. λέγων, ἀλλ' οὐκ ἔστι ταῦτα. καὶ πάλιν ἔλεγον, εἰ δὲ ἔστιν; ἀθήλου [9] οὖν ὄντος τοῦ πράγματος, ἔλεγον, ἀκινδυνότερόν ἐστι μᾶλλον εὐσεβῶς βιῶσαί με. καὶ πῶς

animadvertens, comprehensionem non oriri ex rebus ad agitandum propositis, sed pro ingenio disputantium statui dogmata, adhuc magis hisce de rebus perplexus haerebam: quare ex animae profundo gemebam; neque enim poteram firmi aliquid decernere, neque de istis sollicitudinem valebam depellere, etsi, quemadmodum dixi antea, id vellem; quoniam cum mihi frequenter quietem imperarem, nescio quo modo latenter horum cum voluptate subibat me cogitatio.

IV. Et iterum haesitans dicebam apud me: Quid inaniter laboro, cum manifesta sit res? Quod si quidem post mortem non ero, nunc, quando sum, contristari me non oportet. Quocirca tristitiam ad illum diem reservabo, in quo, cum futurus non sim, non contristabor. Si autem ero, cur nunc mihi superfluo inest tristitia? Statimque postea alia me subiit cogitatio. Dicebam quippe: an non illic pejus quidpiam eo quod me nunc cruciat, passurus sum, si pie non vixero, ac secundum quorundam philosophorum sermones Pyriphlegethonti tradendus sum et Tartaro, quemadmodum Sisyphus vel Tityus vel Ixion vel Tantalus, atque in inferno aeternum puniar? Iterumque replicabam dicens: Sed ista non sunt. Rursusque aiebam: At si sunt. Cum igitur, inquiebam, incerta res sit, multo magis extra periculum est, pie me vivere.

1. Hic quoque legendum est ἀποφαίνονται, ut Epit. cap. 3. C.
2. τε C. Subinde οὐδὲ pro οὔτε O.
3. ὡς om. O.
4. οἶδά πως C. Tum id. μοι p. με.
5. προσήκει Epit. c. 4. Fortasse εἰς τηνικαῦτα p. εἰς τὴν τότε. Cfr. Epit. l. c. S.
6. ἔλεγον γάρ, εἰ μή C.
7. Τίτυος C.
8. καὶ πάλιν τε O.
9. οὐ δήλου C.

δυνήσομαι τοῦ δικαίου χάριν, εἰς ἄδηλον ἐλπίδα ἀφορῶν, τῶν τοῦ σώματος κρατεῖν ἡδονῶν; ἀλλ' οὐδὲ τί ποτέ ἐστι δίκαιον ἄρεσκον [1] Θεῷ πεπληροφόρημαι, οὔτε εἰ ἡ ψυχὴ ἀθάνατος ἢ θνητὴ γινώσκω· οὔτε τις λόγος βέβαιος εὑρίσκεται, οὔτε τῶν τοιούτων λογισμῶν ἡσυχάζειν δύναμαι.

V. Τί οὖν χρὴ ποιεῖν ἢ τοῦτο [2]; εἰς Αἴγυπτον πορεύσομαι, καὶ τοῖς τῶν ἀδύτων ἱεροφάνταις τε [3] καὶ προφήταις φιλιωθήσομαι, καὶ μάγον ζητήσας καὶ εὑρὼν χρήμασι πολλοῖς πείσω, ὅπως ψυχῆς ἀναπομπήν, τὴν λεγομένην νεκρομαντείαν [4] ποιήσῃ, ἐμοῦ ὡς περὶ πράγματός τινος πυνθανομένου· ἡ δὲ πεῦσις ἔσται περὶ τοῦ μαθεῖν εἰ ἀθάνατος ἡ ψυχή. ἡ δὲ τῆς ψυχῆς ἀπόκρισις, ὅτι ἀθάνατός ἐστιν, οὐκ ἐκ τοῦ λαλῆσαι ἢ καὶ ἀκοῦσαι ἔσται [5] μοι γνῶναι, ἀλλ' ἐκ τοῦ ὀφθῆναι μόνον, ἵνα αὐτοῖς ὀφθαλμοῖς ἰδὼν αὐτὴν αὐτάρκη καὶ ἱκανὴν ἀπόφασιν ἔχω, ἐκ τοῦ μόνον φανῆναι, ὅτι ἔστιν· καὶ οὐκ ἔτι δυνήσεται τὰ τῶν ὀφθαλμῶν ἴδια τὰ τῆς ἀκοῆς ἀνατρέψαι ἄδηλα ῥήματα. ὅμως καὶ αὐτὴν ταύτην τὴν σκέψιν ἀντέβαλόν [6] τινι συνήθει φιλοσόφῳ, ὃς συνεβούλευέ μοι, τοῦτο μὴ τολμᾶν, κατὰ πολλοὺς τρόπους. εἴτε γὰρ οὐκ εἰσακούσεται, φησίν, ἡ ψυχὴ τῷ μάγῳ, σὺ

Et quo pacto justitiae gratia, ad incertam respiciens spem, potero corporis voluptates comprimere? Sed nec quidnam sit justum Deo acceptum, plene certoque novi, nec utrum anima immortalis sit cognosco, an mortalis: neque ulla certa ratio invenitur, neque hos mentis motus sedare possum.

V. Quid igitur me facere oportet, nisi hoc? In Aegyptum proficiscar, et adytorum hierophantis ac prophetis amicus efficiar; magoque quaesito et invento multa pecunia persuadebo, ut animae evocationem, quam necromantiam vocant, faciat, tamquam videlicet ego de aliquo negotio scisciter: erit autem interrogatio, ut discam utrum anima sit immortalis. At responsio animae de sua immortalitate non ex loquela ipsius aut mea auditione erit mihi comperta, sed ex sola visione; ut his ipsis oculis illam videns sufficientem ac idoneam habeam declarationem quod exsistat, ex eo solo quod apparuerit; nec amplius incerta auditus verba oculorum poterunt firmitatem evertere. Attamen hanc quoque deliberationem cuidam philosopho, necessario meo, edisserui, qui consilium mihi dedit, id ne auderem, multas ob rationes. Sive enim, inquit, mago non obtemperabit anima, tu, tamquam qui legibus ista facere prohiben-

1. *δίκαιον καὶ ἄρεσκον* C.

2. Schweglero invito ita interpunctionem mutavi, non invita indole linguae graecae. Edd. distinguunt: *Τί οὖν χρὴ ποιεῖν; ἢ τοῦτο, εἰς κτλ.*

3. *τε* accessit ex O, ubi pr. man. scripserat *ἱεροφάντες*.

4. *νεκυομαντίαν* O. „Legendum *τῇ λεγομένῃ νεκρομαντείᾳ*: ars enim mortuos evocandi *νεκρομαντεία* dicitur: vid. Recogn. I, 5. (per eam, quam necromantiam vocant)“ D. „Sed et minus apte *νεκρομαντεία* vocari queat magica ipsa evocatio, quomodo dixerit Cicero Tusc. Q. I, 16: „„inde ea, quam meus amicus Appius *νεκρομαντία* faciebat.““ Stephanus legebat: „„inde ea, quae — *νεκρομαντεῖα* faciebat.““ Cl.

5. *ἔστι* O.

6. *ἀντέβαλλόν* C.

www.libtool.com.cn

τοῖς ταῦτα ποιεῖν ἀπαγορεύουσι νόμοις ὡς ἀντιπράξας δυσσυνειδήτως βιώσεις· εἰ δὲ ἐπακούσεται, μετὰ τοῦ δυσσυνειδήτως σε βιοῦν, οἶμαι τὰ τῆς εὐσεβείας σοι μηκέτι προχωρεῖν, οὗ εἵνεκεν καὶ [1] ἐτόλμησας. ἐχθραίνειν γὰρ τὸ θεῖον λέγουσιν ἐπὶ τοῖς τῇ λύσει θανόντων σωμάτων σκύλλουσι τὰς ψυχάς. ἐγὼ δὲ ταῦτα ἀκούσας ὀκνηρότερος μὲν πρὸς τὸ τοιοῦτον ἐγχειρῆσαι ἐγενόμην, τῆς δὲ ἀπαρχῆς μου οὐκ ἐπαυσάμην βουλῆς, ἀλλ' ὡς ἔμποδισθεὶς τὴν ὁρμὴν ἠθύμουν.

VI. Καὶ ἵνα μή σοι τὰ τοιαῦτα μακρῷ διηγήσομαι λόγῳ, ἐν τοσούτοις λογισμοῖς καὶ πράγμασιν ὄντος μου φήμη τις ἠρέμα, ἐπὶ τῆς Τιβερίου Καίσαρος βασιλείας, ἐξ ἐαρινῆς τροπῆς τὴν ἀρχὴν λαμβάνουσα ηὔξανεν ἑκάστοτε καὶ ὡς ἀληθῶς ἀγαθὴ Θεοῦ ἄγγελος διέτρεχε [2] τὸν κόσμον, τὸ τοῦ Θεοῦ βούλημα σιγῇ [3] στέγειν μὴ δυναμένη. ἑκάστοτε οὖν πλείων καὶ μείζων ἐγένετο [4], λέγουσα, ὥς τίς ποτε ἐν Ἰουδαίᾳ, ἐξ ἐαρινῆς τροπῆς λαβὼν τὴν ἀρχήν, Ἰουδαίοις τὴν τοῦ ἀϊδίου Θεοῦ εὐαγγελίζεται βασιλείαν, ἧς ἀπολαύειν λέγει ἐάν τις αὐτῶν προκατορθώσῃ [5] τὴν πολιτείαν· τοῦ δὲ πιστεύεσθαι αὐτὸν χάριν, ὅτι θειότητος γέμων ταῦτα πνέει, πολλὰ θαυμάσια σημεῖά τε καὶ τέρατα διαπράττεται κελεύσει μόνῃ, ὡς παρὰ Θεοῦ εἰληφὼς τὴν ἐξουσίαν· κωφοὺς γὰρ ποιεῖ ἀκούειν, τυφλοὺς ἀναβλέπειν,

tibus repugnaveris, male tibi conscius vives: sin vero obedierit, praeterquam quod mala in conscientia vives, non amplius tibi bene cessura existimo ea quae ad pietatem pertinent, cujus ergo ista ausus es. Nam Deum aiunt odio eos prosequi, qui animas mortuorum a corporibus separatas divexant. Ego autem his auditis segnior quidem ad illud aggrediendum effectus sum, a consilio tamen quod initio ceperam non destiti, sed velut ab impetu desiderii retardatus dolebam.

VI. Ac ne ista tibi longo sermone explicem, cum in talibus cogitationibus et negotiis ego versarer, sub imperio Tiberii Caesaris fama quaedam sensim, a verna tempestate initio sumpto passimque crevit, et revera bonus Dei nuncius mundum peragravit, Dei voluntatem silentio tegere non valens. Ubique igitur amplior et major fiebat, referens, quod quidam in Judaea, principio sumpto a verno tempore, aeterni Dei regnum Judaeis annunciet, quo fruiturum esse ex illis dicit eum, qui vitam rectam emendatamque ducat: quo autem credatur ipsum divinitatis plenum haec loqui ac inspirare, multa mirabilia, signa et prodigia edit sola jussione, quasi qui a Deo acceperit potestatem: surdos enim facit audire, caecos videre, pedibus debiles ambulare, clau-

1. καὶ mutandum in ταῦτ' vel ἐκεῖν'. S. οὗ ἕνεκεν τὰ τοιαῦτα ἐτόλμας Epit. c. 5. Quae sequuntur in Epit. c. 5. ita leguntur: ἐχθραίνειν γὰρ τὸ θεῖον λέγουσιν ἐπὶ τοῖς σκύλλουσι τὰς ψυχὰς μετὰ τὴν ἀπὸ τοῦ σώματος ἐκείνων διάλυσιν.

2. διήρχετο C.

3. Ita O c. Epit. c. 6. σιγᾶν, στέγειν C, σιγᾶν καὶ στέγειν S auctore Gallandio.

4. ἐγίνετο O.

5. προσκατορθώσει C. Tum deest δὲ in O.

www.ibtoo.com.cn

κυλλοὺς ποιεῖ περιπατεῖν, χωλοὺς ἀνορθοῖ [1], πᾶσαν νόσον ἀπελαύνει, πάντα δαίμονα φυγαδεύει· ἀλλὰ καὶ λεπροὶ ψωροὶ ἐκ διαστήματος μόνον ἐνορῶντες αὐτῷ ἰώμενοι ἀπαλλάσσονται, νεκροὶ δὲ προσφερόμενοι ἐγείρονται, καὶ οὐδέν ἐστιν ὃ ἀδυνατεῖ ποιεῖν· καὶ ὅσῳ γε μᾶλλον ὁ χρόνος προέκοπτεν, πολὺ μείζων διὰ πλειόνων τῶν ἐπιδημιούντων καὶ [2] βεβαιοτέρα ἐγίνετο, οὐκ ἔτι φήμη λέγω, ἀλλὰ τοῦ πράγματος ἡ ἀλήθεια· ἤδη γάρ ποτε καὶ συστήματα κατὰ τόπους ἐγίνετο βουλῆς καὶ σκέψεως [3], τὸ τίς ἂν εἴη ὁ φανείς καὶ τί βούλεται λέγειν.

VII. Καὶ δήποτέ τις πρὸς αὐτῷ τῷ ἔτει ἐν [4] φθινοπωρινῇ τροπῇ δημοσίᾳ στὰς ἐβόα λέγων· ἄνδρες Ῥωμαῖοι, ἀκούσατε· ὁ τοῦ Θεοῦ υἱὸς ἐν Ἰουδαίᾳ πάρεστιν, ἐπαγγελλόμενος πᾶσι τοῖς βουλομένοις ζωὴν αἰώνιον, ἐὰν τὰ [5] κατὰ γνώμην τοῦ πέμψαντος αὐτὸν πατρὸς βιώσωσιν. διὸ μεταβάλλεσθε τὸν τρόπον, ἀπὸ τῶν χειρόνων ἐπὶ τὰ κρείττονα, ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια· γνῶτε [6] ἕνα Θεὸν εἶναι τὸν ἐπουράνιον, οὗ τὸν κόσμον ἀδίκως οἰκεῖτε ἔμπροσθεν τῶν αὐτοῦ δικαίων ὀφθαλμῶν· ἀλλ' ἐὰν μεταβάλλησθε καὶ κατὰ τὴν αὐτοῦ βούλησιν βιώσητε, εἰς ἕτερον αἰῶνα ἐνεχθέντες καὶ ἄϊδιοι γινόμενοι τῶν ἀπορρήτων αὐτοῦ ἀγαθῶν ἀπολαύσετε [7]· ἐὰν δὲ ἀπειθήσητε, αἱ ψυχαὶ ὑμῶν μετὰ τὴν τοῦ σώματος λύσιν εἰς τὸν τόπον τοῦ πυρὸς βληθήσονται, ὅπου ἀϊδίως κολαζόμεναι ἀνωφε-

dos recta incedere: omnem morbum depellit, omnem daemonem fugat: sed et leprosi scabri, eo eminus tantum viso, sanati abeunt, mortui vero oblati suscitantur, nihilque est quod facere nequeat. Atque quo plus temporis praeteribat, eo major firmiorque per complures advenientes exsistebat, non amplius, inquam, fama, sed rei veritas. Jam vero et coetus per loca fiebant consultationis et deliberationis causa, quisnam esset qui apparuisset, et quid vellet dicere.

VII. Caeterum eodem anno, autumni tempore, quidam publice stans clamavit, dicens: Viri romani, audite; Dei Filius in Judaea adest, cunctis volentibus promittens vitam aeternam, si vitam duxerint ex voluntate Patris qui misit illum. Quocirca mores mutate, a deterioribus ad meliora transite, a temporalibus ad aeterna: agnoscite unum esse Deum, qui in coelis est, cujus mundum injuste habitatis ante justos illius oculos: verum si convertamini et juxta voluntatem ejus vivatis, in aliud saeculum sublati aeternique effecti ineffabilibus ipsius bonis perfruemini; sin vero morem non gesseritis, animae vestrae post dissolutionem a corpore in ignis locum conjicientur, ubi aeternum punitae inutili ducentur poenitentia. Nam tempus poenitentiae praesens est ista

1. κυλλοὺς· χωλοὺς ὀρθοῖ O.
2. καὶ om. O, qui antea scr. μείζον (sic).
3. Locus haud dubie corruptus. Post σκέψεως Epit. c. 6 addit ἕνεκα. Sed maxime offendit τὰ: scribe saltem τοῦ. S.
4. ἐν praetermiserunt Cl. et S.
5. Dele τὰ, nam prorsus redundat. D. ἐὰν τὰ κατὰ γνώμην — πράξωσιν Epit. c. 7. S.
6. γνῶτες O.
7. Ita O c. Epit., ἀπολαύσητε C. κατὰ τὴν τ. σ. p. μετὰ τὴν τ. σ. tacite edidit Cl. repetiitque S, Codd. lectionem in Annot. cr. pro conjectura annotans.

λητα μετανοήσουσιν. ὁ γὰρ τῆς μετανοίας καιρὸς ἡ νῦν ἑκάστου ζωὴ τυγχάνει. ἐγὼ μὲν οὖν ταῦτα ἀκούων ἠχθόμην, ὅτι οὐδεὶς ἐκ τοσούτων ὄχλων τηλικαύτην ἀγγελίαν ἀκούσας εἴρηκεν, εἰς Ἰουδαίαν πορεύσομαι, ἵνα ἴδω εἰ ταῦθ' οὕτος λέγων ἀληθεύει, ὡς ὅτι υἱὸς Θεοῦ ἐπιδεδήμηκε τῇ Ἰουδαίᾳ, ἀγαθῆς καὶ αἰωνίας ἐλπίδος χάριν, τὴν τοῦ ἀποστείλαντος πατρὸς βούλησιν ἐκφαίνων· ἐπεὶ[1] καὶ ὅπερ λέγουσιν αὐτὸν κηρύσσειν, οὐκ ἔστι μικρόν· ὧν μὲν γὰρ τὰς ψυχὰς διαβεβαιοῦται αἰωνίους οὔσας αἰωνίων ἀπολαύσειν ἀγαθῶν, ὧν δὲ ἐν πυρὶ ἀσβέστῳ ῥιφθείσας[2] τὸν αἰῶνα κολασθήσεσθαι.

VIII. Ταῦτα ἐγὼ λέγων περὶ ἄλλων καὶ ἐμαυτῷ ὡμίλησα λέγων· τί ἄλλους μέμφομαι, ἐν τῷ αὐτῷ τῆς ἀμελείας ὑπάρχων ἐγκλήματι; ἀλλ' εἰς Ἰουδαίαν ὁρμήσω, πρότερον τὸν ἐμὸν διαθεὶς βίον. καὶ δὴ οὕτω[3] βουλευσαμένου μου πολὺς ὁ τῆς παρολκῆς ἐγενήθη χρόνος, τῶν βιωτικῶν πραγμάτων δυσεκλύτων ὄντων. πέρας γοῦν συννοήσας ὧδέ[4] ποτε τὴν τοῦ βίου φύσιν, ὅτι ἐλπίδι ἐκπλοκῶν τοὺς σπεύδοντας ἐνεδρεύει, οὐ μὴν ἀλλὰ καὶ ὃν ποτε εἰσεκλάπην χρόνον ἐλπίσι δονούμενος, καὶ ὅτι οὕτως ἀσχολούμενοι οἱ ἄνθρωποι ἀποθνήσκομεν[5], τὰ πάντα μου ὡς ἔτυχεν ἀφεὶς εἰς Πόρτον[6] ὥρμησα, καὶ εἰς λιμένα ἐλθών τε[7] καὶ ἀναχθεὶς ἀνέμων

singulorum vita. Porro his ego auditis moleste ferebam, nullum ex tanta hominum multitudine, tam magno accepto nuncio, dixisse: In Judaeam proficiscar ut cognoscam, utrum iste haec proferens vera loquatur, nempe Dei Filium in Judaeam advenisse, propter bonam aeternamque spem, qui voluntatem Patris a quo missus est manifestet: namque quod eum aiunt praedicare, non est exiguum: quorumdam enim animas affirmat, utpote immortales, immortalibus bonis fruituras; aliorum vero, in ignem inexstinctum projectas, aeternum puniendas esse.

VIII. Haec de aliis cum dicerem, etiam mecum his verbis locutus sum: Quare alios vitupero, qui in eodem crimine negligentiae versor? Verum ad Judaeam properabo, postquam res meas composuero. Ita vero cum statuissem, multum in dilatione tempus praeteriit, hujusce vitae negotiis vix explicari valentibus. Tandem itaque considerata vitae natura, quod spe implicans festinantibus insidietur, quin etiam quantum temporis abreptum fuerit mihi spebus jactato, quodque sic occupati homines morimur, cuncta mea, prout erant, relinquens ad Portum properavi, et in portum veniens atque in altum subvectus

1. ἐπεὶ adjunxi c. O et Epit.
2. ῥιφείσας O, qui dein κολασθήσεται, nota marginali correctum in vulg.
3. οὕτως C.
4. ὧδέ D, ὁ δὴ O c. C. Tum ἐκπλέκων C, qui tamen ἐμπλέκων conj.
5. Errat Schweglerus de Cotelerio, ἀποθνίσκομεν eum edidisse asserens; Tu Clericum (Ed. 1724) intellige.
6. πόρτον O, πόντον C. Jam Clericus: forte πόρτον, portum, nempe romanum: vide Martyr. Ign. c. 6 et Epit. c. 78. Tum εἰς τὸν λιμένα C.
7. τε om. O.

www.hbtool.com.cn

ἔχθραις ἀντὶ τοῦ εἰς Ἰουδαίαν εἰς Ἀλεξάνδρειαν ἠνέχθην· καὶ ἀνέμων ἀπορίᾳ ἐπισχεθεὶς ἐκεῖ συνεφοίτων τοῖς φιλοσόφοις, καὶ τὰ τῆς φήμης καὶ τοῦ[1] ἐν Ῥώμῃ φανέντος ἔλεγον τοὺς λόγους. οἱ δὲ[2] ἀπεκρίναντο, ὅτι τὸν μὲν ἐν Ῥώμῃ φανέντα οὐκ ἴσμεν, περὶ δὲ τοῦ ἐν Ἰουδαίᾳ γενομένου καὶ υἱοῦ Θεοῦ ὑπὸ τῆς φήμης λεγομένου, καὶ παρὰ πολλῶν τῶν κἀκεῖθεν ἐληλυθότων ἠκούσαμεν, καὶ περὶ πάντων ὧν λαλῶν ἐποίει θαυμασίων ἐμάθομεν.

IX. Ἐμοῦ δὲ εἰπόντος, ἤθελόν τινι συντυχεῖν τῶν ἑωρακότων αὐτόν, εὐθὺς ἤγόν με λέγοντες, ἔστι τις ἐνταῦθα, οὐ μόνον ἱστορήσας αὐτὸν ἀλλὰ καὶ τῆς ἐκεῖθεν γῆς ὑπάρχων, ἀνὴρ Ἑβραῖος, ὀνόματι Βαρνάβας, ὃς καὶ ἕνα τῶν αὐτοῦ μαθητῶν ἑαυτὸν εἶναι λέγει, καὶ ἐνταῦθά που καθεζόμενος τῆς ἐκείνου ὑποσχέσεως τοὺς λόγους τοῖς βουλομένοις ἑτοίμως λέγει. καὶ δὴ συνῆλθον αὐτοῖς. καὶ ἐλθὼν, σὺν τῷ παρεστῶτι ὄχλῳ ἔστην ἐπακούων τῶν λόγων, καὶ συνενόουν τἀληθῆ[3] οὐ διαλεκτικῇ τέχνῃ λέγοντα, ἀλλὰ ἀκάκως καὶ ἀπαρασκευάστως ἐκτιθέμενον ἃ τε ἤκουσε καὶ ἑώρακε τὸν τοῦ Θεοῦ φανέντα υἱὸν πεποιηκέναι τε καὶ εἰρηκέναι· πολλοὺς δὲ μάρτυρας τῶν ὑπ' αὐτοῦ λεγομένων[4] θαυμασίων τε καὶ λόγων, καὶ ἐξ αὐτοῦ τοῦ παρεστῶτος ὄχλου, παρεῖχεν.

X. Ἐπειδὴ δὲ πρὸς τὰ ἀπανούργως λεγόμενα οἱ ὄχλοι ἡδέως[5] διατί-

ventis adversantibus pro Judaea Alexandriam appuli, ubi ventorum importunitate detentus ad philosophos ventitabam, atque eum rumorem sermonesque illius qui Romae visus fuerat referebam. At illi responderunt: eum quidem, qui Romae apparuit, nescimus, de illo autem qui in Judaea degit ac Filius Dei a fama dicitur, et audivimus a multis qui illinc veniunt, et de omnibus miraculis quae loquendo facit accepimus.

IX. Cumque dicerem: cuperem incidere in aliquem qui eum vidisset, statim duxerunt me, aientes: est hic quidam, qui non solum vidit eum, sed et ea ex regione oriundus est, vir Hebraeus, nomine Barnabas, qui se quoque ait unum esse ex illius discipulis; et hic sedens rerum ab ipso promissarum sermones volentibus ultro refert. Et quidem cum iis progressus sum. Ac veniens cum adstante multitudine steti sermones audiens; atque intellexi, vera eum non dialectica arte dicere, sed sine malitia et praeparatione exponere, quae audierat et viderat a Dei Filio, qui conspectus fuerat, facta et dicta. Multos autem testes miraculorum et sermonum, ab ipso editorum, ex ipsa etiam assistente plebe producebat.

X. Quandoquidem vero ad dicta minime subdola populus libenter atten-

1. καὶ τοῦ O et ex conject. D, μετὰ τοῦ C.
2. οἵ τ' O. Tum addidi τὸν ante μὲν e. O. Ita legendum esse recte observat S.
3. ταληθῆς O. Tum ἁπλῶς p. ἀκάκως conj. S, ut Ruf. et Epit. c. 9. Ceterum cfr. infra ἀπανούργως.
4. Lege γενομένων. D.
5. ἡδέως οἱ ὄχλοι C.

www.libtool.com.cn

θεντο, οἱ ἐκ παιδείας κοσμικῆς ὁρμώμενοι φιλόσοφοι γελᾶν αὐτὸν καὶ χλευάζειν ἐπεβάλοντο[1], ἰσκώπτοντες καὶ διασύροντες θράσει ἀμέτρῳ, ὡς μεγάλοις ὅπλοις κεχρήμενοι τοῖς συλλογισμοῖς. ὁ δὲ ἀπωθούμενος αὐτῶν τὸν λῆρον οὐ συνέτρεχεν αὐτῶν τῇ πανούργῳ πεύσει[2], ἀλλ' ἀκαταπλήκτως ὧν ἔλεγεν οὐκ ἀφίστατο. καί ποτέ τις αὐτοῦ ἐπύθετο, διὰ τί κώνωψ ἐγέ- 5
νετο, καὶ[3] βραχύτατον ὄν, ἓξ πόδας ἔχον, ἔχει[4] καὶ πτερά, ἐλέφας δέ, τὸ μέγιστον τῶν ζώων, ἄπτερος ὢν τέσσαρας μόνους ἔχει πόδας. ὁ δὲ μετὰ τὴν πεῦσιν τὸν ἐμποδισθέντα ἀναλαβὼν λόγον, ὡς πρὸς τὴν πεῦσιν ἀποκρινάμενος[5], τὸν αὐτῷ ἀπ' ἀρχῆς προκείμενον ἀνελάμβανε λόγον τούτῳ μόνῳ προοιμίῳ χρώμενος καθ' ἑκάστην ἐγκοπήν· ἡμεῖς τοῦ πέριψαντος 10
ἡμᾶς τοὺς λόγους καὶ τὰς θαυμασίους πράξεις εἰπεῖν ὑμῖν μόνον ἔχομεν ἐντολήν, καὶ ἀντὶ τῆς λογικῆς ἀποδείξεως μάρτυρας παρέχομεν ὑμῖν τῶν ἐξ ὑμῶν[6] παρεστώτων πολλούς, ὧν ἐγὼ τὰ[7] εἴδη μέμνημαι, ὡς ἐμψύχους εἰκόνας, ἱκανὰς μαρτυρίας. λοιπὸν τῆς[8] ὑμετέρας ἐστὶν ἐξουσίας, ὑπείκειν ἢ ἀπειθεῖν. τοῦ δὲ λέγειν ὑμῖν τὸ συμφέρον οὐ παύσομαι, ὅτι ἐμοὶ μὲν 15
ζημία τὸ σιωπᾶν, ὑμῖν δὲ τὸ ἀπειθεῖν βλάβη. ἀλλὰ καὶ τῶν εἰκαίων

debat, ex eruditione saeculari prodeuntes philosophi ridere eum ac subsannare aggressi sunt, immodica audacia cavillantes atque probris incessentes, et quasi armis validis utentes syllogismis. At ille ineptias eorum repellens, versutae ipsorum interrogationi non occurrebat; sed intrepide a sermone suo 20
non desistebat. Et aliquando quidam rogabat eum, cur ita factus esset culex, ut cum minimum quid sit, et sex pedes habeat, insuper et alas gerat; elephas vero, animalium maximum, cum careat alis, quatuor tantum pedes habeat Ille autem post interrogationem abruptum resumens sermonem, quasi ad percontationem respondisset, propositum sibi ab initio sermonem repetiit, hoc solo 25
utens prooemio per singulas interpellationes: nobis demandatum solummodo est, ut vobis sermones et mirabilia gesta illius qui misit nos, referamus; ac pro logica demonstratione testes vobis producimus eorum qui ex vobis hic adstant complures quorum ego facies recordor, velut vivas imagines, idonea testimonia. Caeterum in vestra potestate situm est, obsequi, vel fidem non 30
habere. Ego certe non cessabo vobis exponere quod utile est: quoniam mihi quidem damnum est, tacere; vobis vero, non credere, noxa. Sed et futilium

1. ἐπεβάλλοντο C.
2. Ita C in calce edit. et S, in textu πευσει C, πεύσῃ O, πανούργῳ omisso.
3. Dele καὶ, quod versu insequenti perperam omissum hic irrepsit. S.
4. Leg. καὶ ἔχει vel καὶ ἔχον. S. Epit. c. 10: διὰ τί κώνωψ ἐγένετο, καὶ βραχύτατος ὢν, ἓξ πόδας ἔχων καὶ πτερὰ φέρει.
5. S proponit ἀπροκρινούμενος.
6. Fort. leg. ἐξ ὑμῶν τῶν. S.
7. τὰ excidit ap. Cl. et S. Tum D legi vult εἰκόνας. ἱκαναῖς μαρτυρίαις λοιπὸν — ὑπείκειν κτλ. At nihil mutandum, cl. Epit. c. 10. Verba ἱκανὰς μαρτυρίας appositionis locum obtinent. „Produco vobis homines multos, testes locupletes, quum sint quasi εἰκόνες ἐμψυχοι“. S.
8. τῆς addidi c. O.

www.libtool.com.cn

ὑμῶν προβλημάτων τὰς ἀποδείξεις[1] ἀποδοῦναι ἠδυνάμην, εἰ φιλαληθῶς ἐπυνθάνεσθε. κώνωπος δὲ καὶ ἐλέφαντος τὴν αἰτίαν τῆς διαφόρου δημιουργίας νῦν ὑμῖν οὐκ ἔστιν εἰπεῖν[2] εὔκαιρον τοῖς τῶν ὅλων ἀγνοοῦσι Θεόν.

XI. Ταῦτα αὐτοῦ λέγοντος, ὡς ἐκ συμφωνίας ἄπαντον ἠφίεσαν γέλωτα, κατασιωπᾶν καὶ ἀπορεῖν αὐτὸν πειρώμενοι ὡς βάρβαρόν τινα δαιμονῶντα. ἐγὼ δὲ ταῦτα ὁρῶν, ζήλῳ οὐκ οἶδ' ὅπως ληφθείς, εὐσεβεῖ θυμῷ τοῦ λοιποῦ σιγᾶν οὐκ ἐκαρτέρουν, ἀλλὰ μετὰ παρρησίας ἐβόων λέγων· εὐλόγως ὁ Θεὸς ὑμῖν[3] ἀκατάληπτον τὴν αὐτοῦ βούλησιν ἔθετο, ἀναξίους προϊδών, ὡς ἐκ[4] τῶν νῦν τοὺς κριτικὸν νοῦν ἔχοντας πληροφορῶν φαίνεται. ἐπεὶ γὰρ νῦν τῆς αὐτοῦ βουλήσεως κήρυκες ἐξαπεστάλησαν, οὐ γραμματικὴν ἐπαγγελλόμενοι τέχνην, ἀλλ' ἁπλοῖς καὶ ἀπανούργοις λόγοις[5] τὴν αὐτοῦ βούλησιν ἐκφαίνοντες, ὡς πάνθ' ὁντινοῦν ἀκούσαντα νοεῖν τὰ λεγόμενα, καὶ οὐ μετὰ ἔξεώς τινος φθονερᾶς, παρέχειν πᾶσιν ἑαυτὴν μὴ βουλομένης[6]· πάρεστε ὑμεῖς, πρὸς τῷ μὴ νοεῖν τὸ ὑμῖν συμφέρον, ἐπὶ τῇ ὑμετέρᾳ βλάβῃ γελᾶν τὴν εἰς τὴν ὑμετέραν καταδίκην ἐν βαρβάροις πολιτευσαμένην ἀλήθειαν, ἣν καὶ ὑμῖν ἐπιδημήσασαν ξενίσαι οὐ βούλεσθε, διὰ τὰς ἀσελγείας ὑμῶν, καὶ τὸ λιτὸν τῶν λόγων αὐτῆς, ἵνα μὴ ἐλεγχθῆτε,

vestrarum quaestionum demonstrationes dare poteram, si veritatis studio interrogassetis. Verum causam diversae creationis culicis et elephanti nunc vobis aperire intempestivum esset, qui Deum omnium rerum ignoratis.

XI. Haec eo dicente quasi ex communi consensu petulantem risum emiserunt, illum nitentes ad silentium et ad angustias redigere tamquam barbarum quemdam insanum. Quae cum ego intuerer, zelo nescio qua ratione correptus, per iram piam amplius tacere non sustinui, sed cum fiducia clamavi dicens, jure Deus voluntatem suam incomprehensibilem vobis esse voluit, indignos praesciens, sicut ex praesentibus dat plene intelligere iis qui mentis judicio utuntur. Quia enim nunc ejus voluntatis praecones missi sunt, non grammaticam profitentes artem, sed simplicibus et sinceris verbis consilium ipsius demonstrantes (adeo ut quilibet qui audierit, intelligat quae dicuntur) neque cum affectu quodam invido, se ipsum cunctis praebere nolente, adestis vos, ut, praeterquam quod non intelligitis, quod vobis expedit, damno vestro veritatem rideatis, quae apud barbaros ad vestram condemnationem versatur, quamque ad vos advenientem non vultis hospitio recipere propter libidines vestras, et ver-

1. *ἀπολύσεις* scribendum esse putat Cl. Tum *ἰδυνάμην* C.

2. *εἰπεῖν οὐκ ἔστιν* C. Tum *τὸν τῶν* p. *τῶν* var. lect. in Epit. c. 10.

3. *ἡμῖν* O. Etiam Rec. I, 9 „vobis.“

4. *ἐξ* O.

5. *λόγοις* transcripsi ex O, quo Si conjectura *ἁπλῶς καὶ ἀπανούργως* superflua redditur. Cf. Rec. 1, 9. Tum *πάντα ὁντινανοῦν* C, *πάντα ὁντινοῦν* S.

6. *βουλόμενοι* conjecit amanuensis ad oram Cod. O, cujus textus *βουλομένης*, ut C. Ibidem *πρὸς τῷ* O et S c. Epit., *πρὸς τὸ* C.

www.libaoli.com.cn

ὅτι εἰκῇ [1] φιλόλογοι ἐστε, καὶ οὐ φιλαληθεῖς φιλόσοφοι· μέχρι μὲν οὖν πότε λαλεῖν μανθάνετε, οἱ τὸ καλῶς [2] λαλεῖν οὐκ ἔχοντες; πολλὰ γὰρ ὑμῶν ῥήματα ἑνὸς οὐκ ἄξια λόγου. τί ἄρα ἐρεῖ ὑμῶν τὸ ἑλληνικὸν πλῆθος μία ψυχὴ γενόμενον, εἴπερ ἔσται [3] κρίσις, ὡς οὗτος λέγει; διὰ τί, ὦ θεέ, τὴν σὴν βούλησιν οὐκ ἐκήρυξας ἡμῖν; οὐ πάντως ἀκούσεσθε, εἴπερ ἀποκρίσεως καταξιωθήσεσθε, τάδε [4]· ἐγὼ πάσας τὰς ἐσομένας πρὸ καταβολῆς κόσμου εἰδὼς προαιρέσεις, ἰδίως [5] ἑκάστῳ πρὸς τὸ αὐτοῦ ἄξιον λανθανόντως προαπήντησα· τοῦτο δὲ αὐτὸ ὅτι οὕτως ἔχει, βουληθεὶς τοὺς προσπεφευγότας μοι πληροφορῆσαι, διὰ τί ἀπαρχῆς ἐκ προτέρων γενεῶν τὴν ἐμὴν βούλησιν θημοσίᾳ οὐκ εἴασα κηρυχθῆναι, νῦν πρὸς τῷ τέλει τοῦ βίου [6] κήρυκας ἐμῆς βουλῆς ἀπέστειλα, οἳ [7] καὶ γελῶνται καὶ ὑβριζόμενοι χλευάζονται ὑπὸ τῶν μηδὲν ὠφελεῖσθαι θελόντων καὶ ἐπιτεταμένως τὴν ἐμὴν φιλίαν παραιτησαμένων. ὦ μεγάλης ἀδικίας, μέχρι φόνου [8] κινδυνεύουσι κήρυκες, καὶ ταῦτα ὑπὸ τῶν εἰς σωτηρίαν καλουμένων ἀνδρῶν.

XII. Τοῦτο δὲ τὸ ἀδίκως γινόμενον κατὰ τῶν ἐμῶν κηρύκων ἀπ' ἀρ-

borum illius vilitatem, ne arguamini, quod temere philologi estis seu amatores sermonum, non autem veritatis amatores philosophi. Quousque ergo discitis loqui, qui pulchre loqui nescitis? Multa quippe verba vestra unius verbi pretio non sunt aestimanda. Quid autem dicet graeca vestra multitudo, unanimis facta, si judicium futurum est, ut iste ait? Quare, Deus, voluntatem tuam non praedicasti nobis? Nonne audietis, si omnino responsionem accipietis, haec: Ego cum omnes futuras voluntates ante constitutionem mundi cognoscerem, unicuique pro merito suo latenter praevius occurri; quod autem id ipsum ita se habeat volens iis, qui ad me confugerunt, plene manifestare, cur ab initio, a primis generationibus voluntatem meam palam non siverim praedicari, nunc circa saeculi finem praecones mei consilii misi, qui et irridentur, et contumeliis affecti deluduntur ab iis qui nequaquam volunt adjuvari, quique meam amicitiam vehementer repudiarunt. O magnam injuriam! mortis etiam periculum subeunt praedicatores; idque per eos homines, qui ad salutem vocantur.

XII. Porro illud injuste factum adversus praecones meos a principio apud

1. Ita O. c. Epit., εἰ καὶ C, qui εἰ καῖοι conj.

2. καλῶς accessit ex O et Epit. Deinde πολλὰ γὰρ περὶ ὑμῶν O.

3. ἔστι O.

4. Ita O et S auctore D, τὰ δὲ C.

5. Ita S auctore D, εἰδὼς C, deest in O, et absque damno deesse potest. Ep.: κ. πρ. εἰδὼς ἑκάστῳ. Ad oram Cod. O haec scholia: πάσας τὰς ἐσομένας πρὸ καταβολῆς κόσμου εἰδὼς προαιρέσεις ὁ θεὸς ἑκάστῳ πρὸς τὸ αὐτοῦ ἄξιον λανθανόντως προαπήντησεν. Et ex adverso: θεὸς ἀπολογούμενος ἐν ἡμέρᾳ τῆς κρίσεως πρὸς τοὺς ἀπίστους.

6. τοῦ βίου vertit C, quasi perinde esset ac τοῦ αἰῶνος, sententia postulante, sed sine exemplo, quod quidem sciam. Cl.

7. οἱ C, quod S recte mutavit in οἵ. At non omittere debebat καὶ γελῶνται. In marg. Cod. O alia manus adnotavit: οὐκ εἰσὶ ταῦτα ἐν τῇ ἑτέρᾳ ἐκδόσει.

8. Ita O et nonnulli Codd. Epitomes, φθόνου C.

www.libool.com.cn

χῆς ἂν εἰς πάντας ἐγίνετο, εἴπερ ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐκαλοῦντο οἱ ἀνάξιοι. τὸ γὰρ νῦν γινόμενον ὑπ' αὐτῶν ἀδίκως εἰς ἀπολογίαν τῆς ἐμῆς δικαίας γίνεται προνοίας, ὅτι καλῶς τὸν τιμῆς ἄξιον λόγον ἀπ' ἀρχῆς δημοσίᾳ εἰς ὕβριν θεῖναι οὐκ ἠβουλήθην [1] ἀνωφελῶς, ἀλλὰ σιγᾶσθαι αὐτὸν ὡς τίμιον ἐβουλευσάμην, οὐκ ἀπὸ τῶν ἀπ' ἀρχῆς ἀξίων, οἷς καὶ μετέδωκα, ἀλλ' ἀπὸ τούτων καὶ τῶν τοιούτων, ὡς ὁρᾶτε, ἀναξίων, τῶν ἐμὲ μισούντων καὶ ἑαυτοὺς φιλεῖν μὴ βουλομένων. καὶ νῦν γε παρέντες γελᾶν τὸν ἄνδρα τοῦτον ἐμοῦ πρὸς τὸ τούτου ἐπάγγελμα πυνθάνεσθε, ἢ πυνθανομένῳ μοι [2] ὁ βουλόμενος ἀποκρινάσθω. καὶ μὴ [3] ὡς ἀσελγεῖς κύνες ὑλάσσετε, ψόφῳ ἀτάκτῳ βύοντες τῶν σώζεσθαι θελόντων τὰς ἀκοάς, ἄδικοι καὶ θεοστυγεῖς, καὶ τὸν σώζοντα λογισμὸν εἰς ἀπιστίαν ἀποσχολοῦντες. πῶς συγγνώμης τυχεῖν δυνήσεσθε, τὸν τὴν θειότητα [4] τοῦ Θεοῦ ἐπαγγελλόμενον ὑμῖν εἰπεῖν ὑβρίζοντες, καὶ ταῦτα ἄνθρωπον ὃν ἐχρῆν, εἰ καὶ μηδὲν ἀληθεύοντα [5], διὰ τὴν ἀγαθὴν αὐτοῦ πρὸς ὑμᾶς ἀποδέξασθαι προαίρεσιν;

XIII. Ταῦτά μου λέγοντος καὶ τὰ τούτοις ἀκόλουθα, πολὺς τῶν ὄχλων ἐγίνετο θρύλλος· καὶ οἱ μὲν ὡς τὸν Βαρνάβαν ἐλεοῦντες συνήραντό μοι· οἱ δὲ ἠλίθιοι ὄντες δεινῶς κατ' ἐμοῦ ἔβρυχον τοὺς ὀδόντας. ἐπεὶ δὲ ἤδη ποτὲ ἑσπέρα κατειλήφει, τῆς χειρὸς λαβὼν τὸν Βαρνάβαν, μὴ θέλοντα,

omnes futurum erat, si a principio ad salutem vocati fuissent qui indigni sunt. Quod enim nunc ab iis injuriose fit, in defensionem fit justae meae providentiae, quod praeclare doctrinam honore dignam nolui inutiliter ab initio ad contumeliam publice exponere, sed eam statui, ut venerandam, silentio tegi; non quidem apud eos qui principio digni erant, quibus et tradidi, sed apud istos et consimiles, ut cernitis, indignos, odio me prosequentes, seque nolentes diligere. Et vero nunc omittentes hunc hominem irridere, a me ipsius repromissionem audite, vel qui volet mihi percontanti respondeat. Ac ne velut petulantes canes latretis, incomposito strepitu, aures salvari desiderantium obstruentes injusti ac Deo exosi, et servatricem cogitationem avocantes ad incredulitatem. Quo pacto veniam consequi poteritis, eum qui vobis naturam Dei referre promittit, contumelia afficientes; idque hominem, quem oportuerat, etsi nihil vere loquentem, propter bonam ipsius erga vos voluntatem, grate suscipere?

XIII. Quae cum dicerem, aliaque his consentanea, multum in plebe ortum est murmur: atque alii quidem tamquam Barnabam miserantes mihi favebant: alii vero qui erant stolidi, graviter in me stridebant dentibus. Cumque jam vespera advenisset, Barnabae manu apprehensa, eum nolentem vi ad meam

1. ἐβουλήθην C.
2. πυνθανομένων ὁ βουλόμενος C.
3. μὴ accessit ex O. Tum ὑλάκτετε C, qui et μύοντες p. βύοντες.
4. θεότητα C.
5. ἀληθὲς λέγοντα O. Subsequens διὰ addidit S auctore Rufino Rec. 1, 9.

*βία εἰς τὴν ἐμὴν ἦγον οἰκίαν, ἔνθα καὶ μένειν αὐτὸν ἐποίησα, ἵνα μή τις αὐτῷ χεῖρας ἐπιβάλῃ. καὶ ἡμερῶν ὀλίγων διατρίψας, καὶ τοῦ ἀληθοῦς λόγου βραχέα κατηχήσας με ὀλίγον, ὡς*[1] *ἐν ὀλίγαις ἡμέραις, σπεύδειν ἔλεγεν εἰς Ἰουδαίαν τῆς κατὰ τὴν θρησκείαν ἑορτῆς χάριν, καὶ τοῦ λοιποῦ τοῖς ἑαυτοῦ ὁμοεθνέσι συνεῖναι θέλων.*

XIV. *Φανερὸς δ' ἦν μοι ἀποναρκήσας. ἐμοῦ γὰρ εἰπόντος· σύ μοι μόνον τοὺς τοῦ φανέντος ἀνδρὸς οὓς ἤκουσας*[2] *ἐκτίθου λόγους, κἀγὼ τῷ ἐμῷ κοσμήσας λόγῳ τοῦ Θεοῦ κηρύξω τὴν βούλησιν, καὶ εἶθ' οὕτως ἐντὸς ὀλίγων ἡμερῶν συμπλεύσω*[3] *σοι· λίαν γὰρ ποθῶ ἐπὶ τὸν τῆς Ἰουδαίας γενέσθαι τόπον· τάχα δὲ καὶ συνοικήσω ὑμῖν τὸν πάντα μου τῆς ζωῆς βίον*[4]*· ὁ δὲ ταῦτα ἀκούσας ἀπεκρίνατο· σὺ εἰ μὲν ἱστορῆσαι τὰ ἡμέτερα καὶ μαθεῖν τὸ συμφέρον θέλεις, ἐξ αὐτῆς μοι σύμπλευσον· εἰ δὲ μὴ βούλει, τὰ ἄλλα*[5] *σημεῖα τῆς οἰκήσεώς μου καὶ ὧν θέλεις ἐγώ σοι σήμερον ἐρῶ*[6]*, ἵνα ὅτε βούλει ἐλθὼν ἐπιστῇς ἡμῖν· ἐγὼ γὰρ αὔριον πορεύσομαι ἐπὶ τὰ ἐμαυτοῦ. καὶ δὴ ἀδυσώπητον ἰδὼν συνῆλθον αὐτῷ μέχρι τοῦ λιμένος· καὶ μαθὼν παρ' αὐτοῦ ἅπερ ἔλεγε σημεῖα τῶν οἰκήσεων, ἔφην αὐτῷ· εἰ μὴ ὅτι αὔριόν τι ἀπαιτῶ ὀφειλόμενόν μοι, ἐξ αὐτῆς ἄν σοι συνέπλεον· πλὴν τάχιόν σε καταλήψομαι. καὶ ταῦτα εἰπών, καὶ*[7] *παραθέμενος αὐτὸν τοῖς τοῦ πλοίου ἡγουμένοις ὑπέστρεφον λυπούμενος, μεμνημένος τοῦ καλοῦ καὶ συνήθους φίλου.*

duxi domum; ubi et feci manere, ne quis ei manus injiceret. Paucosque dies commoratus, nonnulla verae religionis mihi tradidit rudimenta, quod paucis post diebus properare se diceret ad Judaeam propter festum, velletque deinceps cum suis popularibus degere.

XIV. Videbatur autem mihi esse plane perculsus. Cum enim ego dicerem: tu mihi tantum hominis illius qui apparuit, quos audiisti expone sermones, et ego oratione mea illos exornans, Dei consilium praedicabo, sicque postea una navigabo intra paucos dies: admodum enim cupio ad Judaeae regionem pervenire: ac forte vobiscum per totam vitam habitabo: — ille his auditis respondit: tu, si quidem videre nostra, et quod expedit vis discere, mecum statim navigato; si nolis, reliqua signa domicilii mei et quorum volueris tibi hodie dicam, ut quando volueris venire, nobis occurras: ego enim cras ad mea me recipiam. Videns itaque inexorabilem esse, comitatus sum eum usque ad portum; acceptisque ab eo signis quae dixerat domiciliorum, dixi illi: nisi cras aliquid quod mihi debetur repetiturus essem, jamjam tecum navigarem; cito tamen te assequar. Et his dictis, commendatoque eo navis ductoribus, reversus sum tristis, memor boni et concordis amici.

1. *ὅσον* Liber Regius 804, quod praestat.
2. Vbb. *οὓς ἤκουσας* om. O. Idem *κατὰ* p. *κἀγώ*.
3. *συμπλεύσωσι* omisso *σοι* O.
4. Leg. *χρόνον* ex Epit. c. 13. Vid. Hom. II, 28. D.
5. *ἐπεί γε τὰ* C.
6. *γνωριῶ* C et Ep.
7. *καὶ* excidit ap. Cl. et S.

www.libook.com.cn

XV. Ἡμερῶν δὲ διατρίψας, καὶ τὸ χρέος οὐχ ὅλον λαβεῖν δυνηθείς, τάχους ἕνεκα ἀμελήσας τοῦ περιλειφθέντος, ὡς ἐμποδίου ὄντος, καὶ αὐτὸς εἰς Ἰουδαίαν ἀπέπλευσα, καὶ δεκαπέντε[1] ἡμερῶν εἰς Καισάρειαν κατήντησα τὴν Στράτωνος. ἐπίβαντος δέ μου τῆς γῆς καὶ ξενίαν θηρωμένου, ἔμαθον ὅτι Πέτρος τις λεγόμενος, τοῦ ἐν Ἰουδαίᾳ εἰσφανέντος ἀνδρὸς τοῦ σημεῖα καὶ τέρατα πεποιηκότος ὁ δοκιμώτατος ὑπάρχων μαθητής, αὔριον Σίμωνι τῷ ἀπὸ Γιτθῶν Σαμαρεῖ ζήτησιν ποιεῖται λόγων. ἐγὼ δὲ ταῦτα ἀκούσας ἐδεήθην τὴν τούτου μοι μηνυθῆναι μονήν· καὶ ὁμῶς ἔμαθον καὶ τῷ πυλῶνι ἐπέστην. θεασάμενοι δὲ οἱ ἐν τῷ οἴκῳ ἀντέβαλον[2] τίς τε ὢν καὶ πόθεν ἥκω. καὶ ἰδοὺ Βαρνάβας ἐκβὰς ἅμα τῷ ἰδεῖν[3] περιεπλάκη μοι, πολὺ χαίρων καὶ δακρύων· καὶ λαβόμενός μου τῆς χειρὸς εἰσέφερεν ἔνθα ἦν ὁ Πέτρος, λέγων μοι, οὗτός ἐστιν Πέτρος, ὃν μέγιστον ἐπὶ τῇ τοῦ Θεοῦ σοφίᾳ ἐπηγγειλάμην[4] σοι, ᾧ ἀπαύστως σε ἀντέβαλλον. ὡς εἴσιθι ἐκ ταυτομάτου, ὅτι τὰ κατά σε καλὰ ὄντα ἀψευδῶς ἀντέβαλλον[5], ἅμα καὶ τὴν προαίρεσιν ἐξέφηνα[6], ὡς αὐτὸν γλίχεσθαι καὶ ἰδεῖν σε. μέγα οὖν αὐτῷ δῶρόν σε διὰ τῶν ἐμῶν προσφέρω χειρῶν. καὶ τοῦτο εἰπών, προσενέγκας ἔφη, οὗτός ἐστι Κλήμης, Πέτρε.

XV. Aliquot autem dies moratus, ac totum debitum recipere non valens, propter festinationem reliquo neglecto, quod impedimento esset, ipse quoque in Judaeam enavigavi, et quintodecimo die Caesaream Stratonis adveni. Cumque terram tetigissem, et hospitium investigarem, accepi, quemdam nomine Petrum, viri illius qui in Judaea conspectus est, quique signa et prodigia fecit, probatissimum discipulum, crastino die cum Simone ex Gitthis Samaritano esse disputaturum. Quibus auditis, rogavi illius mansionem mihi indicari: et simul atque didici, praesto fui ad fores. At illi in domo, cum me viderent, inter se conferebant, quisnam essem, ac unde venirem. Et ecce Barnabas egressus, statim ut vidit, complexus est me, multum gaudens ac lacrimans; apprehensaque manu mea, introduxit in locum ubi erat Petrus, dixitque mihi: hic est Petrus, quem maximum in Dei sapientia tibi denunciabam, cui assiduo de te loquebar. Ultro igitur ingredere; quoniam quae in te bona sunt, vere illi enarravi, simulque manifestum feci propositum tuum, ita ut ipse etiam te videre aveat. Magnum ergo ei munus te manibus meis offero. Quod cum dixisset, oblato me, ait: hic est Clemens, Petre.

1. *διὰ δεκαπέντε* conj. C, ut est in Cod. Reg. 804 et Epit. c. 14.

2. *θεασάμενον δὲ οἱ ἐν τῷ οἴκῳ ἀντέβαλον* O, *ἀντέβαλλον* reliq. omissis C, *οἱ δ' ἀντέβαλλον* S ex Cod. 804, qui addit *οἱ δ' ἐν τῷ οἴκῳ*. In Epit. c. 14: *θεασάμενοι δὲ οἱ ἐν τῷ οἴκῳ*.

3. Ita S et Epit. *εἰδεῖν* C O.

4. *ἐπηγγελλόμην* C.

5. In Ms. Clementinorum scriptum habetur *ὡς εἰσοῖ*, e quo formari potest *ὡς εἴσει*, „ingredere igitur“, ut vertit Rufinus: *εἴσει* p. *εἴσισθι* [imo potius *εἴσιθι*]: vel *ὡς εἰσῃ*, „ut cognoscas.“ C. *ὡς* (seq. parvula lacuna) *ἐκ ταυτομάτου ὅτι πάντα τὰ κατὰ σὲ κτλ. ἀντέβαλον* O.

6. Ita S, *ἐξέφανα* C O. Deinde leg. *ὡς γλίχεσθαι καὶ αὐτόν* S.

XVI. Ὁ δὲ ἀγαθὸς προσπηδήσας ἅμα τῷ ἀκοῦσαι τὸ ὄνομα κατεφίλησεν, καὶ ἐγκαθισθῆναί[1] με ποιήσας ἐξ αὐτῆς ἔφη· καλῶς ἐποίησας τὸν τῆς ἀληθείας κήρυκα ξενίσας Βαρνάβαν, εἰς τιμὴν τοῦ ὄντως[2] Θεοῦ, μεγαλοφρόνως, οὐκ αἰδεσθείς, οὐ φοβηθεὶς τὸν τῶν ἀπαιδεύτων ὄχλων θυμόν. μακάριος ἔσῃ. ὡς γὰρ σὺ[3] τὸν τῆς ἀληθείας πρεσβευτὴν οὕτω ἐξένισας πάσῃ τιμῇ, καὶ αὐτή σε ἡ ἀλήθεια ξένον ὄντα τῆς ἰδίας πόλεως κατασήσει πολίτην· καὶ τότε χαρήσῃ μεγάλως, ὅτι βραχεῖαν νῦν ἐδάνεσας[4] χάριν, προαίρεσιν λόγων καλῶν λέγω, καὶ ἀϊδίων καὶ ἀναφαιρέτων ἀγαθῶν ἔσῃ κληρονόμος. καὶ μὴ κάμνε ἀντιβάλλειν μοι τὸ σὸν ἦθος· πάντα γὰρ τὰ κατά σε ὁ ἀψευδὴς[5] ἡμῖν ἀντέβαλε Βαρνάβας, σχεδὸν καθ' ἡμέραν τὴν ἀγαθήν σου[6] ποιούμενος μνήμην. καὶ ἵνα σοι ἐν ἐπιτομῇ ὡς γνησίῳ φίλῳ[7] τὸ προκείμενον ἐρῶ, εἰ μή σοί τι ἐμποδίζει, συνόδευσον ἡμῖν, μεταλαμβάνων τῶν τῆς ἀληθείας λόγων, ὧν[8] κατὰ πόλιν ποιεῖσθαι μέλλω, μέχρι Ῥώμης αὐτῆς. καὶ σὺ δὲ εἴ τι βούλει λέγε.

XVII. Κἀγὼ[9] ἐξεθέμην τὴν ἐξ ἀρχῆς μοι προαίρεσιν, καὶ ὡς εἰς ζητήσεις ἀπόρους ἐκενώθην, καὶ πάντα ὅσα σοι τὴν ἀρχὴν προεθήλωσα, ὡς

XVI. At bonus Petrus, simul ac nomen audivit, prosiliit et osculatus est, ac sedere me fecit, statimque dixit, recte fecisti, praeconem veritatis Barnabam hospitem excipiendo, magno animo in veri Dei honorem, furorem imperitae multitudinis non veritus. Beatus eris. Quemadmodum enim tu veritatis legatum ita cum omni honore excepisti hospitio, ipsa quoque te veritas hospitem, suae urbis civem constituet: tuncque magnopere laetaberis, quia nunc parvam foeneratus gratiam, bonorum dico sermonum voluntatem, bonorum aeternorum, quaeque auferri nequeunt, haeres efficieris. Nec vero laborem subeas referendi mihi mores tuos: siquidem omnia tua nobis edisseruit qui mentiri nescit Barnabas, fere quotidie bonam tui mentionem faciens. Utque tibi, tamquam sincero amico, id quod res est, breviter dicam: nisi tibi aliquid impedimento est, iter nobiscum habe, ac percipe sermones veritatis, quos per singulas civitates, ipsam usque Romam, habiturus sum. Tu porro, si aliquid cupis, effare.

XVII. Et ego quid ab initio propositi gesserim exposui, et quo modo quaestionibus inexplicabilibus exhaustus fuerim, caeteraque quae tibi principio

1. ἐγκαθεσθῆναι O, καθεσθῆναί C, καθισθῆναι S.
2. ὄντος C. Lectio nostri Codicis jam placuit Schweglero. Cfr. Hom. II, 28. III, 3.
3. Vbb. ὡς γὰρ σὺ om. O; σε p. σὺ Cl, non C, ut perperam asserit S. In O deinde ξενίσας πάσῃ τιμῇ, ἀνθ' ὧν αὐτὴ καὶ σὲ ἡ ἀλ.
4. δανείσας S auctore D, ut Epit. c. 15. Tum scripsi λόγων καλῶν (καὶ O) λέγω, καὶ ἀϊδίων c. O, λόγων καλῶν λέγων (l. λέγω), ἀϊδίων C.
5. ἀψευδεὶς O.
6. σου addidi c. O.
7. φίλῳ praetermisit S c. Cl.
8. τὸν τῆς ἀληθείας λόγον, ὃν C.
9. Ἐγὼ C. Idem μου p. μοι.

ἵνα μὴ τὰ αὐτὰ πάλιν γράφω. ἔλεγον δέ· σοὶ μὲν ἑτοίμως ἔχω συνοδεύειν· τοῦτο γὰρ οὐκ οἶδα [1], ὅπως χαίρων θέλω· πλὴν περὶ ἀληθείας πρῶτον πληροφορηθῆναι θέλω, ἵνα γνῶ, εἰ ἡ [2] ψυχὴ θνητὴ τυγχάνει, ἢ ἀθάνατός ἐστιν. καὶ εἰ [3] ἀΐδιος οὖσα περὶ ὧν ἔπραξεν ἐνταῦθα ἔχει κριθῆναι· καὶ εἰ [4], τί ποτέ ἐστι δίκαιον ἢ ἄρεσκον Θεῷ· καὶ εἰ γέγονε κόσμος, καὶ διὰ τί γέγονε, καὶ εἰ οὐ λυθήσεται, καὶ εἰ λυθήσεται· καὶ εἰ κρείττων ἔσται, ἢ οὐδὲ ἔσται· καὶ ἵνα μὴ τὸ κατ' εἶδος λέγω, ταῦτά τε [5] καὶ τὰ τούτοις ἑπόμενα μαθεῖν εἶπον θέλειν. ὁ δὲ πρὸς. ταῦτα ἀπεκρίνατο· συντόμως σοι, ὦ Κλήμης, τὴν τῶν ὄντων γνῶσιν παρέξομαι· καὶ τὰ νῦν ἐξ αὐτῆς ἄκουσον.

XVIII. Ἡ τοῦ Θεοῦ βουλὴ ἐν ἀδήλῳ γέγονε κατὰ πολλοὺς τρόπους. τὰ μὲν πρῶτα εἰσαγωγὴ κακή, συντροφία πονηρά, συνήθεια δεινή, ὁμιλία οὐ καλή, πρόληψις οὐκ ὀρθή [6]· διὰ ταῦτα πλάνη, εἶτα ἀφοβία, ἀπιστία, πορνεία, φιλαργυρία, κενοδοξία, καὶ ἄλλα τοιαῦτα μυρία κακά, ὥσπερ καπνοῦ πλῆθος, εἰς [7] ἕνα οἶκον οἰκοῦντα τὸν κόσμον, τῶν ἔνδοθεν οἰκούντων ἀνδρῶν ἐπεσκόλωσαν [8] τὰς ὁράσεις, καὶ [9] οὐκ εἴασαν ἀναβλέψαντας ἐκ τῆς διαγραφῆς τὸν δημιουργήσαντα νοῆσαι Θεόν, καὶ τὸ τούτῳ δοκοῦν

antea declaravi, uti ne eadem iterum scribam. Dixi autem: paratus quidem sum tecum proficisci: hoc enim nescio quo modo cupio laetus: verum prius volo certior de veritate fieri, ut sciam utrum anima mortalis sit, an immortalis; et si sempiterna sit, an ob ea quae hic gessit, judicari debeat: item an et quid sit justum, ac Deo gratum: praeterea factusne sit mundus, et quare factus; et utrum non dissolvetur, an dissolvetur, et an melior futurus, an nec futurus omnino: ac ne singula prosequar, haec atque consequentia dixi me velle edoceri. At ille ad ea respondit; breviter tibi, o Clemens, rerum scientiam exhibebo; et jam nunc audi.

XVIII. Dei voluntas multas ob rationes occulta fuit. Primum quidem prava institutio, convictus vitiosus, consuetudo perniciosa, mala colloquia, non recta opinionum anticipatio, et eapropter error; dein contemptus, incredulitas, fornicatio, avaritia, inanis gloria, aliaque similia innumera mala, velut ingens fumus unam domum mundum incolentia intus habitantium hominum visum offuscarunt, nec siverunt aspicere, atque mundi creatorem Deum intelligere ex

1. οἶδ' C.
2. ἡ accessit ex O.
3. Ita O c. Epit. c. 16, εἰ ἀθάνατός ἐστιν, καὶ C.
4. καὶ εἰ — sc. ἀΐδιος οὖσα ἔχει κριθῆναι. Propterea S commate distinxit post εἰ.
5. τε subjunxi c. O.
6. εἰσαγωγῇ κακῇ συντροφίας πονηρᾶς, συνηθείᾳ δεινῇ, ὁμιλίᾳ οὐ καλῇ, προλήψει οὐκ ὀρθῇ O.
7. Ita O, ὡς C, εἰς ἕνα οἶκον ἐλθόντα, τὸν κόσμον, τῶν ἔνδοθεν κτλ. conjecit D, εἰς ἕνα οἶκον ἐπεισελθόντα τὸν κόσμον κτλ. Epit. c. 17. Rufin. Rec. I, 15: „universam domum hujus mundi replevit.“ An ἕνα οἶκον εἰσοικοῦντα?
8. ἐπιθολῶσαν O.
9. καὶ om. O, qui exh. εἴασεν. Tum τὸν δημιουργὸν συγκαταγοῆσαι C.

γνωρίσαι. διὸ τοὺς φιλαλήθεις[1] ἔσωθεν χρὴ ἐκ στέρνων βοήσαντας ἐπικουρίαν προσκαλέσασθαι, φιλαλήθει[2] λογισμῷ, ἵνα τις ἐντὸς ὢν τοῦ οἴκου τοῦ πεπλησμένου καπνοῦ, προσιὼν ἀνοίξῃ θύραν, ὅπως δυνηθῇ τὸ μὲν ἐκτὸς τοῦ ἡλίου φῶς εἰσκριθῆναι τῷ οἴκῳ, ὁ δὲ ἐντὸς τοῦ πυρὸς ὢν ἐκβληθῆναι καπνός.

XIX. Τὸν μὲν οὖν βοηθὸν ἄνδρα τὸν ἀληθῆ προφήτην λέγω, ὃς μόνος φωτίσαι ψυχὰς ἀνθρώπων δύναται, ὥστ' ἂν αὐτοῖς ὀφθαλμοῖς δυνηθῆναι ἡμᾶς ἐνιδεῖν[3] τῆς αἰωνίου σωτηρίας τὴν ὁδόν. ἄλλως δὲ ἀδύνατον, ὡς οἶσθα καὶ σὺ μικρῷ τάχιον εἰπών, ὡς πᾶσα ἡ[4] ὑπόθεσις ἀνασκευάζεται καί κατασκευάζεται, καὶ πρὸς τὴν τοῦ ἐκδικοῦντος δύναμιν ἡ αὐτὴ ἀληθὴς καὶ ψευδὴς νομίζεται· ὡς μηκέτι τὰς ὑποθέσεις φαίνεσθαι ὅ εἰσιν, ἀλλὰ παρὰ τοὺς ἐκδικοῦντας φαντασίαν λαμβάνειν τοῦ εἶναι ἢ μὴ εἶναι ἀληθεῖς ἢ ψευδεῖς. τούτου ἕνεκεν[5] προφήτου ἀληθοῦς ὅλον τὸ τῆς εὐσεβείας ἐδεήθη πρᾶγμα, ἵνα ἡμῖν ἐρῇ[6] τὰ ὄντα ὡς ἐστιν, καὶ ὡς δεῖ περὶ πάντων πιστεύειν. ὥστε πρῶτον χρὴ τὸν προφήτην πάσῃ τῇ προφητικῇ ἐξετάσει δοκιμάσαντα καὶ ἐπιγνόντα τὰ[7] ἀληθῆ, τοῦ λοιποῦ τὰ πάντα αὐτῷ πιστεύειν, καὶ μηκέτι τὸ καθ' ἓν ἕκαστον τῶν ὑπ' αὐτοῦ λεγομένων ἀνακρίνειν, ἀλλὰ λαμβάνειν αὐτὰ βέβαια ὄντα, δοκούσῃ μὲν πίστει, ληφθέντα δὲ ἀσφαλεῖ κρίσει· ἀποδείξει γὰρ μιᾷ τῇ ἀπαρχῆς καὶ[8] ἀκριβεῖ

iis in quibus ipse se pinxit, neque cognoscere quod ei placet. Quocirca oportet ut veritatis studiosi intus ex pectore clament, auxiliumque advocent, ratione studium veritatis decente; quo aliquis intra domum fumo plenam consistens accedat foresque aperiat, ut lumen solis extra positum in domum possit intromitti, ignis vero fumus, qui intro est, ejici.

XIX. Hunc igitur adjutorem hominem verum Prophetam dico, qui solus animas hominum potest illuminare, quo ipsis oculis viam aeternae salutis inspicere possimus. Aliter enim fieri nequit, ut nosti, tuque paulo ante dicebas, quod nempe omne argumentum destruitur et adstruitur, atque idem juxta propugnatoris facultatem verum et falsum existimatur; adeo ut sententiae, quales sint, non jam appareant, sed per disputatores speciem accipiant veritatis aut falsitatis. Quocirca totum pietatis negotium vero Propheta indiguit, ut nobis quae sunt quemadmodum sunt diceret, ac quo modo de omnibus oporteat credere. Quare oportet primum, comprobato per omnem propheticam inquisitionem Propheta, cum cognitum erit verum esse, de caetero universa ipsi credere, nec amplius singulatim ejus dicta discutere, sed ea firma certaque praesumere; per fidem quidem, ut videtur, per indubitatum tamen judicium suscepta: per unam

1. φιλαληθεῖς C.
2. φιλαληθεῖ C. Tum S proponit ἐκτὸς p. ἐντὸς.
3. Ita S suffragante O, ἐνειδεῖν C.
4. ἡ adjunxi c. O.
5. εἵνεκεν C.
6. ἐρεῖ O.
7. τὰ addidi c. O.
8. καὶ om. O.

ἐξετάσει τῇ πανταwww.libtool.com.cnχόθεν τὰ ὅλα ὀρθῷ εἴληπται λογισμῷ. διὸ πρὸ πάντων τὸν ἀληθῆ προφήτην ζητεῖν δεῖ, ὅτι ἄνευ τούτου βέβαιόν τι προσεῖναι ἀνθρώποις ἀδύνατον.

XX. Καὶ ὁμῶς ἀνέπαυσέ με, ἐπθέμενός μοι τίς ἔστι καὶ πῶς εὑρίσκεται, καὶ ἀληθῶς εὑρετόν μοι παρασχὼν αὐτόν, τῶν παρὰ ὀφθαλμοῖς ὁρωμένων ἐμφανεστέραν τῇ τοῦ προφήτου ὁμιλίᾳ τοῖς ὠσὶ δείξας τὴν ἀλήθειαν, ὡς ἐκπλαγέντα με θαυμάζειν, πῶς τῶν πᾶσι ζητουμένων ἔμπροσθεν κειμένων οὐδεὶς ἑνορᾷ. πλὴν γράψας τὸν περὶ προφήτου λόγον, αὐτοῦ κελεύσαντος [1] ἀπὸ τῆς Καισαρείας τῆς Στράτωνος διαπεμφθῆναί σοι ἐποίησε [2] τὸν τόμον, παρά σου ἐντολὴν ἔχειν εἰπών, τὰς καθ' ἕκαστον ἐνιαυτὸν ὁμιλίας τε καὶ πράξεις γράφοντα διαπέμπειν σοι. ὅμως ἐν μιᾷ τῇ πρώτῃ ἡμέρᾳ ἀρχὴν ἤδη μόνον ποιούμενος περὶ τοῦ τῆς ἀληθείας προφήτου, περὶ πάντων με ἐπληροφόρησεν. καὶ εἶθ' οὕτως ἔφη· ἑνόρα τοῦ λοιποῦ τὰς ἐξ ἐμοῦ πρὸς τοὺς ἐξ ἐναντίας γινομένας ζητήσεις· καὶ εἰ τὸ ἧττον ἀπενέγκωμαι, οὐ δέδια μή πως σὺ περὶ τῆς παραδοθείσης σοι ἀληθείας διακριθῇς, εὖ [3] εἰδὼς ὅτι ἐγὼ ἡττᾶσθαι ἔδοξα, οὐχ' [4] ἡ ὑπόθεσις ἡ διὰ τοῦ προφήτου παραδοθεῖσα ἡμῖν. πλὴν ἐλπίζω μηδὲ [5] ἐν τῷ ἐξεταστικῷ λόγῳ τὸ ἧττον ἀπενέγκασθαι πρὸς τοὺς νοῦν ἔχοντας, φιλαληθεῖς

enim ab initio demonstrationem atque exactam disquisitionem, undique collectam, cuncta ratione recta assumpta sunt. Quare ante omnia verus Propheta quaerendus est; quoniam sine ipso firmi quid apud homines nequit consistere.

XX. Simulque satisfecit mihi, exponens, quis sit, et quo pacto inveniatur; vereque inventu facilem eum mihi praebuit; atque per sermones de Propheta auribus meis veritatem clariorem iis, quae per oculos cernuntur, reddidit; adeo ut obstupefactus mirarer, quo modo ea quae omnes quaerunt, coram posita nemo videat. Itaque jussu ipsius de vero Propheta conscripsi librum, quem de Caesarea Stratonis ad te mitti voluit, dicens se a te habere in mandatis, singulorum annorum allocutiones et actiones descriptas ad te destinare. Caeterum uno ac primo die, solummodo jam incipiens de veritatis Propheta, in omnibus certum me reddidit: posteaque ita infit: considera deinceps quas contra adversarios habiturus sum disputationes; et inferior si recessero, non vereor ne forte tu de tradita tibi veritate ambigas; ut qui scias, me quidem superatum videri, non autem nobis a Propheta traditam doctrinam. Spero tamen neque in disquisitionum sermonibus inferiora relaturum me, apud

1. κελεύσαντα O, ex quo accessit τῆς ante Στράτωνος.

2. Manifesta est hujus loci corruptela. Rufinus ita interpretatur: „unde jubente eo — librum — conscripsi, eumque ad te ipso jubente transmisi. Dicebat enim, mandatum se accepisse abs te, ut — transmitteret.“ Unde crediderim corrigendum esse ἐποίησα et εἰπόντος. Si anacoluthia conceditur, inserendum saltem οὗ post κελεύσαντος. S.

3. εὖ D, ἦ C O.

4. οὐχὶ C.

5. Ita S, μή τε C O. Tum ἐξετᾶσται O mendose.

λέγω, οἵτινες δύνανται γνωρίζειν τῶν λόγων τίνες εἰσὶ πιθανοί, ἔντεχνοί τε καὶ ἐπιτερπεῖς, τίνες τε[1] λιτοὶ καὶ ἁπλοῖ, μόνῃ τῇ δι' αὐτῶν ἀληθείᾳ πεποιθότες.

XXI. Ταῦτα αὐτοῦ εἰπόντος, ἀπεκρινάμην· ἤδη εὐχαριστῶ τῷ Θεῷ· ὡς γὰρ ἐβουλόμην πληροφορηθῆναι, οὕτως μοι καὶ παρέσχεν. πλὴν τὰ περὶ ἐμοῦ τοσοῦτον ἀμέριμνος[2] ἴσθι, ὅτι οὐ πώποτε ἐνδοιάσω, τοσοῦτον[3], ὅσον εἰ καὶ αὐτὸς σὺ βουληθείης ποτὲ τῆς προφητικῆς ὑποθέσεως ἐκστῆσαί με, ἀδυνατῶν οὐ δυνήσῃ[4], τοσοῦτον οἶδα ὃ παρείληφα. καὶ μή τοι[5] νόμιζέ μέ σοι μέγα ἐπαγγέλλεσθαι, τοῦτ' αὐτὸ τὸ μὴ ἐνδοιάσαι ποτέ· ἀλλ' οὔτ' αὐτὸς[6] ἐγὼ οὔτε τις ἀνθρώπων τῶν[7] περὶ προφήτου λόγων ἐπακούσας ἐνδοιάσαι ποτὲ δυνήσεται περὶ τῆς ἀληθοῦς[8] ὑποθέσεως, πρότερον ἐπακούσας καὶ νοήσας, τί ἐστι προφητικῆς ἐπαγγελίας ἀλήθεια. διὸ θάρρει τῷ θεοβουλήτῳ δόγματι· πᾶσα γὰρ τέχνη κακίας νενίκηται. πρὸς γὰρ προφητείαν οὐδὲν δύνανται οὔτε τέχναι λόγων, οὔτε σοφισμάτων ἐπίνοιαι, οὐ συλλογισμοί, οὐκ ἄλλη τις μηχανή· ἐάν γε ὁ ἐπακούσας προφήτου ἀληθοῦς ἀληθείας ὄντως ὀρέγεται, καὶ οὐ προφάσει ἀληθείας ἕτερόν τι περιβλέπεται. ὥστε[9] κύριέ μου Πέτρε, μὴ ἀθύμει, ὡς ἀναισθήτῳ τὸ

homines mente praeditos, amatores, inquam, veritatis, qui discernere valeant quinam sermonum persuasorii sunt, artificiosi et jucundi, quinam vero inculti simplicesque, in sola quam proferunt veritate confidentes.

XXI. Postquam haec dixisset, respondi: jam gratias Deo ago, quia sicut volui plenitudinem certitudinis accipere, ita et mihi tribuit. Caeterum quod ad me attinet, noli amplius esse sollicitus, quoniam dubitabo numquam; in tantum, ut etiam si tu ipse velis aliquando me a fide Prophetae avertere, rem impossibilem perficere non poteris, adeo quod accepi, mente teneo. Neque vero existimes, magnum a me promitti, hoc ipsum, quod numquam sim haesitaturus: sed neque ipse ego, nec ullus hominum auditis sermonibus de Propheta ambigere unquam de vera doctrina poterit, cum prius audierit intellexeritque quid sit propheticae repromissionis veritas. Quare confide de Deo placitae sententiae. Omnis quippe devicta est ars malitiae. Nam adversus prophetiam nihil possunt neque verborum artificia, neque sophismatum excogitationes, non syllogismi, non alia quaeniam machinatio; si veri Prophetae auditor veritatem omnino appetit, non autem veritatis praetextu respicit aliud quidpiam. Itaque Domine mi Petre, anxius ne sis, quasi maximum donum homini sensu carenti

1. τε O c. S, γε C.
2. ἀμέριμνον O.
3. τοσοῦτον expungendum. S Tum βουληθείς ποτε O.
4. Ita O, ἠδυνήσῃ C, σε ἀδυνατῆσαι vel ἂν ἀδυνατήσαις proposuit S.
5. τι O. Tum μέ σοι D, μοι σὺ C, Rufinus: „tibi me.“ Deinde τοῦτο C.
6. αὐτὸ O.
7. τὸν — λόγον C.
8. ἀληθείας O, in marg. eadem manu correctum in ἀληθοῦς. Dein τίς ἐστιν C.
9. καὶ οὔτε O.

μέγιστον δωρησάμενος ἀγαθόν. αἰσθομένῳ γὰρ χάριτος ἐδωρήσω[1], καὶ μὴ δυναμένῳ ἀπατηθῆναι ἀπὸ τοῦ δοθέντος ἀληθοῦς. οἶδα γὰρ ὅτι ἔν ἐστιν[2] ὧν βούλεταί τις καὶ ταχέως λαβεῖν καὶ βραδέως μή τυχεῖν[3]· οἶδα οὖν μὴ καταφρονεῖν τοῦ δοθέντος μοι, διὰ τὸ τάχος, ἀσυγκρίτου καὶ μόνου ἀσφαλοῦς.

XXII. Ταῦτά μου εἰπόντος ὁ Πέτρος ἔφη· χάριν ὁμολογῶ τῷ Θεῷ καὶ περὶ τῆς σῆς σωτηρίας καὶ περὶ τῆς ἐμῆς[4] ἀπολαύσεως. ἀληθῶς γὰρ ἥδομαι εἰδὼς ὅτι ἐπέγνως τί ποτ' ἔστι προφητείας[5] μέγεθος. ἐπεὶ οὖν, ὡς ἔφης[6], οὐδ' ἂν αὐτὸς ἐγὼ θελήσω ποτέ, ὅπερ ἀπείη, εἰς ἕτερόν σε μεταστῆσαι δόγμα, οὐχ[7] ἱκανὸς ἔσομαι πεῖσαί σε, ἄρξαι τοῦ λοιποῦ ἀπὸ τῆς αὔριον παρεῖναί μοι ἐν ταῖς τῶν ἀντικειμένων ζητήσεσιν. ἔστι δέ μοι ἡ αὔριον πρὸς Σίμωνα μάγον. καὶ ταῦτ'[8] εἰπὼν καὶ τροφῆς αὐτὸς μεταλαβὼν ἰδίᾳ κἀμὲ μεταλαβεῖν ἐκέλευσεν· εὐλογήσας δὲ ἐπὶ τῇ τροφῇ καὶ εὐχαριστήσας, μετὰ τὸ κορεσθῆναι καὶ αὐτοῦ τούτου τὸν λόγον μοι ἀποδοὺς ἐπήγαγε λέγων· δῴη σοι ὁ Θεὸς κατὰ πάντα ἐξομοιωθῆναί μοι, καὶ βαπτισθέντα τῆς αὐτῆς μοι μεταλαβεῖν τραπέζης. ταῦτα εἰπὼν ἡσυχάζειν μοι προσέταξεν. ἤδη γάρ που καὶ τὸν ὕπνον ἀπῄτει ἡ τοῦ σώματος φύσις.

tradideris. Sentienti enim gratiam dedisti, eique qui circa traditum verum non poterit decipi. Novi quippe id unum esse ex iis, quae aliquis cupierit cito accipere, non autem tarde consequi. Scio igitur non contemnendum esse ob celeritatem, quod datum mihi est, quodque est incomparabile ac solum tutum.

XXII. Haec postquam locutus sum, Petrus dixit: gratiam Deo habeo, et pro salute tua, et pro meo commodo atque oblectamento. Vere siquidem gaudeo, sciens te quaenam sit prophetiae magnitudo cognovisse. Quoniam ergo, ut dixisti, neque si ipse ergo aliquando, quod absit, voluerim te ad aliud dogma transferre, idoneus ad te persuadendum futurus sum, incipe deinceps ex crastina die mihi in quaestionibus contra adversarios agitandis adesse. Crastina autem est mihi adversus Simonem magum. Atque his dictis et ipse cibum sumpsit, meque privatim jussit sumere. Benedicto autem cibo, actisque gratiis, postquam expletus fuit, illius quoque rei ratione mihi reddita subjunxit dicens: det tibi Deus, ut in omnibus mihi similis efficiaris, utque baptizatus ejusdem mecum particeps fias mensae. Quibus dictis quiescere me praecepit. Jam enim et somnum natura corporis expetebat.

1. ἐδώρησας C.
2. ἔνεστιν O.
3. ἀτυχεῖν („perdere") conj. D, ut evitetur tautologia. Fortasse verba illa loco suo movenda sunt, ut legatur versu insequenti διὰ τὸ τάχος καὶ μὴ βραδέως τυχεῖν. S.
4. Ita O c. S, τῆς καὶ περὶ ἐμῆς C.
5. Ita O c. S. προφητίας C.
6. ὡς ἔφης om. O.
7. Ita O c. S, οὐκ C.
8. ταῦτα C. Tum μεταλαβεῖν O.

www.libtool.com.cn

## ΟΜΙΛΙΑ Β'.

I. Τῇ μὲν οὖν ἐπιούσῃ ἡμέρᾳ ἐγὼ Κλήμης, ἔτι τῆς νυκτὸς οὔσης διυπνισθείς[1], καὶ μαθὼν τὸν Πέτρον ἐγρηγορότα καὶ τοῖς συνοῦσι περὶ θεοσεβείας[2] διαλεγόμενον· οἳ ἦσαν δεκαέξ, ὧν καὶ τὰ ὀνόματα, ὡς ἕκαστον[3] ἐξῆς χρόνου μαθών, ἐκθεῖναι ἐβουλευσάμην, ὅπως ἐπιγνῷς καὶ τίνες ἦσαν· ὧν πρῶτος Ζακχαῖος ὅ ποτε τελώνης, καὶ Σοφωνίας[4] ὁ ἀδελφὸς αὐτοῦ, Ἰώσηφός τε καὶ ὁ τούτου σύντροφος Μιχαίας, προσέτι δὲ Θωμᾶς καὶ Ἐλιέζερος[5] οἱ δίδυμοι, ἀλλὰ καὶ Αἰνείας[6] καὶ Λάζαρος οἱ ἱερεῖς, προσέτι μήν τε καὶ Ἐλισσαῖος, Βενιαμίν τε καὶ[7] ὁ τοῦ Σαφρᾶ, ὁμοίως γε Ῥούβιλος καὶ Ζαχαρίας οἱ οἰκοδόμοι, Ἀνανίας τε καὶ Ἄγγαῖος οἱ Ἰαμμηνοὶ[8], τε Νικήτης καὶ Ἀκύλας οἱ ἑταῖροι· πλὴν ἐπεισιὼν καὶ προσαγορεύσας ἐκαθέσθην, αὐτοῦ κελεύσαντος.

II. Ὁ δὲ τὸν προκείμενον ἐκκόψας λόγον[9], ὥσπερ ἀπολογούμενος ἐπληροφόρει τίνος ἕνεκεν οὐκ ἐξύπνισά με, ὅπως τῶν λόγων ἐπακούσω, αἰτίαν τιθέμενος τὸν ἐκ τοῦ πλοῦ σκυλμόν[10]· ἐκεῖνον πεφθῆναί μοι θέλων ἡσυχάζειν εἴασεν. ὁπόταν γὰρ[11] ἡ ψυχὴ περὶ τὸ λεῖπον τῷ σώματι ἀσχολεῖται[12], τὰ προσφερόμενα μαθήματα οὐ κατ' ἀξίαν προσίεται. τούτου

## HOMILIA SECUNDA.

I. Sequenti ergo die ego Clemens, cum adhuc nox esset, e somno excitatus, ubi intellexissem Petrum vigilare, et cum iis qui una erant de cultu Dei disserere: (erant autem sedecim, quorum et nomina, quippe qui singula sequenti tempore didicerim, exponere eo constitui, ut quinam fuerint addiscas; quorum primus Zacchaeus, olim publicanus, et Sophonias frater ejus, Josephus illiusque sodalis Michaeas, praeterea Thomas et Eliezerus gemini, sed et Eneas Lazarusque sacerdotes, insuperque adhuc Elisaeus, et Benjamin Saphrae filius, itidem Rubilus et Zacharias architecti, Ananias et Aggaeus Jammeni, necnon Nicetas et Aquila socii) etiam ingressus, cum salutassem, eo jubente consedi.

II. Ille autem institutum sermonem interrumpens, quasi se purgando rationem reddidit, cur non expergefecisset me, quo verba ipsius audirem, causam reddens navigationis molestiam, quam a me concoqui dum vult, quiescere permisit. Etenim quando anima circa id quod corpori deest occupatur, doctrinam oblatam non prout par est amplectitur. Quapropter sermocinari nolo

1. O scr. *διυπνοισθεὶς*.
2. *θεολογίας* O. Dein *δέκα ἓξ* C.
3. *ἑκάστου* O.
4. *σοφονίας* O. Idem *ἰώσηπος*.
5. *ἐλιέζερ* O.
6. Ita S ex consilio Clerici. Cfr. Act. ap. IX, 3. 34. *Ἐνέας* C, *αἰνέας* O.
7. *καὶ* om. O. Idem *γερούβλιος* p. *γε Ῥούβιλος*.
8. Forte scribendum *Ἰαμνηνοί*, a Jamnia, ut iidem sint Jamneni, qui Jamnitae 2 Macc. XII, 9. At lectio Epitomes *Ἀμμηνοί* exponi potest per civitatem nomine Amma, de qua Jos. XIX. 30. C.
9. *τοῦ προκειμένου ἐγκόψας λόγου* O.
10. *πλοῦς κυλμόν* O.
11. *γὰρ* restitui c. O. et ex Supplendis Cot.
12. Corrige *ἀσχολῆται*. S.

ἕνεκα διαλέγεσθαι οὐ βούλομαι, οὔτε πάνυ διά τινα συμφορὰν λυπουμένοις, ἢ ἀμέτρως[1] ὀργιζομένοις, ἢ πρὸς λύσσαν ἔρωτος ἐκτετραμμένοις, ἢ τὸ σῶμα καταπεπονημένοις[2], ἢ ὑπὸ βιωτικῶν φροντίδων περιωθουμένοις, ἢ ἄλλοις τισὶ πάθεσιν ὀχλουμένοις, οἷς ἡ ψυχή, ὡς ἔφην, ὑποπίπτουσα, καὶ τῷ σώματι πάσχοντι συναλγοῦσα, καὶ τὴν αὐτῆς[3] φρόνησιν ἀσχολεῖ.

III. Καὶ μὴ λεγέτωσαν[4]· οὐ χρὴ οὖν παραμυθίας καὶ νουθεσίας προσφέρειν τοῖς φαῦλόν τι πράττουσιν. φημί, εἰ μὲν ἀνύει τις, προσφερέτω· εἰ δὲ μή, τῷ καιρῷ εἰξάτω. ἐγὼ γὰρ οἶδα[5] ὅτι πάντα καιρὸν ἴδιον ἔχει. διὸ χρὴ τοῖς ἀνθρώποις τοὺς τὴν ψυχὴν ῥωννύντας λόγους πρὸ τῆς κακώσεως ἐπιδιδόναι, ἵνα εἴ ποτε ἐπέλθοι[6] τι φαῦλον, ὁ νοῦς προωπλισμένος ὀρθῷ τῷ λογισμῷ τὸ ἐπενεχθὲν ὑποστῆναι δυνηθῇ. τότε γὰρ καὶ τῷ διὰ γνώμης ἀγαθῆς βοηθήσαντι παρὰ τὴν ἀκμὴν τοῦ πολέμου οἶδεν ὁ νοῦς συντρέχειν.

IV. Πλὴν ἤμαθον, ὦ Κλήμης, ὡς ἐν τῇ Ἀλεξανδρείᾳ ὁ Βαρνάβας τὸν περὶ προφητείας λόγον τελείως σοι ἐξέθετο· ἢ γὰρ οὔ; κἀγὼ ἀπεκρινάμην· ναί, καὶ πάνυ καλῶς. καὶ ὁ Πέτρος· οὐκοῦν οὐκ ἀναγκαῖον, τὸν νῦν χρόνον δυνάμενον ἡμῖν ὑπηρετεῖν εἰς ἑτέρους λόγους οὓς οὐκ ἐπίστασαι, εἰς οὓς ἐπίστασαι ποιεῖσθαι τὴν ἀσχολίαν. κἀγὼ[7] ἔφην· ὀρθῶς ἔφης Πέτρε. ἐμοὶ δὲ τοῦτο χαρίζου πάντοτέ σοι συνεῖναι κρίναντι, τὸν περὶ

cum iis, qui aut calamitatis cujuspiam causa contristantur admodum, aut immodice irascuntur, aut in amoris rabiem vertunt se, aut corporis labore defatigati sunt, aut a curis saecularibus vexantur, aut aliis turbantur affectibus; in quibus hominibus anima, quemadmodum dixi, concidens, et cum corpore aegrotante condolens, vacat sua prudentia.

III. Neque dicat aliquis: non igitur oportet consolationes et admonitiones iis admovere, qui mali aliquid habent ac gerunt. Aio, quod si quidem aliquis proficit, adhibeat; sin minus, tempori concedat. Scio etenim, cuncta hàbere suum tempus. Quare oportet sermones qui animum roborant hominibus ante vexationem tradere; ut si quid forte pravi acciderit, mens prius armata recta ratione possit id quod illatum est perferre. Tunc quippe ei qui per bonum consilium opitulatus est, mens in ipso conflictationis articulo solet concurrere.

IV. Caeterum audivi, Clemens, Barnabam tibi Alexandriae omnino exposuisse doctrinam de prophetia; an id verum non est? Et ego respondi: ita est, admodum praeclare id fecit. Et Petrus: non igitur necesse est, ut hoc tempus in iis enarrandis quae nosti insumatur, cum ad alios sermones, quos ignoras, nobis possit inservire. Et ego dixi: recte ais, Petre. Id tamen mihi pro munere concede, qui semper tecum manere constitui, sermonem de Pro-

1. ἀμέτροις O.
2. Vbb. ἢ τὸ σῶμα καταπεπονημένοις accesserunt ex O.
3. Ita S, αὐτῆς C. O.
4. λεγέτω τις C.
5. Eccl. 3, 1.
6. ἐπέλθῃ (sic) O.
7. ἐγὼ C.

τοῦ [1] προφήτου λόγον ἡδέως ἀκούοντι συνεχῶς ὑφηγεῖσθαι· ἄνευ γὰρ αὐτοῦ, ὡς ἔμαθον παρὰ Βαρνάβα, τὴν ἀλήθειαν μαθεῖν ἀδύνατον.

V. Ὁ δὲ Πέτρος ἐπὶ τούτῳ μεγάλως ἡσθεὶς ἀπεκρίνατο· ἤδη μὲν ἡ πρός σε διόρθωσις τέλος εἴληφεν, ἐπεγνωκότα [2] τῆς ἀπταίστου προφητείας τὸ μέγεθος, ἧς ἄνευ λαβεῖν τινὶ τὸ ἐν ὑπεροχῇ συμφέρον ἀδύνατον. παλλῶν γὰρ καὶ διαφόρων ἀγαθῶν ὄντων ἐν τοῖς οὖσιν ἢ ἔσεσθαι δυναμένοις, τὸ πάντων μακαριώτατον, εἴτε ἀΐδιός ἐστιν ζωή [3], ἢ παράμονος ὑγεία, ἢ τέλειος νοῦς, ἢ φῶς, ἢ χαρά, ἢ ἀφθαρσία, ἢ καὶ ἄλλο τι ὃ ἐν τῇ τῶν ὄντων φύσει ὑπερέχον ὑπάρχει καλὸν ἢ ὑπάρξαι δύναται τοῦτο — οὐκ ἄλλως ἔστιν αὐτὸ κτήσασθαι, μὴ πρότερον γνόντα τὰ ὄντα ὡς ἔστιν· τῆς δὲ γνώσεως οὐκ ἄλλως τυχεῖν ἔστιν, ἐὰν μὴ πρότερόν τις τὸν τῆς ἀληθείας προφήτην ἐπιγνῷ.

VI. Προφήτης δὲ ἀληθείας ἐστὶν ὁ πάντοτε πάντα εἰδώς, τὰ μὲν γεγονότα ὡς ἐγένετο, τὰ δὲ γινόμενα ὡς γίνεται, τὰ δὲ ἐσόμενα ὡς ἔσται, ἀναμάρτητος, ἐλεήμων, μόνος τὴν ἀλήθειαν ὑφηγεῖσθαι πεπιστευμένος. ἀναγίνωσκε, καὶ εὑρήσεις τοὺς ἀφ' ἑαυτῶν [4] τὴν ἀλήθειαν εὑρεῖν νομίσαντας [5]. τοῦτο γὰρ προφήτου ἴδιον, τὸ τὴν ἀλήθειαν μηνύειν, ὥσπερ ἡλίου ἴδιον τὸ τὴν ἡμέραν φέρειν. διὰ τοῦτο ὅσοι ποτὲ ἀλήθειαν γνῶναι ἐπεθύμησαν, παρὰ δὲ τούτου μαθεῖν αὐτὴν οὐκ εὐτύχησαν, μὴ εὑρόντες,

pheta explicare assiduo lubenter audienti. Absque illo enim, sicut a Barnaba accepi, veritas disci non potest.

V. Petrus eo responso valde delectatus jam, inquit, finem accepit quae ad te pertinet emendatio, ut qui cognoscas magnitudinem indubitatae prophetiae, sine qua impossibile est cuiquam id consequi quod summe juvat. Nam cum in rebus multa et varia bona sint ac esse possint, quod omnia beatitudine superat, vel vita aeterna, vel perpetua sanitas, vel perfecta mens, vel lumen, vel gaudium, vel immortalitas, vel si quid aliud est aut exsistere potest excellens in rerum natura: id non aliter possidere est, nisi prius res quemadmodum exstant cognoscantur; ea vero scientia continget numquam, nisi agnito antea Propheta veritatis.

VI. Propheta autem veritatis ille est, qui omnia omnino scit, praeterita ut fuerunt, praesentia ut sunt, futura ut erunt; qui est impeccabilis, et misericors; cuique soli edisserendae veritatis provincia demandata est. Lege; et invenies eos qui a seipsis veritatem se nactos fuisse existimarunt. Id quippe Prophetae proprium est, veritatem indicare; quemadmodum soli proprie competit, diem inducere. Quocirca quotquot veritatem desiderarunt cognoscere, et ab hoc eam discere non obtinuerunt, ea non inventa, in disquisitione ob-

1. τοῦ inserui c. O.
2. Prima man. scripsit in O εἴληφεν ἐπὶ τούτῳ ἐπεγνωκότα.
3. Prius ἡ ζωή in O.
4. Ita O. c. S, ἀπὸ ἑαυτῶν C.
5. Post νομίσαντας excidisse aliqua videntur. Supple ἐνεδρευθῆναι (cfr. c. 7) vel simile aliquid. S.

ζητοῦντες ἐτελεύτησαν. ὁ γὰρ τὴν ἀλήθειαν ζητῶν παρὰ τῆς ἑαυτοῦ ἀγνοίας λαβεῖν πῶς ἂν δύναιτο; κἂν γὰρ εὕρῃ [1] οὐκ εἰδὼς αὐτὴν ὡς οὐκ οὖσαν παρέρχεται. οὔτ' αὖ παρ' ἑτέρου, τοῦ ὁμοίως ἐξ ἀγνωσίας γνῶσιν ἔχειν ἐπαγγελλομένου [2], ἀληθείας κρατεῖν δυνατὸς ἔσται [3] πλὴν πολιτείας μόνης, καὶ ταῦτα ἐκείνης τῆς διὰ τὸ εὔλογον γνωρισθῆναι δυναμένης, ἥτις ἑκάστῳ ἐκ τοῦ μὴ θέλειν ἀδικεῖσθαι, τοῦ μὴ δεῖν ἄλλον ἀδικεῖν τὴν γνῶσιν παρίστησιν.

VII. Πάντες μὲν οὖν ὅσοι ποτὲ ἐζήτησαν τὸ ἀληθές, τὸ δύνασθαι εὑρεῖν ἑαυτοῖς πιστεύσαντες [4], ἐνηδρεύθησαν. τοῦτο ὅπερ πεπόνθασι καὶ οἱ τῶν Ἑλλήνων φιλόσοφοι, καὶ βαρβάρων οἱ σπουδαιότεροι. ἐκ στοχασμῶν γὰρ ἐπιβάλλοντες τοῖς ὁρατοῖς περὶ τῶν ἀδήλων ἀπεφήναντο, τὸ ὅπως ποτὲ παραστὰν [5] αὐτοῖς, τοῦτο ἀληθὲς εἶναι νομίσαντες. ὡς γὰρ εἰδότες ἀλήθειαν, οἱ ἀλήθειαν ἔτι ζητοῦντες, τῶν παρισταμένων αὐτοῖς ὑπολήψεων ἃς μὲν ἀποδοκιμάζουσιν, ἃς δὲ [6] κρατύνουσιν, ὥσπερ εἰδότες, μὴ εἰδότες ποῖα μέν ἐστιν ἀληθῆ, ποῖα δὲ ψευδῆ. καὶ δογματίζουσι περὶ ἀληθείας, οἱ ἀλήθειαν ἐπιζητοῦντες [7], οὐκ εἰδότες ὅτι ὁ ἀλήθειαν ζητῶν παρὰ τῆς αὐτοῦ πλάνης μαθεῖν αὐτὴν οὐ δύναται. οὔτε γάρ, ὡς ἔφην, παρεστηκυῖαν αὐτὴν ἐπιγνῶναι δύναται [8], ἣν ἀγνοεῖ.

VIII. Πείθει δὲ ἕκαστον ἀφ' ἑαυτοῦ ζητοῦντα μαθεῖν οὐ πάντως τὸ

ierunt diem. Nam qui veritatem quaerit, a sua ignorantia accipere eam quo modo poterit? Licet enim repererit, cum illam non cognoscat, quasi absentem praeteribit. Sed nec ab alio similiter ignaro quamvis scientiam repromittat, veritatem tenere poterit: nisi quod solam discet vitae conversationem, quae scilicet propter consensum cum ratione sciri potest, quaeque singulos, ex eo quod nolunt injuria affici, docet non oportere alteri injuriam facere.

VII. Quotquot igitur verum quaesierunt, se credentes illud per ipsosmet inventuros, decepti sunt. Idque graecis philosophis et barbarorum sapientibus contigit. Nam conjecturis considerantes visibilia, de rebus obscuris pronunciarunt; quod sibi quoquo modo videbatur, id verum esse arbitrati. Quasi enim gnari veritatis, qui adhuc eam quaerunt, opinionum quae sese offerunt alias abjiciunt, alias retinent, ac si cognoscerent; ignari quae vera sint, quae falsa; et de veritate decernunt, qui veritatem inquirunt, nescientes quod qui veritatem quaerit, a suo errore non potest eam addiscere. Neque enim, ut dixi, praesentem eam potest recognoscere, quam ignorat.

VIII. Porro eum, qui a seipso quaerit discere, persuadet non sane quod

1. εὕροι C.
2. ὁμοίως ὡς ἐξ ἀγνωσίας ἔχειν ἐπ. C.
3. δυνατὸν ἔσται O.
4. In Cod. 804 post πιστεύσαντες additur μὴ δεόμενοι τῆς θείας διδαχῆς.
5. Ita O c. S ποτὲ τὸ παραστὰν C.
6. ἃ μὲν — ἃ δὲ C.
7. Fortasse ἔτι ζητοῦντες, ut supra. S.
8. Vbb. οὔτε γὰρ, ὡς ἔφην, παρεστηκυῖαν αὐτὴν ἐπιγνῶναι δύναται non leguntur in O.

www.libtool.com.cn

ἀληθές, ἀλλὰ τὸ τέρπον. ἐπεὶ οὖν ἄλλον ἄλλο τι[1] τέρπει, ἄλλου ἄλλο κρατεῖ ὡς ἀληθές[2]. τὸ δὲ ἀληθές ἐστι τὸ δοκοῦν τῷ προφήτῃ, οὐ τὸ ἑκάστῳ ἡδύ[3]. πολλὰ γὰρ ἂν ἦν τὸ ἕν, εἰ τὸ τέρπον ἀληθὲς ἦν, ὅπερ ἐστὶν ἀδύνατον. διὰ τοῦτο καὶ οἱ τῶν Ἑλλήνων φιλόλογοι, οὐ φιλόσοφοι, διὰ στοχασμῶν τοῖς πράγμασιν ἐπιβάντες, πολλὰ καὶ διάφορα ἐδογμάτισαν, τὴν[5] οἰκείαν τῶν ὑποθέσεων ἀκολουθίαν ἀλήθειαν εἶναι νομίσαντες, οὐκ εἰδότες, ὅτι αὐτῶν ψευδεῖς ἀρχὰς ἑαυτοῖς ὁρισαμένων, τῇ μὲν[4] ἀρχῇ αὐτῶν τὸ τέλος συμφωνίαν εἴληφεν.

IX. Ὅθεν δεῖ πάντα παρελόμενον μόνῳ τῷ[5] τῆς ἀληθείας πιστεύειν ἑαυτὸν προφήτῃ, ὃν πάντες κρῖναι δυνάμεθα, εἰ προφήτης ἐστίν, κἂν πάνυ ἀμαθεῖς ὦμεν, καὶ σοφισμῶν ἰδιῶται[6], καὶ γεωμετρίας ἄπειροι, καὶ μουσικῆς ἀμύητοι. εὐκολωτέραν[7] γὰρ τὴν περὶ αὐτοῦ εὕρεσιν ὁ Θεὸς τέθεικε[8] πᾶσιν, ὡς πάντων κηδεμών· ἵνα μήτε βάρβαροι ἐξασθενῶσιν αὐτόν, μήτε Ἕλληνες ἀδυνατῶσιν εὑρεῖν. ῥᾳδία μὲν οὖν ἡ[9] περὶ αὐτοῦ εὕρεσις ὑπάρχει. ἔστι δὲ ἥδε.

X. Εἰ προφήτης ἐστίν, καὶ δύναται εἰδέναι ὡς ἐγένετο[10] ὁ κόσμος, καὶ τὰ ἐν αὐτῷ γινόμενα, καὶ τὰ εἰς τέλος ἐσόμενα· ἐὰν ἡμῖν ᾖ τι προει-

verum est, sed quod delectat. Quando igitur alium aliud oblectat, alterum alteri pro vero tenetur. Verum autem id est, quod Prophetae videtur, non vero quod unicuique placet. Nam si verum esset, quod delectat, multa esset, id quod unum est; quod fieri nequit. Propterea Graecorum philologi, non philosophi *(amatores sermonum, non sapientiae)* per conjecturas res aggressi multa et varia docuerunt: rati propriam hypotheseon consequentiam esse veritatem; nec scientes quod cum sibi falsa principia definivissent, cum principio eorum finis concordavit.

IX. Unde oportet, omnia praetereundo, soli veritatis Prophetae se ipsum credere, de quo omnes dijudicare possumus, an sit Propheta, etsi valde simus imperiti, ac in sophismis rudes et ignari geometriae, atque in musica non initiati. Deus quippe, ut omnium curator, cunctis facillimam fecit illius inventionem: quo ad eum reperiendum neque Barbari essent invalidi, neque Graeci impotentes. Itaque facilis est de ipso inventio. Haec autem est.

X. Si Propheta est, et potest scire quo modo factus sit mundus, quaeque in eo consistunt, quaeque aliquando erunt: si aliquid nobis praedixit, quod

1. τι inserui c. O.
2. Lege ἄλλου ἄλλος κρατεῖ ὡς ἀληθοῦς. D.
3. εἴδει O. Tum addidi εἰ c. eodem et ex conjectura Ci.
4. μὲν om. O.
5. τῷ non omittere debebant Cl. et S.
6. ἰδιῶτον O.
7. Ita S, εὐκολοτέραν C, εὐκωλοτέραν O.
8. Ita O c. S, τέθηκεν C.
9. ἡ excidit ap. S. Idem περὶ αὐτοῦ ex conject. Ci, cujus text. περὶ αὐτούς, ut C.
10. ἐμένετο edidit Cl, non C, ut minus accurate scr. S.

www.libtoolbox.com.ru

ρηκώς, ὁ εἰς τέλος ἐγνώκαμεν γεγενημένον [1], καλῶς αὐτῷ ἐκ τῶν ἤδη γεγενημένων καὶ τὰ ἐσόμενα ἔσεσθαι πιστεύομεν, οὐ μόνον ὡς γινώσκοντι, ἀλλὰ καὶ προγινώσκοντι. τίνι οὖν, κἂν βραχὺν νοῦν ἔχοντι, οὐ φαίνεται, ὡς χρὴ τούτῳ παρὰ πάντας πιστεύειν τὰ τῷ Θεῷ δόξαντα, ὃς μόνος παρὰ πάντας ἀνθρώπους [2] καὶ μὴ μαθὼν ἐπίσταται; διό, ἂν τῷ τοιούτῳ, λέγω δὲ τῷ πρόγνωσιν ἔχοντι διὰ τὴν ἐν αὐτῷ τοῦ πνεύματος θειότητα, τὸ ἀληθὲς εἰδέναι μὴ διδόναι τις θέλοι, τινὶ ἑτέρῳ δοὺς εἰδέναι, οὐκ ἐνδεὴς ὑπάρχει φρενῶν, ἀποδεδωκὼς τῷ μὴ προφήτῃ, ἃ προφήτῃ εἰδέναι δοῦναι οὐκ ἐβουλήθη;

XI. Ὅθεν πρὸ πάντων πάσῃ κρίσει διὰ τῆς προφητικῆς ἐπαγγελίας τὸν [3] προφήτην ζητεῖν δεῖ, καὶ γνόντα, τοῖς λοιποῖς τῆς διδασκαλίας αὐτοῦ λόγοις ἀνενδοιάστως ἕπεσθαι, καὶ θαρροῦντα περὶ τῶν ἐλπιζομένων, πολιτεύεσθαι τῇ πρώτῃ κρίσει, γνόντα οὖν [4], ὅτι ὁ ταῦτα εἰπὼν πρὸς τὸ ψεύσασθαι φύσιν οὐκ ἔχει. διὸ ἐάν τι τοῦ λοιποῦ τῶν ὑπ' αὐτοῦ ῥηθέντων δοκῇ ἡμῖν [5] μὴ καλῶς εἰρῆσθαι, εἰδέναι χρὴ ὅτι οὐκ αὐτῷ [6] εἴρηται κακῶς, ἀλλ' αὐτὸ ἡμεῖς καλῶς ἔχον οὐκ ἐνοήσαμεν. ἄγνοια γὰρ γνῶσιν οὐκ ὀρθῶς κρίνει, ἅτε δὴ οὔτε γνῶσις πρόγνωσιν ἀληθῶς κρίνειν πέφυκεν. ἀλλ' [7] ἡ πρόγνωσις τοῖς ἀγνοοῦσι παρέχει τὴν γνῶσιν.

XII. Ὅθεν, ὦ φίλε Κλήμης, εἴγε τὰ τῷ Θεῷ διαφέροντα γνῶναι θέ-

scimus evenisse, recte ei ex iis quae jam facta fuerunt, futura quoque credimus fore, tamquam non solum scienti, verum et praescienti. Cui ergo, quamquam exiguum ingenium habenti, non apparet, de consiliis Dei ei prae omnibus credendum qui solus prae omnibus hominibus ea novit, licet non didicerit? Quare tali, praecognitionem, inquam, habenti per divinitatem spiritus quae in ipso exsistit, si quis nolit veri cognitionem tribuere, et eam alteri cuipiam tradit, nonne mentis inops est, qui adscribat non Prophetae scientiam, quam noluit Prophetae concedere?

XI. Quare ante universa omni judicio oportet per propheticam promissionem Prophetam quaerere; eoque cognito reliquis doctrinae ejus sermonibus adhaerere sine ulla dubitatione atque confidendo de bonis quae sperantur, juxta primum judicium vivere; sciendo videlicet, quod qui ea verba protulit, ita natura comparatus est, ut mentiri nequeat. Quamobrem si de caetero aliquid ab eo dictorum nobis non recte dictum videatur, scire oportet, non ab eo prave dictum esse, sed nos id quod bene dictum erat, non intellexisse. Neque enim ingnorantia recte cognitionem dijudicat: sicuti nec scientia vere potest judicare praescientiam; verum praescientia ignorantibus tribuit scientiam.

XII. Quocirca, amice Clemens, si quae ad Deum pertinent cognoscere

1. Ita O c. S, γεγενημένων C.
2. ἀνθρώπους om. O.
3. τὸ O.
4. γνόντα, οὖν C, cujus conjecturam γνόντα οὖν, ὅτι exhibet O; γνύντα ὅτι S.
5. ὑμῖν O, quocum dedi μὴ καλῶς. Deest μὴ ap. C, qui propterea conj. κακῶς. S οὐ καλῶς.
6. αὐτὸ C. Tum deest κακῶς in O.
7. ἀλλὰ O.

www.libtool.com.cn

λεις[1], παρὰ τούτου μόνου μαθεῖν ἔχεις, ὅτι μόνος οἶδε τὴν ἀλήθειαν. τῶν γὰρ ἄλλων εἴ τις ἐπίσταταί τι, παρὰ τούτου ἢ τῶν τούτου μαθητῶν λαβὼν ἔχει. ἔστι δὲ[2] αὐτοῦ τό τε βούλημα καὶ ἀληθὲς κήρυγμα, ὅτι εἷς Θεὸς, οὗ κόσμος ἔργον, ὃς δίκαιος ὢν πάντως ἑκάστῳ πρὸς τὰς πράξεις ἀποδώσει ποτέ.

XIII. Ἀνάγκη γάρ, πάσῃ φύσει[3] δίκαιον εἶναι λέγοντα τὸν Θεὸν καὶ τὰς ἀνθρώπων ψυχὰς ἀθανάτους εἶναι πιστεύειν. ἐπεὶ ποῦ τὸ[4] δίκαιον αὐτοῦ, ὅπου τινὲς εὐσεβῶς βιώσαντες κακουχηθέντες ἐνίοτε βιαίως ἀνῃρέθησαν, ἔνιοι δὲ ἀσεβεῖς πάνυ γεγενημένοι, ἐν πολυτελείᾳ βίου τρυφήσαντες, τὸν κοινὸν ἀνθρώπων θάνατον ἐτελεύτησαν. ἐπεὶ οὖν χωρὶς πάσης ἀντιλογίας ὁ Θεὸς ἀγαθὸς ὢν καὶ δίκαιός ἐστιν, οὐκ ἄλλως δὲ δίκαιος εἶναι γνωσθήσεται, ἐὰν μὴ ἡ ψυχὴ μετὰ τὸν χωρισμὸν τοῦ σώματος ἀθάνατος ᾖ, ἵν' ὁ μὲν[5] κακὸς ἐν ᾅδῃ γενόμενος, ὡς ἐνταῦθα τὰ ἀγαθὰ ἀπολαβών, ἐκεῖ περὶ ὧν ἥμαρτε κολασθῇ, ὁ δὲ ἀγαθὸς ἐνταῦθα περὶ ὧν ἥμαρτε κολασθείς, ἐκεῖ ὡς ἐν κόλποις δικαίων, ἀγαθῶν[6] κληρονόμος καταστῇ· ὅτι τοίνυν ὁ Θεὸς δίκαιος, πρόδηλον ἡμῖν ἐστιν ὅτι καὶ κρίσις[7] γίνεται καὶ ψυχαὶ ἀθάνατοι τυγχάνουσιν.

XIV. Εἰ δέ τις, ὡς τῷ Σαμαρεῖ Σίμωνι δοκεῖ, τὸ δικαίῳ εἶναι[8] Θεῷ

cupis, ab isto solo potes discere, quia solus novit veritatem. Aliorum enim si quis aliquid cognoscit, ab eo, aut ab ejus discipulis traditum accepit. Est autem ejus sententia et vera praedicatio: Deum unum esse, cujus mundus opus est, quique justus cum sit, aliquando certe unicuique pro actionibus retribuet.

XIII. Necesse quippe est, ut qui asserit Deum natura omnino esse justum, etiam credat immortales esse hominum animas. Quoniam ubi erit justitia ejus, quando aliqui cum pie vixissent, interdum male habiti per vim e medio sublati sunt, quidam vero, ubi omnino impii exstitissent, atque vitae luxui ac deliciis indulsissent, communi tamen hominum morte obierunt? Quandoquidem igitur, absque ulla contradictione, Deus, bonus cum sit, justus etiam est, nec aliunde justus esse cognoscetur, nisi anima post separationem a corpore sit immortalis, ut malus quidem, in inferno positus, tamquam qui hic bona receperit, ibi pro iis quae deliquit, puniatur, bonus autem, hic pro delictis castigatus, illic quasi in sinu justorum constituatur bonorum haeres. Quoniam igitur Deus justus est, constat inter nos, judicium quoque fore, et animas esse immortales.

XIV. Si quis vero, quemadmodum Simoni Samaritano placet, Deo justum

1. θέλῃς C.
2. Ita O c. S, τε C.
3. γὰρ πᾶσα, φύσει C.
4. ποῦ τὸ O et Epit. c. 23, τοῦτο C. Cfr. etiam Hom. III, 17 sub finem.
5. ἵνα μὲν C, ἵνα μὲν ὁ S. Dein ἄδει O.
6. O add. ὧν ante ἀγαθῶν. Tum ἐπεὶ, τοίνυν p. ὅτι τοίνυν Epit. c. 23, quod unice rectum ἐπεὶ protasin resumit. S.
7. κρίσεις O.
8. τὸ δικαίῳ εἶναι C, τὸ δίκαιον εἶναι Epit. c. 23. Notum est illud loquendi

μὴ θέλοι δοῦναι, εἶναι ἔτι τοῦτο [1] δοῦναι δύναται, ἢ καὶ τὸ γενέσθαι δύνασθαι; τῆς γὰρ ῥίζης τῶν ὅλων τοῦτο οὐκ ἐχούσης, ἀνάγκη πᾶσα νοεῖν, ὅτι [2] τῇ τῶν ἀνθρώπων φύσει ὡς ἐν καρποῖς εὑρεῖν ἀδύνατον. εἰ δὲ ἔστιν [3] εὑρεῖν ἐν ἀνθρώποις, πόσῳ μᾶλλον ἐν Θεῷ; εἰ δὲ οὐδαμοῦ, οὔτε παρὰ Θεῷ, οὔτε παρὰ ἀνθρώποις ἐστιν εὑρεῖν τὸ δίκαιον, πάντως οὐδὲ τὸ ἄδικον. ἀλλ' ἔστι τὸ δίκαιον. δικαιοσύνης γὰρ οὔσης τὸ ἄδικον [4] λέγεται· ὥσπερ παραβαλλομένης τῆς δικαιοσύνης αὐτῇ καὶ ἐναντίως ἔχειν εὑρισκομένης ἀδικία λέγεται.

XV. Ἔνθεν γοῦν διδάσκων ὁ Θεὸς [5] τοὺς ἀνθρώπους πρὸς τὴν τῶν ὄντων ἀλήθειαν, εἰς ὢν αὐτὸς διχῶς καὶ ἐναντίως διεῖλε πάντα τὰ τῶν ἄκρων, ἀπαρχῆς [6] αὐτὸς εἷς ὢν καὶ μόνος Θεός, ποιήσας οὐρανὸν καὶ γῆν, ἡμέραν καὶ νύκτα, φῶς καὶ πῦρ, ἥλιον καὶ σελήνην, ζωὴν καὶ θάνατον. μόνον δὲ ἐν τούτοις αὐτεξούσιον τὸν ἄνθρωπον ἐποίησεν, ἐπιτηδειότητα ἔχοντα δίκαιον ἢ ἄδικον γενέσθαι. ᾧ καὶ τὰς τῶν συζυγιῶν ἐνήλλαξεν εἰκόνας, μικρὰ τὰ πρῶτα παραθέμενος αὐτῷ, μεγάλα δὲ τὰ δεύτερα, οἷον κόσμον, αἰῶνα. ἀλλ' ὁ μὲν παρὼν κόσμος πρόσκαιρος, ὁ δὲ ἐσόμενος ἀΐδιος. πρώτη ἄγνοια, δευτέρα γνῶσις. οὕτως καὶ τοὺς τῆς

esse nolit concedere, cui jam tribuere potest, ut justus sit, vel esse possit? Nam si id cunctorum radix non habet, prorsus necesse est cogitare, illud quoque in hominum natura, tamquam in fructibus non posse reperiri. Si autem inveniatur in hominibus, quanto magis in Deo? Quod si justitia nusquam, neque apud Deum, neque apud homines reperitur, plane neque reperietur injustitia. At justitia exsistit. Nam exstante justitia injustitia quoque dicitur: quae ita vocatur, quasi cum ea justitia comparetur, eique inveniatur contraria.

XV. Inde igitur Deus homines rerum veritatem docens, qui ipse unus est, bifariam et contrarie divisit omnia extrema, cum ipse ab initio unus sit ac solus Deus, qui fecit coelum et terram, diem ac noctem, lucem et ignem, solem et lunam, vitam atque mortem: in his autem solum hominem liberum condidit, aptitudine praeditum ut justus vel injustus fiat: cui et alternavit conjugationum imagines; primo illi apponens parva, deinde vero magna; sicut mundum, aevum. Et quidem hic mundus temporalis est, at futurus aeternus. Prima est ignorantia; secunda cognitio. Sic enim prophetiae ductores ordina-

genus ex usu Peripateticorum, de quo exposuerunt Trendelenburgius in Museo Rhenano 1828, 4. 457 seqq. (quae commentatio inscripta est: „das τὸ ἐνὶ εἶναι, τὸ ἀγαθῷ εἶναι bei Aristoteles, ein Beitrag zur arist. Begriffsbestimmung und zur griech. Syntax") et ad Arist. de anim. p. 471 seqq., deinde Waitz ad Arist. Org. 67, C, 12. Vide infra Hom. X, 19; *Θεῷ εἶναι*, XVI, 17: *ἀπείρῳ εἶναι*. S.

1. *τοῦτό τις* C.
2. Post *ὅτι* sine dubio excidit *ἐν*. S.
3. *δὲ ἔστιν* O c. S, *δέ ἐστιν* C.
4. *τὸ δίκαιον* Cod. 804.
5. *ὁ Θεὸς διδασκαλῶν* C.
6. *ἀπ' ἀρχῆς* O.

προφητείας ἡγεμόνας[1] διέταξεν. ἐπεὶ γὰρ ὁ παρὼν κόσμος θῆλύς ἐστιν, ὡς μήτηρ τέκνων τίκτων ψυχάς, ὁ ἐσόμενος αἰὼν ἄρρην ἐστίν, ὡς πατὴρ ἀποδεχόμενος τὰ αὐτοῦ τέκνα· διὰ τοῦτο οἱ[2] ἐν τῷ κόσμῳ τούτῳ προφῆται ἑπομένως, ὡς τοῦ μέλλοντος αἰῶνος ὄντες υἱοί, ἀνθρώπων[3] τὴν γνῶσιν ἔχοντες, ἐπέρχονται. τοῦτο δὲ τὸ μυστήριον εἰ ἠπίσταντο οἱ ἐν θεοσεβείᾳ[5] ἄνθρωποι οὐκ ἄν ποτε ἐπλανήθησαν, ἀλλὰ καὶ νῦν ἂν ἐγνώκεισαν ὅτι ὁ[4] Σίμων, ὁ νῦν πάντας θρυλλῶν, πλάνης καὶ ἀπάτης ἐστὶ συνεργός. ὁ δὲ λόγος τοῦ προφητικοῦ κανόνος οὕτως ἔχει.

XVI. Ὡς ἐν ἀρχῇ ὁ Θεὸς εἷς ὤν, ὥσπερ δεξιὰ καὶ ἀριστερά, πρῶτον ἐποίησε τὸν οὐρανόν, εἶτα τὴν γῆν, καὶ οὕτως κατὰ τὸ[5] ἑξῆς πάσας τὰς συζυγίας συνεστήσατο· ἐπὶ μέντοι ἀνθρώπων οὐκ ἔτι οὕτως, ἀλλὰ πάσας ἐναλλάσσει τὰς συζυγίας. ὡς γὰρ ἀπ' αὐτοῦ τὰ πρῶτα κρείττονα, τὰ δεύτερα ἥττονα, ἐπ' ἀνθρώπων τὸ ἐναντίον εὑρίσκομεν, τὰ πρῶτα χείρονα, τὰ δεύτερα κρείττονα. αὐτίκα γοῦν ἀπὸ Ἀδὰμ τοῦ κατ' εἰκόνα Θεοῦ γενομένου ἐγένετό τις πρῶτος ἄδικος Καΐν, δεύτερος δίκαιος Ἄβέλ. πάλιν δὲ ἀπὸ τοῦ καθ' ὑμᾶς λεγομένου Δευκαλίωνος[6] πνευμάτων εἰκόνες δύο

vit. Quia enim praesens mundus femina est, quasi mater liberorum procreans animas, futurum aevum mas est, tanquam pater liberos suos excipiens: propterea in hunc mundum prophetae consequenter veniunt tamquam filii futuri saeculi, notitiam habentes hominum. Porro hoc mysterium si cognovissent homines pii, numquam aberrassent, sed et nunc deprehendissent, Simonem qui omnes conturbat, erroris ac fraudis esse cooperarium. Sermo autem propheticae regulae ita habet.

XVI. Ut in principio Deus, qui unus est, tamquam dextra et sinistra, primo fecit coelum, deinde terram, ita deinceps omnes conjugationes constituit. In hominibus autem non amplius sic; sed cunctas alternat conjugationes. Ut enim ab eo prima meliora sunt, secunda deteriora; contrarium apud homines nanciscimur, prima pejora, secunda praestantiora. Itaque statim ab Adamo, qui secundum Dei imaginem factus fuerat, primus ortus est iniquus Cain, secundus justus Abel. Iterum vero ab eo, quem vos Deucalionem vocatis, spi-

1. ἡγέμονας C.
2. οἱ adjunxi c. O. Idem ἑπομένοι.
3. Ita plane scriptum extat in Cod. Ottob. — Ms. ανων, ut in eo solet per compendium scribi nomen ἄνθρωπος. Non temere tamen hoc loco aliquis leget aut corriget αἰωνίων. C. — Fortasse totum colon, transpositis verbis, sic legendum: διὰ τοῦτο ἐν τῷ κόσμῳ τούτῳ προφῆται ἑπομένως, οἱ ὄντες υἱοὶ ἀνθρώπων, ὡς τοῦ μέλλοντος αἰῶνος τὴν γνῶσιν ἔχοντες, ἐπέρχονται. Verae prophetae prophetis falsis semper succedunt (ἑπομένως ἐπέρχονται) secundum regulam syzygiarum. Atque illi quidem etiam aliis locis appellantur υἱοὶ ἀνθρώπων, hi γεννητοὶ γυναικῶν, cfr. Hom. II, 17. III, 22 seqq. 26. S.
4. ὁ add. c. O, in quo τῆς ἀσθενοῦς ἀριστερᾶς p. πλάνης καὶ ἀπάτης.
5. κατὰ τὸ om. O.
6. Notus est lusus in nomine Deucalionis, apud Theoph. ad Autol. III, p. 129, quasi Noë hominibus sui temporis dixerit: δεῦτε, καλεῖ ὑμᾶς ὁ θεὸς εἰς μετάνοιαν C.

www.libtool.com.cn

XLIII. Διὸ ἀπείη[2] πιστεύειν, ὅτι ὁ τῶν ὅλων δεσπότης, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς, ἑτέροις συνάρχει, ἢ ὅτι ψεύδεται· εἰ γὰρ ψεύδεται, καὶ τίς ἀληθεύει; ἢ ὅτι πειράζει ὡς ἀγνοῶν, καὶ τίς προγινώσκει; εἰ δὲ ἐνθυμεῖται καὶ μεταμελεῖται[3], καὶ τίς νῷ τέλειος καὶ γνώμῃ ἔμμονος; εἰ δὲ ζηλοῖ, καὶ τίς ἀσύγκριτος; εἰ δὲ σκληρύνει καρδίας, καὶ τίς σοφίζει; εἰ δὲ τυφλοῖ καὶ κωφοῖ, καὶ τίς δέδωκεν ὁρᾶν καὶ ἀκούειν; εἰ δὲ ἀποστρεῖν συμβουλεύει, καὶ τίς δικαιοσύνην νομιτεύει; εἰ δὲ ἐμπαίζει, καὶ τίς εἰλικρινής; εἰ δὲ ἀδυνατεῖ, καὶ τίς πάντα δύναται; εἰ δὲ ἀδικεῖ, καὶ τίς δίκαιος; εἰ δὲ κακὰ κτίζει, καὶ τίς ἀγαθὰ πράξει; εἰ δὲ καὶ[4] κακὰ ποιεῖ, καὶ τίς ἀγαθά;

XLIV. Εἰ δὲ τὸ πῖον ὄρος ἐπιθυμεῖ, καὶ τίνος τὰ πάντα; εἰ ψεύδεται, καὶ τίς ἀληθεύει; εἰ ἐν σκηνῇ οἰκεῖ, καὶ τίς ἀχώρητος; εἰ δὲ ὀρέγεται

Clemens, nescio an quisquam, qui vel exiguam erga Deum caritatem et benevolentiam conservet, poterit recipere vel etiam audire quae contra eum dicuntur. Qua enim ratione is idem animam monarchicam habeat et sancte vivat, qui est praeventus opinione, multos esse Deos, non unum? Vel si unus est, eum in multis defectibus inveniens quis nitetur esse sanctus, quando quidem sperabit, omnium principium Deum, propter naturae suae vitia, non vindictam sumpturum de aliorum delictis?

XLIII. Quare absit, ut credatur, quod omnium rerum Dominus, qui coelum ac terram omniaque illis contenta condidit, cum aliis imperet, aut quod mentiatur: nam si mentitur, quis verum dicit? aut quod tentet, quasi ignorans: quis enim praecognoscet? Si autem considerat, et poenitentia ducitur, ecquis mente perfectus atque consilio stabilis? Si aemulatur, quis incomparabilis? Si indurat corda, quis erudit? Si caecitatem et surditatem inducit, quis dedit visum et auditum? Si fraudare suadet, quis justitiam administrat? Si illudit, quis est sincerus? Si invalidus est, quis est omnipotens? Si injustus est, quis justus? Si mala creat, quis bona faciet? Si mala facit, quis bona?

XLIV. Si vero montem pinguem appetit, cujusnam erunt cuncta? Si mentitur, quis verax est? Si in tabernaculo habitat, quis immensus? Si de-

1. αὐτὸν τίς, οὐχ ὅσιος O. Tum legendum esset αὐτόν, οὗ τις ὅσιος.
2. Διὸ εἰ μὴν ἀπείη O.
3. μεταμέλιται O.
4. δὲ deest in O.

www.libtool.com.cn

κνίσσης[1] καὶ θυσιῶν καὶ θυμάτων καὶ προχύσεων, καὶ τίς ἀπροσδεὴς καὶ τίς ἅγιος καὶ τίς καθαρὸς καὶ τίς τέλειος; εἰ λύχνοις καὶ λυχνίαις τέρπεται, καὶ τίς τοὺς φωστῆρας ἔταξεν ἐν οὐρανῷ; εἰ ἐν γνόφῳ καὶ σκότῳ καὶ θυέλλῃ καὶ καπνῷ σύνεστιν, καὶ τίς φῶς ὢν φωτίζει τὸν μέγιστον αἰῶνα; εἰ διὰ σαλπίγγων καὶ ἀλαλαγμῶν[2] καὶ βολίδων καὶ τοξευμάτων προσέρχεται, καὶ τίς ἡ τῶν ὅλων προσδόκιμος γαλήνη; εἰ πολέμους αὐτὸς ἀγαπᾷ, καὶ τίς εἰρήνην θέλει; εἰ τὰ κακὰ αὐτὸς κτίζει, καὶ τίς ἀγαθὰ δημιουργεῖ; εἰ αὐτὸς ἄστοργος[3], καὶ τίς φιλάνθρωπος; εἰ αὐτὸς πιστὸς οὐκ ἔστι περὶ ὧν ὑπισχνεῖται, καὶ τίς πιστευθήσεται; εἰ αὐτὸς πονηροὺς καὶ μοιχοὺς καὶ φονεῖς ἀγαπᾷ, καὶ τίς ἔσται[4] δίκαιος κριτής; εἰ αὐτὸς μεταμελεῖται, καὶ τίς βέβαιος; εἰ αὐτὸς κακοὺς ἐκλέγεται, καὶ τίς ἀγαθοὺς προσίεται;

XLV. Διό, ὦ τέκνον Κλήμης, ἔπεχε, μὴ ἄλλο τι φρονήσῃς περὶ τοῦ Θεοῦ, ἢ ὅτι αὐτὸς μόνος ἐστὶ Θεὸς καὶ κύριος καὶ πατὴρ ἀγαθὸς καὶ δίκαιος δημιουργός, μακρόθυμος, ἐλεήμων, τροφεύς, εὐεργέτης, φιλανθρωπίαν νομιτεύων, ἀγνείαν συμβουλεύων, αἰώνιος, αἰωνίους ποιῶν, ἀσύγκριτος, ταῖς τῶν ἀγαθῶν ψυχαῖς οἰκειζόμενος, ἀχώρητος καὶ χωρούμενος, ὁ ἐν ἀπείρῳ τὸν μέγαν αἰῶνα ὡς κέντρον[5] πήξας, ὁ οὐρανὸν ἐφαπλώσας καὶ γῆν πιλώσας, ὕδωρ ταμιεύσας, ἄστρα ἐν οὐρανῷ διαθείς, πηγὰς γῇ βρύσας, καρποὺς ἐκφύσας, ὄρη ὑψώσας, θάλασσαν περιορίσας, ἀνέμους τε

siderat nidorem, sacrificia, victimas et libationes: quis nullius indigens, quis sanctus, quis purus, quis perfectus? Si luminibus ac lucernis delectatur, quis luminaria in coelo constituit? Si in caligine ac tenebris et procella atque fumo versatur: quis tanquam lumen maximum aevum illuminat? Si cum tubis et vociferationibus et jaculis et sagittis advenit: quis est omnium exspectata tranquillitas? Si ipse bella diligit, quis pacem vult? Si mala ipse condit, quis facit bona? Si durus ipse, quis humanus? Si fidelis non est in promissis, cui credetur? Si malos amat et adulteros et homicidas, quis erit justus judex? Si eum poenitet, quis est constans? Si denique malos eligit, quisnam admittit bonos?

XLV. Quocirca, o fili Clemens, inhibe te, ne aliud de Deo sentias, quam quod ipse solus sit Deus et dominus et pater bonus ac justus creator, patiens, misericors, nutritor, beneficus, humanitatis legislator, castitatis consiliarius, aeternus, aeternitatis auctor, incomparabilis, in bonorum animis habitans, imperceptus et perceptus, qui in infinito magnum aevum tamquam centrum fixit, qui coelum expandit et terram compegit, aquam recondidit, astra in coelo disposuit, terram fecit scatere fontibus, fructus produxit, montes in altum

1. κνίσης C, quam formam S tacite commutavit in κνίσσης, ut scr. O. Vide Dindorfium in Hom. Tum προσχύσεων O.
2. ὁλολυγμῶν C.
3. ἄστοργος αὐτός C.
4. ἐστι O.
5. Ad oram Cod. Ottob. al. man. γρ. κέντρωον.

www.libtool.com.cn

καὶ πνεύματα διατάξας, ὁ τὸ περιέχον σῶμα ἐν ἀπείρῳ πελάγει πνεύματι βουλῆς[1] ἀσφαλισάμενος.

XLVI. Οὗτος ἡμῶν δικαστής, εἰς ὃν ἀποβλέποντας χρὴ τὰς ἑαυτῶν κατορθοῦν ψυχάς, πάντα ὑπὲρ[2] αὐτοῦ νοοῦντας, αὐτὸν εὐφημοῦντας, πεπεισμένους ὅτι τῇ αὐτοῦ μακροθυμίᾳ πάντων τὴν προπέτειαν εἰς φανερὸν ἄγων μόνος ἀγαθός ἐστιν. καὶ οὗτος ἐπὶ τέλει τοῦ παντὸς ἑκάστῳ τῶν τετολμηκότων ἃ μὴ ἐχρῆν δίκαιος προκαθεσθήσεται κριτής.

XLVII. Ταῦτα ἐγὼ Κλήμης ἀκούσας ἔφην· ἀληθῶς τοῦτο θεοσέβεια, τοῦτο ἀληθῶς[3] εὐσέβεια. πάλιν τε ἔφην· ἤθελον μαθεῖν οὖν, διὰ τί οὕτως ἐγράφησαν αἱ βίβλοι. μέμνημαι γὰρ ὡς ἔφης, ὅτι εἰς ἔλεγχον τῶν μελλόντων τολμᾶν πιστεύειν τι[4] λεγόμενον κατὰ τοῦ Θεοῦ. πλὴν ἐπεὶ χαρίζῃ ἡμῖν πυνθάνεσθαί σου ὡς βουλόμεθα[5], πυνθάνεσθαι τολμῶμεν, σοῦ κελεύσαντος, εἴ τις βουληθείη, φίλτατε Πέτρε, λέγειν ἡμῖν· ἀληθῆ ἐστι τὰ γεγραμμένα κἂν[6] σοι ψευδῆ δοκῇ τὰ κατὰ τοῦ Θεοῦ ῥηθέντα· πῶς ἀποκριθῶμεν αὐτῷ;

XLVIII. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· εὖ[7] εἶπας πυθόμενος, εἰς γὰρ σὴν ἀσφάλειαν ἔσται· πλὴν ἄκουσον. ἐπειδὴ πολλά ἐστι τὰ ὑπὸ τῶν γρα-

sustulit, mari terminos dedit, ventos ac flatus ordinavit; quique corpori ambienti in immenso pelago, per spiritum consilii sui, securitatem tribuit.

XLVI. Hic noster judex est, in quem intuendo oportet animas nostras emendare, omnia pro eo cogitare, ipsi benedicere; atque pro certo habere, quod sua patientia improbitatem cunctorum in publicum adducens solus exsistit bonus. Isque in fine universi unicuique facinorum contra rationem admissorum justus praesidebit judex.

XLVII. His ego Clemens auditis dico: vere illud religio est, vere illud pietas. Iterumque aio: cuperem igitur scire, quapropter eo modo scripti sunt libri sacri. Memini quippe te dixisse, id factum ad coarguendos eos, qui aliquid, quod dictum sit adversus Deum, temere crediturі erant. Sed quoniam concedis nobis, quaerere ex te uti lubet, interrogare audemus, te jubente. Si quis, carissime Petre, in animum induxerit dicere nobis: veritatem continent quae in Deum dicta ac scripta sunt, licet tibi videantur falsa: quo modo illi respondebimus?

XLVIII. Excepit Petrus: tu bene interrogasti. Verum audi. Erit enim in tuam cautionem. Quandoquidem multa sunt a Scripturis in Deum dicta, quia

1. Ci ἀσφαλὴς post βουλῆς Metaphrasten redolet abundatque; ἀσφαλὲς conj. S. Deest in O.
2. In O pr. man. in marg. ἔχον. Eadem varietas occurrit infra c. 52.
3. ἀληθῶς τοῦτο O.
4. Post τι O praebet τὸ.
5. Vbb. πυνθάνεσθαί σου ὡς βουλόμεθα accesserunt ex O.
6. κἂν om. O, qui tum scr. δοκεῖ.
7. σὺ D suffragante O, σὺ C.

www.libtool.com.cn

φῶν εἰρημένα κατὰ τοῦ Θεοῦ, πρὸς τὸ ἐπεῖγον τῆς ὥρας διὰ τὴν ἔσπέραν [1]. ἵνα ὃν βούλῃ λόγον πύθου καὶ ἐπιλύσομαι, δείξας αὐτὸν ψευδῆ· οὐχ [2] ὅτι μόνον κατὰ τοῦ Θεοῦ εἴρηται, ἀλλ' ὅτι ὄντως ψευδής ἐστιν. κἀγὼ ἀπεκρινάμην· μαθεῖν θέλω πῶς τῶν γραφῶν ἀγνοεῖν τὸν Θεὸν λεγουσῶν [3] σὺ γινώσκοντα αὐτὸν ἀποδείξαι δύνασαι.

XLIX. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· εὐκόπως ἐλεγχθῆναι δυνάμενον προέτεινας ἡμῖν· πλὴν ἄκουσον, πῶς οὐδὲν ἀγνοεῖ Θεός, ἀλλὰ καὶ προγινώσκει. ὃ δὲ πυνθάνομαί σου, πρῶτον ἀπόκριναί μοι· ὁ τὰς βίβλους γράψας καὶ εἰπὼν πῶς ὁ κόσμος ἐκτίσθη καὶ ὅτι οὐ προγινώσκει ὁ Θεός, ἄνθρωπος ἦν, ἢ οὔ; κἀγὼ ἔφην· ἄνθρωπος. καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἀνθρώπῳ οὖν ὄντι, πόθεν δυνατὸν ἦν εἰδέναι ἀψευδῶς, πῶς ὁ κόσμος ἐκτίσθη, καὶ ὅτι ὁ Θεὸς οὐ προγινώσκει;

L. Κἀγὼ αἰσθόμενος ἤδη τὴν ἐπίλυσιν ὑπομειδιῶν ἔφην· ὅτι προφήτης ἦν. καὶ ὁ Πέτρος ἔφη· εἰ οὖν ὁ προφήτης, ἄνθρωπος ὤν, οὐδὲν ἠγνόει, διὰ τὸ ἀπὸ Θεοῦ εἰληφέναι τὴν πρόγνωσιν, πῶς ἂν [4] αὐτὸς ὁ δεδεικὼς ἀνθρώπῳ τὸ προγινώσκειν, Θεὸς ὤν, ἠγνόει; κἀγὼ ἔφην· ὀρθῶς ἔφης. καὶ ὁ Πέτρος· ἔτι οὖν, ἔφη, εἰς αὐτὸ συνδιαπόρησόν μοι. ὡμολογημένου ἡμῖν ὅτι ὁ Θεὸς πάντα προγινώσκει, ἀνάγκη πᾶσα, τὰς λέγουσας αὐτὸν γραφὰς ἀγνοεῖν ψεύδεσθαι, τὰς δὲ γινώσκειν αὐτὸν λέγουσας ἀληθεύειν. κἀγὼ ἔφην· ἀνάγκη οὕτως ἔχειν.

tempus urget ob vesperam, unum quod voles dictum sciscitare; et solvam, falsumque esse ostendam, non solum quod contra Deum prolatum sit, sed quod revera sit falsum. Et ego respondi: velim discere, quo pacto, cum Scripturae Deum dicant in ignorantia versari, tu ipsum scientem esse poteris demonstrare.

XLIX. Respondit Petrus: dictum proposuisti refutatu facile. Attamen ausculta, quemadmodum nihil ignorat Deus, sed et praescit. Quod vero te rogo, primum mihi responde: qui libros sacros scripsit, dixitque qua ratione mundus fuerit conditus et quod Deus non praesciat, homo erat, nec ne? Et ego: homo, inquam. Iterum Petrus: ergo qui erat homo, unde certo scire poterat, qua ratione mundus fuerit conditus, et quod Deus non praesciat?

L. Tum ego, qui jam solutionem intelligerem, subridens aio: quoniam erat propheta. Et Petrus dixit: si ergo propheta, licet homo, nihil nesciebat, qui a Deo acceperat praescientiam, quo pacto igitur ipse qui homini praescire largitus est, Deus cum sit, in ignorantia versetur? Et ego: recte pronunciasti. Tum Petrus: adhuc ergo, inquit, de hoc una mecum require. Confesso a nobis, Deum omnia praecognoscere, omnino necesse est, ut Scripturae illum quidem ignorare affirmantes mentiantur, asserentes vero cognoscere, verae sint. Et ego dixi: necesse est ita habere.

1. Malim διὰ τὸ ἐπεῖγον τῆς ὥρας πρὸς τὴν ἑσπέραν, sede praepositionum mutata. D.
2. οὐκ C, οὐχ S.
3. λεγ. τ. Θεὸν C.
4. ὢν C.

www.libtool.com.cn

LI. Καὶ ὁ Πέτρος ἔφη· εἰ οὖν τῶν γραφῶν ἃ μέν ἐστιν ἀληθῆ, ἃ δὲ ψευδῆ, εὐλόγως ὁ διδάσκαλος ἡμῶν ἔλεγεν· γίνεσθε τραπεζῖται[1] δόκιμοι· ὡς τῶν ἐν ταῖς γραφαῖς τινῶν μὲν δοκίμων ὄντων λόγων, τινῶν δὲ[2] κιβδήλων, καὶ τοῖς ἀπὸ τῶν ψευδῶν γραφῶν πλανωμένοις οἰκείως τῆς πλάνης ἐξέφηνε[3] τὴν αἰτίαν λέγων[4]· διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰ ἀληθῆ τῶν γραφῶν. οὗ εἵνεκεν ἀγνοεῖτε καὶ τὴν δύναμιν τοῦ Θεοῦ. κἀγὼ ἔφην· πάνυ καλῶς.

LII. Καὶ ὁ Πέτρος ἀπεκρίνατο[5]· οὐκοῦν εὐλόγως οὔτε κατὰ τοῦ Θεοῦ πιστεύω, οὔτε κατὰ τῶν ἐν τῷ νόμῳ ἀναγραφέντων δικαίων, ἀσεβῶς φρονεῖν προλαμβάνων[6]· ὡς γὰρ πέπεισμαι, οὔτε Ἀδὰμ παραβάτης ἦν, ὁ ὑπὸ τῶν τοῦ Θεοῦ χειρῶν κυοφορηθείς· οὔτε Νῶε μέθυσος ἦν, ὁ ὑπὲρ[7] πάντα τὸν κόσμον δίκαιος εὑρεθείς· οὔτε δὲ Ἀβραὰμ τρισὶν ἅμα συνῄει[8] γυναιξίν, ὁ διὰ σωφροσύνην πολυτεκνίας καταξιωθείς· οὔτε Ἰακὼβ τετράσιν ἐκοινώνει, ὧν δύο καὶ ἀδελφαὶ[9] ἐτύγχανον, ὃς δεκαδύο φυλῶν ὑπάρξας πατὴρ καὶ τὴν τοῦ διδασκάλου ἡμῶν παρουσίαν ἐσήμανεν ἐλθεῖν· οὐ Μωυσῆς φονεὺς ἦν, καὶ παρὰ ἱερέως εἰδώλων[10] κρίνειν ἐμάνθανεν, ὁ παντὶ

LI. Petrus addidit: si ergo in Scripturis alia vera sunt, alia falsa, recte Magister noster dixit: *estote probi trapezitae;* cum nempe quaedam in Scripturis dicta proba sint, quaedam adulterina. Et hominibus, qui ob falsas Scripturas errabant, proprie erroris indicavit causam, dicens: *ideo erratis, nescientes vera Scripturarum; propter quod ignoratis et virtutem Dei.* Et ego dixi: omnino praeclare.

LII. Respondit Petrus: recte itaque non credo adversus Deum, nec adversus justos in lege memoratos, impiam praesumens opinionem. Ut enim mihi persuadeo, neque Adamus transgressor fuit, quem Dei manus parturierunt: neque Noë ebrius, qui prae omni mundo justus inventus est: neque Abrahamus tres simul habuit uxores, qui propter castitatem donatus est liberorum multitudine: neque Jacobus quatuor duxit, quarum et duae sorores, qui duodecim tribuum pater exstitit, et Magistri nostri adventum futurum designavit Moyses non erat homicida, nec ab idolorum sacerdote didicit judicare, qui

1. Ita O c. S, τραπεζεῖται C, qui refert ad Hom. III, 50. XVIII, 20. Epiph. Haer. 44, 2 et ad notas suas in Constit. Ap. II, 36. Adde secundum S, quae praebent Credner, Beiträge I, 295. 327. Heinichen Euseb. Hist. Eccl. Tom. III. Excurs. IX. p. 389.

2. δὲ S O, τε C. Non C, uti vult S, sed Cl deinceps πλυνομένοις.

3. Ita S, ἐξέφανε C O.

4. Cfr. Marc. XII, 24. Mat. XXII, 29.

5. Vbb. πάνυ καλῶς. Καὶ ὁ Πέτρος ἀπεκρίνατο des. in O.

6. προλαμβάνει O, in cuj. marg. al. man. νόθα κατὰ νόμου λεγόμενα.

7. ἔχον O. Vid supra c. 46.

8. Melius συνῆν. S.

9. Vbb. πολυτεκνίας — ἀδελφαὶ desiderantur in O.

10. εἰδώλου C.

www.libool.com.cn

τῷ αἰῶνι τὸν τοῦ Θεοῦ νόμον προφητεύσας καὶ δι' ὀρθὴν φρόνησιν πιστὸς οἰκονόμος μαρτυρηθείς.

LIII. Πλὴν καὶ τούτων σοι τὴν ἐπίλυσιν μετὰ τῶν ὁμοίων ἐπὶ καιροῦ παρέξω. τοῦ δὲ λοιποῦ, ὡς ὁρᾷς, ἐπειδὴ ἑσπέρα κατείληφεν, τὰ σήμερον ῥηθέντα αὐτάρκως ἐχέτω. ἄλλοτε δὲ εἰ [1] βούλει, περὶ ὧν θέλεις, θαρρῶν ἡμῖν πυνθάνου, καὶ ἡμεῖς χαίροντες ἀόκνως ἐπιλύσομεν. καὶ ταῦτα εἰπὼν ἐγήγερται. καὶ οὕτως τροφῆς μεταλαβόντες εἰς ὕπνον ἐτράπημεν. κατειλήφει γὰρ ἡ νύξ.

## ΟΜΙΛΙΑ Γ'.

I. Δύο μὲν οὖν διελθουσῶν ἡμερῶν, ἐπιφωσκούσης δὲ τρίτης, πρὸς τὸ διαλεχθῆναι τῷ Σίμωνι ἐξυπνισθεὶς ἐγὼ Κλήμης καὶ οἱ συνόντες ἑταῖροι [2] ὑπὸ τὰς δευτέρας τῶν ἀλεκτρυόνων φωνάς, εὕρομεν τὸν μὲν λύχνον ἔτι φαίνοντα, τὸν δὲ Πέτρον γονυκλινῆ προσευχόμενον. συντελέσας οὖν τὴν δέησιν, ἐπιστραφεὶς καὶ ἰδὼν ἡμᾶς πρὸς τὸ ἀκοῦσαι ἑτοίμως ἔχοντας, ἔφη.

II. Γινώσκειν ὑμᾶς θέλω, ὅτι οἱ καθ' ἡμετέραν πρόνοιαν συνόντες τῷ Σίμωνι, ὅπως τὰς βουλὰς αὐτοῦ μανθάνοντες ὑποβάλλωσιν ἡμῖν, ἵνα δυνώμεθα πρὸς τὴν τῆς κακίας αὐτοῦ ποικιλίαν ἁρμόσασθαι, αὐτοὶ πέμψαντες ἐδήλωσαν ἡμῖν λέγοντες· Σίμων σήμερον, καθὰ συνετάξατο, ἕτοιμός ἐστιν ἀπὸ τῶν γραφῶν ἐπὶ πάντων ἐλθὼν ἀποδεικνύειν, μὴ τοῦτον

omnibus saeculis legem Dei prophetavit et ob rectam intelligentiam testimonium fidelis dispensatoris accepit.

LIII. Sed et horum similiumque solutionem in tempore tibi exhibebo. De caetero, quoniam, ut vides, instat vespera, quae hodie dicta sunt, sufficiant. Attamen quoties voles, de quibus placebit, fidenter percontare: nos laeti confestim explicabimus. Quibus dictis surrexit. Sicque sumpto cibo in somnum versi sumus. Nox enim advenerat.

## HOMILIA TERTIA.

I. Post duas igitur dies, tertio autem illucescente, quo disputandum erat cum Simone, ego Clemens expergefactus comitesque, sub secundum gallorum cantum invenimus lucernam adhuc lucentem, Petrum vero genibus flexis orantem. Completa igitur prece conversus cernensque nos ad audiendum paratos dixit:

II. Scire vos volo, quod, qui ex nostro consilio manent cum Simone, ut inepta illius addiscentes nobis subjiciant, quo ad variam ejus malitiam aptare nos possimus, ipsi miserunt, et nobis ista declararunt: Simon hodie, quemadmodum promisit, paratus est, venire coram omnibus, ut ostendat ex Scripturis:

1. ἀλλ' ὅτε δὲ C. 2. ἕτεροι C.

εἶναι Θεὸν ἀνώτατον, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν καὶ πάντα τὰ [1] ἐν αὐτοῖς, ἀλλὰ ἄλλον τινὰ ἄγνωστον καὶ ἀνώτατον, ὡς ἐν ἀπορρήτοις ὄντα θεὸν θεῶν· ὃς δύο ἔσπειψε θεούς, ἀφ' ὧν ὁ μὲν εἷς ἐστιν ὁ κόσμιον κτίσας, ὁ δὲ ἕτερος ὁ τὸν νόμον δούς. καὶ ταῦτα μηχανᾶται λέγειν, ὅπως τῶν τὸν ἕνα καὶ μόνον μελλόντων σέβειν Θεόν, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν, τὴν ὀρθὴν προσκλύσῃ [2] πίστιν.

III. Ταῦτα ἀκούσας πῶς οὐκ ἂν ἠθύμησα; διὸ καὶ ὑμᾶς [3], τοὺς συνόντας μοι ἀδελφούς, εἰδέναι ἠθέλησα, ὡς οὐ μετρίως τὴν ψυχὴν ἀλγῶ, ἐνορῶν τὸν μὲν πονηρὸν πρὸς δοκιμὴν ἀνθρώπων ἐγρηγορότα, τοὺς δὲ ἀνθρώπους τῆς ἑαυτῶν σωτηρίας πάνυ ἀμελοῦντας. ἐμηχανήσατο γὰρ τοῖς ἀπὸ ἐθνῶν μέλλουσι περὶ τῶν ἐπιγείων ξοάνων πείθεσθαι [4] ὅτι οὐκ εἰσὶ θεοί, ἑτέρων πολλῶν θεῶν δόξας εἰσενεγκεῖν, ὅπως ἂν παύσωνται τῆς κάτω [5] πολυθεομανίας, ἑτέρως ἢ καὶ χεῖρον κατὰ τῆς τοῦ Θεοῦ μοναρχίας λέγειν ἀπατηθήσονται· ἵνα μηδέποτε τὰ τῆς μοναρχίας προτιμήσαντες οὐπώποτε ἐλέους τυχεῖν δυνηθῶσιν. ταύτης δὲ τῆς τόλμης ἕνεκα ὁ Σίμων ταῖς ψευδέσι τῶν γραφῶν περικοπαῖς ὡπλισμένος πολεμεῖν ἡμῖν προσέρχεται. καὶ τὸ δεινότερον, ὅτι ἀφ' ὧν οὐ [6] πιπίστευκε προφητῶν τοιαῦτα δογματίζειν κατὰ τοῦ ὄντως Θεοῦ οὐ πεφόβηται.

IV. Καὶ ἡμῖν μὲν τοῖς ἐκ προγόνων παρειληφόσι τὸν τὰ πάντα κτί-

huno qui coelum et terram omniaque in iis exstantia condidit, non esse Deum supremum; sed alium exsistere quemdam incognitum et supremum, ut in ineffabilibus exsistentem Deum Deorum, qui duos miserit Deos, ex quibus alter mundi creator, alter legis dator. Atque haec dicere molitur, ut rectam fidem eorum subvertat, qui unum ac solum Deum creatorem coeli et terrae adoraturi sunt.

III. Haec audiens quo modo non moleste tulissem? Quocirca et vos mecum consistentes fratres scire volui, non mediocriter animo me dolere, dum video, Diabolum quidem ad homines tentandos vigilare, homines vero plane negligere salutem suam. Gentilibus enim, qui terrena simulacra crediturі erant non esse Deos, machinatus est introducere opiniones de multis aliis Diis; ut si a terrestri multorum Deorum cessarent insania, alia vel pejori fraude contra Dei monarchiam ac unitatem loqui compellerentur, ne doctrinam de uno principatu maximi facientes umquam possint consequi misericordiam. Hoc ob audax facinus Simon falsis Scripturarum sectionibus armatus venit ad nos oppugnandos. Quodque gravissimum est, ista adversus Deum verum ex prophetis, quibus tamen non credit, docere non veretur.

IV. Et quidem adversum nos, qui a majoribus cultum omnium conditoris

1. τὰ transscripsi ex O, qui vocabula ἄγνωστον καὶ non exhibet.
2. προσεκλύσει C.
3. ἡμᾶς O.
4. πείσθεσθαι O.
5. κάτω non omittere debebat S. Subinde O πολυθεουμανίας.
6. οὐ non est in O.

σαντα σέβειν Θεόν, ἔτι δὲ καὶ τῶν ἀπατᾶν δυναμένων βίβλων τὸ μυστήριον, οὐδὲν δυνήσεται, τοῖς δὲ ἀπὸ ἐθνῶν, τὴν πολύθεον ὑπόληψιν σύντροφον ἔχουσιν, καὶ τῶν γραφῶν τὰ ψευδῆ οὐκ εἰδόσιν, πολὺ δυνήσεται· οὐ μόνον αὐτός, ἀλλ' εἰ καὶ ἄλλος τις τοῖς ἀπὸ ἐθνῶν κατὰ τοῦ Θεοῦ κενόν [1] τινα, ὅμοιον ὀνείρῳ, πλουσίως κεκοσμημένον ὑφηγήσεται μῦθον, πιστευθήσεται, τῷ ἐκ παίδων τὸν νοῦν αὐτῶν τὰ κατὰ τοῦ θεοῦ λεγόμενα ἐθισθῆναι λαμβάνειν [2]. σπάνιοι δέ τινες οἱ μὲν αὐτῶν ἔσονται, ὡς ἐκ πλήθους ὀλίγοι, οἵτινες διὰ εὐγνωμοσύνην οὐ θελήσουσι κατὰ τοῦ τὰ πάντα πτίσαντος Θεοῦ κακὸν λόγον αὐτὸ [3] κἂν ἀκοῦσαι μόνον· οἷς μόνοις ἀπὸ ἐθνῶν οὖσι σωθῆναι γενήσεται. μὴ οὖν ἡμῖν [4] τις τὸν Σίμωνα παντελῶς μεμιφέσθω, ἢ καὶ ἄλλον τινά· οὐδὲν γὰρ ἀδίκως γίνεται, ὅπου καὶ τὰ τῶν γραφῶν ψευδῆ εὐλόγως πρὸς δοκιμὴν ἔχοντα τυγχάνει.

V. Κἀγὼ Κλήμης ἀκούσας ἔφην· πῶς λέγεις, κύριε, καὶ τὰ τῶν γραφῶν ψευδῆ εὐλόγως πρὸς δοκιμὴν ἀνθρώπων ἔχειν; ὁ δὲ ἀπεκρίνατο· τὰ ψευδῆ τῶν γραφῶν αἰτήματι κακίας δικαίῳ τινὶ λόγῳ γραφῆναι συνεχωρήθη. εὐλόγως δὲ [5] λέγω οὕτως. ἐν ταῖς θεολογίαις ὁ πονηρὸς τοῦ ἀγαθοῦ τὸν Θεὸν οὐκ ἔλαττον ἀγαπῶν ἑνὶ μόνῳ ἀπολείπεται τοῦ ἀγαθοῦ, ὅτι καὶ τῶν ἀγνοίας αἰτίᾳ ἀσεβούντων οὐ συγγινώσκων, στοργῇ τῇ πρὸς τὸ ἀσεβούμενον,

Dei accepimus nec non Scripturarum decipere valentium mysterium, nihil poterit: contra vero gentiles, in multorum Deorum opinione nutritos, ignorantesque Scripturae mendacia, valebit plurimum: non modo ipse, sed et si quis alius ethnicis vanam aliquam in Deum fabulam, similem somnio opulenterque ornatam enarraverit, credetur; quod a pueritia mens eorum solita est sermones adversus Deum suscipere. Rari autem inter eos erunt, ut e multitudine pauci, qui ob aequum animum nolent malo in omnium conditorem Deum sermoni vel aurem duntaxat praebere. Quibus solis ethnicis salvari continget. Nemo igitur nobis de Simone penitus conqueratur, vel de quoquam alio. Nihil enim injuste accidit. Quandoquidem et Scripturarum mendacia jure ad hominum probationem posita sunt.

V. Quo audito ego Clemens dixi: qua ratione ais, Domine, et Scripturarum mendacia merito ad hominum probationem posita fuisse? Ille vero respondit: mendacia Scripturarum, ex malitiae postulatione, justa ratione permissa sunt scribi. Merito autem dico sic. In theologia et religione malus, non minus diligens Deum quam bonus in uno tantum a bono superatur, quod nolens parcere iis, qui ex ignorantia impii sunt, amore in illud quod non colitur,

1. καινόν O, qui deinde ὀνείρῳ c. D (ὄν εἴρω C), sed statim πλουσίῳ (πλουσίῳ C, πλουσίως de conjectura). κεκοσμηθέντα p. κεκοσμημένον O.

2. Ita O et C in marg., λαμβάνει in textu.

3. αὐτὸ C mutari vult in αὐτὸν vel αὐτοῖ. Frustra. Cfr. Hom. III, 9. S.

4. ὑμῶν C.

5. δὲ om. O.

www.libtool.com.cn

τῶν ἀσεβούντων ἐπιθυμεῖ τὸν ὄλεθρον, ὁ δὲ[1] τὴν ἴασιν αὐτοῖς προσφέρειν. ὁ γὰρ ἀγαθὸς ἰᾶσθαι πάντας θέλει[2] ταῖς μεταμελείαις, σώζει δὲ μόνους τοὺς ἐγνωκότας τὸν Θεόν. τοὺς δὲ ἀγνοοῦντας οὐκ ἰᾶται, οὐχ ὅτι οὐ θέλει, ἀλλ' ὅτι οὐκ ἔξεστιν τὰ ἡτοιμασμένα τοῖς υἱοῖς τῆς βασιλείας ἀγαθὰ τοῖς διὰ τὸ ἀδιάκριτον ἀλόγοις ζώοις παρεικασθεῖσι παρασχεῖν.

VI. Τοῦ ἑνὸς καὶ μόνου Θεοῦ, τοῦ τὸν κόσμον πεποιηκότος καὶ ἡμᾶς κτίσαντος καὶ πάντα παρεσχηκότος, τοιαύτη πέφυκεν φύσις, παντὸς ἤδη ποτὲ[3] ἐντὸς ὅρων θεοσεβείας ὄντος, καὶ μὴ βλασφημοῦντος αὐτοῦ τὸ ἅγιον πνεῦμα, στοργῇ τῇ πρὸς αὐτὸν εἰς αὐτὸν[4] φέρειν τὴν ψυχήν, ὑπ' αὐτοῦ εἰς αὐτὴν[5] ἔρωτος ἰδέᾳ. κἂν ἁμαρτωλὸς ᾖ, μετὰ τὸ κατ' ἀξίαν κολασθῆναι ὧν ἔπραξε[6] σώζεσθαι φύσιν ἔχει. εἰ δέ τις αὐτὸν ἀρνήσεται[7], ἢ ἑτέρως πως λόγῳ εἰς αὐτὸν ἀσεβήσει, ἔπειτα μετανοήσει[8], κολασθήσεται μὲν ἐφ' οἷς εἰς αὐτὸν ἥμαρτεν, σωθήσεται δέ, ὅτι ἐπιστρέψας ἠγάπησεν. ἴσως δὲ ἡ τῆς εὐσεβείας ὑπερβολὴ[9] καὶ τῆς ἱκεσίας ἢ καὶ τοῦ κολασθῆναι ἀπολυθήσεται, συγγνώμης[10] τῆς ἁμαρτίας μετὰ τῆς μετανοίας δεδωκὼς

irreligiosorum desiderat interitum, bonus vero ipsis offerre sanitatem. Vult enim cunctos poenitentia sanare: servat autem eos tantum, qui Deum cognoscunt; at eos qui eum ignorant non sanat, non quod nolit, sed quia non licet bona filiis regni praeparata tribuere hominibus, qui ob discretionis privationem assimilati sunt brutis animantibus.

VI. Unius ac solius Dei, qui mundum fecit et nos creavit et omnia praebuit, ea natura est, ut animam cujuslibet intra pietatis limites positi et sanctum ejus Spiritum non blasphemantis, ad se, caritate erga hunc hominem, adducat, per respectum sui in illam amoris. Licet peccatrix sit, ita comparata est, ut, postquam condigne de actis punita fuerit, salutem consequatur. Si quis vero Deum negaverit, aut alia quadam ratione in eum verbo exstiterit impius, ac postea egerit poenitentiam, castigabitur quidem pro iis quae in eum deliquit, salvus autem erit, quia conversus dilexit. Fortassis etiam pietatis ac orationis magnitudo vel et poenas effugiet, cum homo pro delicti venia ignorantiam et

1. οὐδὲ p. ὁ δὲ O. Tum προσφέρειν sp. ἐπιθυμεῖ S c. D, προσφέρων C O.

2. θέλει πάντας O.

3. Ita S c. D. Ille conj. εἰδήποτε, C O οὐδήποτε. Sublinde ἐντὸς ὅρων O in textu, ad oram man. al. ἴσως ἐκτός. C edidit ἐντὸς ὅρῳ. Tum βλασφημοῦντος scr. O.

4. Ita S, εἰς αὐτὸν C O.

5. αὐτὸν O.

6. Ita edidi c. O, ὧν ἔπραξεν κολασθεῖσαν C repugnante grammatica. κολασθῆναι jam proposuit D. S eo inclinat, ut credat, excidisse aliquid post κολασθεῖσαν, velut ἐπιστρέψαι, cfr. Hom. III, 6. XI, 16. Frustra.

7. ἀρνήσηται C. Idem ἀσεβήσῃ.

8. μετανοήσῃ C. Tum ἐφ' ὡ (sic) O.

9. τῇ τῆς εὐσ. ὑπερβολῇ conj. D, ἢ τῆς pro ἡ τῆς εὐσ. O. Qua lectione recepta legerim: ἢ τῆς εὐσ. ὑπερβολῇ καὶ τῆς ἱκεσίας ἧττον κακῶς παθήσεται, ἢ καὶ τοῦ κολασθῆναι ἀπολυθήσεται.

10. συγγνώμῃ („pro peccati venia") conj. D. Legendum potius foret ex Si opinione ἀντὶ vel ὑπὲρ συγγνώμης, nisi totus locus corruptelae manifestus esset.

www.libtool.com.cn

τὴν ἄγνοιαν. οἱ δὲ μὴ μετανοήσαντες διὰ τῆς τοῦ πυρὸς κολάσεως καὶ τὸ τέλος ἔχουσιν, κἂν ἐν τοῖς λοιποῖς ἅπασιν ὁσιώσατοι ὦσιν· ἀλλ' ὡς ἔφην, μεμετρημένου αἰῶνος τὸ πέριπτον [1] πυρὶ αἰωνίῳ κολασθέντες ἀποσβεσθήσονται. εἶναι γὰρ εἰς ἀεὶ οὐκ ἔτι δύνανται οἱ [2] εἰς τὸν ἀεὶ καὶ [3] μόνον ἀσεβήσαντες Θεόν.

VII. Ἡ δὲ εἰς αὐτὸν ἀσέβειά ἐστι τὸ ἐν τῷ τῆς θεοσεβείας λόγῳ ὄντα τελευτᾶν [4] λέγοντα ἄλλον εἶναι Θεόν, ἢ ὡς κρείττονα, ἢ ὡς ἥττονα, ἢ ὁπώσποτε λέγοντα παρὰ τὸν ὄντως ὄντα. ὁ γὰρ ὄντως ὢν οὗτός ἐστιν, οὗ τὴν μορφὴν τὸ ἀνθρώπου βαστάζει σῶμα, οὗ εἵνεκεν ὁ οὐρανὸς καὶ πάντες οἱ ἀστέρες ὑπέμειναν δουλεύειν, κατ' οὐσίαν κρείττονες ὄντες, τῷ κατ' οὐσίαν χείρονι, διὰ τὴν τοῦ κρείττονος μορφήν. τοσοῦτον ὁ θεὸς ὑπὲρ πάντας [5] εὐεργέτηκε τὸν ἄνθρωπον, ἵνα εἰς τὸ πλῆθος τῶν εὐεργεσιῶν τὸν εὐεργέτην ἀγαπήσας ὑπὸ αὐτῆς ἀγάπης καὶ εἰς τὸν [6] δεύτερον αἰῶνα διασωθῆναι δυνηθῇ.

VIII. Αὐτάρκης οὖν εἰς σωτηρίαν ἡ εἰς Θεὸν ἀνθρώπων στοργή. εἰδὼς δὲ [7] ὁ πονηρός, ἡμῶν σπευδόντων τοῖς ἀπὸ ἐθνῶν πιστεύειν μέλλουσιν ἑνὸς καὶ μόνου Θεοῦ ἐν ψυχαῖς σπείρειν τὴν ἀθανατοποιὸν πρὸς αὐτὸν ἀνθρώπων [8] στοργήν, αὐτὸς ὁ πονηρὸς κατὰ τῶν ἀγνοούντων ἱκανὸν ὅπλον ἔχων πρὸς ὄλεθρον σπουδάζει πολλῶν θεῶν ἢ καὶ ἑνὸς ὡς κρείττο-

poenitentiam attulerit. Qui autem non ducuntur poenitentia, per ignis suppli-
cium finem quoque accipient, etsi in reliquis omnibus sint sanctissimi: verum
ut dixi, certo tempore plurimum igne aeterno vexati, exstinguentur. Non enim
amplius sempiterni esse possunt, postquam impie se gesserunt erga aeternum
ac solum Deum.

VII. Impietas autem in illum est, in ea circa religionem opinione mori,
qua dicatur alium esse Deum, seu ut majorem, seu ut minorem, vel quomo-
documque praeter eum qui vere est. Nam qui vere est, ille est, cujus for-
mam humanum gerit corpus: propter quam rem coelum et omnia astra, quamvis
secundum essentiam praestantiora, servire sustinuerunt ei, qui secundum es-
sentiam minor est, propter Numinis formam. Tantum Deus hominem prae
omnibus beneficio affecit: ut intuitu plurimorum beneficiorum, illorum auctorem
diligens, per dilectionem eam et in secundo aevo salvus esse possit.

VIII. Sufficiens ergo est ad salutem caritas hominum erga Deum. Videns
autem malus festinare nos, ut in eorum animis, qui ex gentilibus crediturі
sunt, inseminemus immortalitatis operatricem caritatem hominum in unum ac
solum Deum, ipse, inquam, Diabolus, contra imperitos sufficienter ad necem

1. περιττὸν C in marg.
2. οἱ om. O.
3. καὶ ante μόνον excidit ap. S.
4. Minus accurate scr. S, C exh. τελευτᾶν, quod est ap. Cl.
5. Malim παντά. S.
6. τὸν adjunxi c. O.
7. δὲ addidi c. O, ὃ εἰδὼς conj. D.
8. ἀνθρώπων accessit ex O.

www.kirchenvol.com

νος σπεῖραι τὴν ὑπόληψιν, ἵνα συλλαβόντες καὶ συμπεισθέντες ἃ μὴ θέμις, ἀποθανόντες ὡς ἐπὶ μοιχείας ἐγκλήματι, τῆς αὐτοῦ βασιλείας ἀποβληθῶσιν.

IX. Ἄξιος οὖν τῆς ἀποβολῆς πᾶς κατὰ τῆς τοῦ Θεοῦ μοναρχίας αὐτὸ μόνον κἂν ἀκοῦσαί τι τοιοῦτον θελήσας, εἰ δὲ ὡς γραφαῖς τεθαρρηκὼς κατὰ τοῦ Θεοῦ τολμᾷ τις κἂν ἀκούειν, πρῶτον ἐκεῖνό μοι συνενθυμείτω[1], ὅτι, ἄν τις εὔλογον ἑαυτῷ δόγμα ὡς βούλεται ἀναπλάσῃ, ἔπειτα αὐταῖς ἐγκύψῃ[2], δυνατὸς ἔσται πολλὰς ὑπὲρ οὗ ἐπλάσατο δόγματος ἀπ' αὐτῶν μαρτυρίας φέρειν· πῶς οὖν ἐπὶ ταύταις κατὰ τοῦ Θεοῦ θαρρεῖν ἔστιν, ἐν αἷς ἡ πάντων βουλὴ εἰσευρίσκεται;

X. Αὐτίκα γοῦν Σίμων αὔριον ἡμῖν συζητεῖν[3] μέλλων δημοσίᾳ κατὰ τῆς τοῦ Θεοῦ μοναρχίας τολμᾷ[4], θέλων πολλὰς ἐξ αὐτῶν τῶν γραφῶν φωνὰς ἐνεγκεῖν, ὅτι[5] πολλοί εἰσι θεοί, εἷς δέ τις οὐχ ὁ τὸν κόσμον κτίσας, ἀλλὰ[6] τούτου ἀνώτερος· καὶ ὁμῶς τὰς ἀποδείξεις ἐγγράφους ἔχει παρασχεῖν. καὶ ἡμεῖς δὲ ἐξ αὐτῶν πολλὰς περικοπὰς δεῖξαι σαφῶς ἔχομεν, ὅτι εἷς ἐστιν ὁ[7] Θεὸς οὗτος ὁ τὸν κόσμον κτίσας, καὶ ἄλλος[8] οὐκ ἔστι πλὴν αὐτοῦ. ἀλλὰ καὶ εἴ τις ἄλλως πως εἰπεῖν θελήσει, ἕξει καὶ αὐτὸς ἐξ αὐτῶν ὡς βού-

armatus, nititur multorum Deorum sive unius tamquam praestantioris opinionem inserere: quo homines, tenendo ac credendo quae non licet, moriantur quasi in adulterii crimine, et a regno Dei ejiciantur.

IX. Itaque dignus est qui abjiciatur, quicumque contra Dei monarchiam vel tantum quid simile audire voluerit. Si vero, quasi Scripturis confidat, contra Deum vel audire aliquis audet, primo illud mecum consideret: si qui dogma aliquod sibi probabile pro voluntate confinxerit et postea Scripturas fuerit intuitus, ex iis poterit multa testimonia pro fictitio suo dogmate proferre. Quo modo igitur in iis adversus Deum confidere fas sit, in quibus cunctorum placitum invenitur?

X. Nunc ergo Simon, cras nobiscum publice disceptaturus, contra Dei monarchiam aggreditur, multasque ex ipsis Scripturis voces afferre vult, de eo quod multi Dii sint et unus quidam, non quidem creator mundi, sed illo superior. Simulque argumenta ex Scripturis exhibebit. Et nos quoque ex iis ipsis multa evidentia capitula ostendere possumus, quod unus sit Deus hic qui orbem condidit, nec alius sit praeter eum. Sed et si quis alio quocumque modo dicere voluerit, habebit etiam is ex ipsis, prout volet et de quibus volet, pro-

1. Ita S, *συνενθυμήτω* C, *συνενθυμηθήτω* O.
2. *ἐγκύψῃ* O c. S, *ἐγκύψει* C. Subinde *δυνατὸν* O.
3. *συνζητεῖν* C.
4. *τολμᾷν* O.
5. *ἔχ* (sic) *ὅτι* p. *ὅτι* O.
6. *ἀλλὰ* om. O. Tum *ὁμῶς* S, *ὅμως* C O.
7. *ὁ* inserui c. O.
8. *ἄλλο* O.

www.libtool.com.cn

λεται περὶ ὧν βούλεται τὰς ἀποδείξεις παρασχεῖν. πάντα γὰρ αἱ γραφαὶ λέγουσιν, ἵνα μηδεὶς τῶν ἀγνωμιόνως ζητούντων τὸ ἀληθὲς εὕροι, ἀλλ' ὃ βούλεται, τοῦ ἀληθοῦς τοῖς εὐγνώμοσι τετηρημένου. εὐγνωμοσύνη δέ ἐστιν, τὸ [1] πρὸς τὸν τοῦ εἶναι ἡμᾶς αἴτιον ἀποσώζειν στοργήν.

XI. Ὅθεν πρὸ πάντων εἰδέναι ὀφείλει, ὅτι οὐδαμόθεν αὐτὴν εὑρίσει, εἰ μὴ ἄν ἀπὸ προφήτου ἀληθείας. προφήτης δὲ ἀληθής ἐστιν ὁ πάντα πάντοτε εἰδώς, ἔτι δὲ καὶ τὰς πάντων ἐννοίας, ἀναμάρτητος, ὡς περὶ τῆς προγνώσεως αὐτοῦ μὴ ἁπλῶς διαλαμβάνειν, ἀλλ' εἰ δύναται ἄνευ ἑτέρας προφάσεως συνεστάναι αὐτοῦ ἡ πρόγνωσις. ἃ γὰρ οἱ ἰατροὶ προλέγουσιν, ὑποβεβλημένην ὕλην ἔχοντες τοῦ νοσοῦντος τὸν σφυγμόν, καὶ οἱ μὲν πτηνά, οἱ δὲ θύματα, καὶ ἄλλοι ἄλλας ὕλας πολλὰς διαφόρους ὑποβεβλημένας ἔχοντες προλέγουσιν, καὶ προφῆται οὐκ εἰσίν.

XII. Εἰ δὲ βουληθείη τις λέγειν, τὴν διὰ τῶν τοιούτων προρρήσεων [2] τῇ ὄντως ἐμφύτῳ προγνώσει ὁμοίαν εἶναι, πολὺ ἠπάτηται. τὰ γὰρ τοιαῦτα παρόντα μηνύει μόνον, καὶ ταῦτα εἰ ἀληθεύει· ἄλλως δέ μοι καὶ αὐτὰ εὐχρηστεῖ, πρόγνωσιν γὰρ εἶναι συνίστησιν· ἡ δὲ τοῦ μόνου καὶ ἀληθοῦς πρόγνωσις οὐ μόνον τὰ παρόντα ἐπίσταται [3], ἀλλὰ καὶ μέχρις αὐτοῦ μέλλοντος αἰῶνος ἀπέραντον ἐκτείνει τὴν προφητείαν, καὶ οὐδενὸς δεῖται πρὸς ἐπίγνωσιν, μὴ [4] προφητεύων ἀμαυρὰ καὶ ἀμφίβολα, ἵνα ἄλλου προφήτου χρείαν ἔχῃ τὰ λεγόμενα πρὸς ἐπίγνωσιν, ἀλλὰ ῥητὰ [5] καὶ ἁπλᾶ,

bationes dare. Omnia quippe Scripturae dicunt: ne ullus eorum, qui ingrate quaerunt, inveniat veritatem, sed inveniat quod cupit; veritate gratis hominibus reservata. Gratitudo autem est, servare caritatem erga eum qui existendi nobis auctor fuit.

XI. Unde ante omnia scire oportet, non aliunde inveniri veritatem, quam a veritatis propheta. Propheta autem verus is est, qui omnia omnino, atque etiam cunctorum cogitationes novit, estque impeccabilis, ut qui de Dei judicio sit certissimus. Quocirca nos debemus de ejus praescientia non simpliciter judicare, sed si absque alia causa consistere potest praescientia ipsius. Quaedam enim praedicunt medici, quia subjectam materiam habent aegrotantis pulsum; item alii aves, alii victimas, alii alias multas et varias materias subjectas dum habent, praedicunt, nec sunt prophetae.

XII. Quod si quis dicere voluerit, praescientiam per has praedictiones similem esse praescientiae verae et nativae, multum fallitur. Illae enim praesentia tantum indicant, idque si veraces fuerint. (Quin et mihi eae prosunt: demonstrant enim esse praescientiam.) At illius, qui solus et verus est, praescientia non solum praesentia cognoscit, sed et ad futurum usque saeculum infinitam extendit prophetiam. nec ullo indiget ut intelligatur, nec obscura et dubia praedicit, ita ut verba alium prophetam exigant interpretem, sed clara

1. τὴν C.
2. D legi vult πρόρρησιν. Recte.
3. ἐπίστηται O.
4. Ita D, καὶ C O.
5. ῥήτα D, ἄρρητα C O. Sic infra c. 26: ῥητὰ προφητεύει, σαφῆ λέγει.

www.libtool.com.cn

ὥσπερ ὁ διδάσκαλος ἡμῶν καὶ προφήτης ὢν ἐμφύτῳ καὶ ἀεννάῳ πνεύματι πάντα πάντοτε ἠπίστατο.

XIII. Διὸ τεθαρρηκότως ἐξετίθετο περὶ τῶν μελλόντων ἔσεσθαι, λέγω δὲ πάθη, τόπους, ὄρους. προφήτης γὰρ ὢν ἄπταιστος, ἀπείρῳ ψυχῆς[1] ὀφθαλμῷ πάντα κατοπτεύων ἐπίσταται λανθάνων. εἰ δὲ παραδεξόμεθα[2] ἡμεῖς, ὡς οἱ πολλοί, ὅτι καὶ ὁ ἀληθὴς προφήτης οὐ πάντοτε, ἀλλ' ἐνίοτε, ὅτε ἔχει τὸ πνεῦμα, καὶ διὰ τοῦτο προγινώσκει, ὁπότε δὲ οὐκ ἔχει, ἀγνοεῖ, — ἐὰν οὕτως ὑπολάβωμεν, καὶ ἑαυτοὺς ἀπατῶμεν καὶ ἄλλους ἐνεδρεύσομεν. τὸ γὰρ τοιοῦτον μανικῶς ἐνθουσιώντων[3] ἐστὶν ὑπὸ πνεύματος[4] ἀταξίας, τῶν παρὰ βωμοῖς μεθυόντων καὶ κνίσσης ἐμφορουμένων.

XIV. Τινὶ γὰρ προφητείαν ἐπαγγέλλεσθαι θέλοντι ἐὰν συγχωρηθῇ πιστεύεσθαι ἐν οἷς ψεύστης φωρᾶται, ὅτι τότε τὸ τῆς προγνώσεως ἅγιον οὐκ εἶχεν πνεῦμα, οὐκ εὐέλεγκτος ἔσται ψεύστης ὑπάρχων προφήτης· ἐν οἷς γὰρ ὡς πολλὰ λέγων ὀλίγα ἐπιτυγχάνει, τότε τὸ πνεῦμα ἔχειν πιστεύεται, ὅτι τε[5] τὰ πρῶτα ἔσχατα λέγει, καὶ τὰ ἔσχατα πρῶτα, τὰ γενόμενα ὡς ἐσόμενα, τὰ ἐσόμενα ὡς ἤδη γεγονότα, ἀλλὰ καὶ ἀνακόλουθα, ἢ[6] καὶ ἐξ ἄλλων ὑφῃρημένα καὶ μεταμεμορφωμένα, ἃ δὲ μεμειωμένα, ἀνείδεα, ἀνόητα, ἀμφίβολα, ἄδοξα, ἄδηλα, πάσης κεκραγότα δυσσυνειδησίας.

profert et simplicia. Quemadmodum doctor noster, cum esset propheta, innato ac perpetuo spiritu omnia omnino noverat.

XIII. Ideo fidenter futura exposuit, casus dico, loca, terminos. Nam cum sit inculpatus propheta, immenso animae oculo omnia occulta spectat et novit. Si vero et nos, ut multi, admittamus, verum quoque prophetam non semper, sed interdum, quando habet spiritum, tunc ideo praescire, cum autem non habet, ignorare: si ita existimemus, et decipiemus nos et aliis insidiabimur. Nam id ad eos pertinet, qui a spiritu inordinato furiose concitantur et ad aras bacchantur atque ingurgitantur nidore.

XIV. Etenim prophetiam ostentare volenti si concedatur, ut cum mendax deprehensus fuerit, tunc credatur spiritu prophetiae sancto caruisse, non facile arguetur falsus esse propheta. Nam in paucis iis, in quibus, utpote multa loquens, veritatem attigerit, credetur spiritum possidere; etsi prima ultima dicat, et ultima prima, praeterita ut futura, futura ut praeterita, item consequentiam non habentia, vel ex aliis compilata et transformata, nec non quaedam imminuta, informia, stulta, dubia, inopinata, obscura, totam clamantia conscientiae pravitatem.

1. ψυχῆ (sic) O. Tum λανθάνοντα conj. C, ac ita vertit.

2. παραδεξώμεθα C.

3. Ita O c. S, ἐνθουσιούντων C. —

4. Scribendum crediderim πνευμάτων. Credebant veteres Deos participes fuisse Λοίβης τε, κνίσσης τε, τὸ γὰρ λάχομεν γέρας ἡμεῖς, ut ait Jupiter apud Hom. Iliad. Δ 49. Postea Philosophi malos Daemonas sanguinis et nidoris pabulo gaudere statuebant. Infra cap. 39: τὸ ἐπὶ κνίσσῃ σαρκῶν ἡσθῆναι οὐκ ἀγαθοῦ. Vid. modo Porph. de abst. II, 42. Tert. Apol. c. 22. 23. D.

5. ὅτι τε C O, ὅτε D. Proximum καὶ add. c. O.

6. ἢ om. O.

www.libtool.com.cn

XV. Ὁ δὲ ἡμέτερος διδάσκαλος οὐδέν τι τοιοῦτο ἐγοητεύσατο[1], ἀλλ', ὡς φθάσας εἶπον, προφήτης ὢν ἐμφύτῳ καὶ ἀεννάῳ πνεύματι πάντοτε ἐπιστάμενα[2] τεθαρρηκὼς ἐξετίθετο, ὡς προέλεγον[3], σαφῶς, πάθη, τόπους, ἐμπροθέσμους, τρόπους, ὅρους. αὐτίκα γοῦν περὶ τοῦ ἁγιάσματος προλέγων ἔφη[4]· ὁρᾶτε τὰς οἰκοδομὰς ταύτας; ἀμὴν ὑμῖν λέγω[5], λίθος ἐπὶ λίθον οὐ μὴ ἀφεθῇ ὧδε, ὃς οὐ μὴ καθαιρεθῇ· καὶ οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, καὶ ἡ[6] καθαίρεσις ἀρχὴν λήψεται. ἐλεύσονται γὰρ καὶ καθιοῦσιν ἐνταῦθα, καὶ περιχαρακώσουσι, καὶ τὰ τέκνα ὑμῶν ἐνταῦθα κατασφάξουσιν. ὅμως καὶ τὰ ἐξῆς εἴρηκε σαφεῖ φωνῇ, ἅτινα αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν[7] ἔχομεν· ἵνα ἐφ' ὧν ὁ λόγος ἐρρέθη, καὶ τὸ ἔργον γένηται. πρὸς γὰρ πίστιν ἀκουόντων τὸν λόγον τῆς ἀποδείξεως ὁ τῆς ἀληθείας ποιεῖται προφήτης.

XVI. Πλὴν πολλοί εἰσι τῆς πλάνης κήρυκες, ἕνα[8] τὸν τῆς κακίας ἡγεμόνα ἔχοντες· ᾧ λόγῳ ὁ[9] τῆς ἀληθείας καὶ αὐτὸς εἷς ὢν τῆς εὐσεβείας ἡγεμὼν ἐν ἰδίοις καιροῖς τοὺς πάντας καθαροὺς εὑρεθέντας ἕξει προφήτας. ἡ δὲ πολλὴ τῶν πεπλανημένων αἰτία γέγονεν αὕτη[10]· τὸ μὴ πρότερον νοῆσαι τὸν τῆς συζυγίας λόγον, ὃν ἰδίᾳ ὑμῖν ἑκάστοτε οὐ παύσομαι ἐκτιθέμενος πεφαλαιωδῶς· πολὺ γὰρ τὸ κατ' εἶδος λέγειν. ὑμεῖς οὖν τῶν λεγομένων γένεσθέ μοι φιλαληθεῖς κριταί.

XV. At praeceptor noster nihil simile prophetavit, sed, ut supra retuli, propheta qui erat, innato ac perpetuo spiritu omnia penitus cognita fidenter exposuit et evidenter praedixit, casus, loca, praestituta tempora, modos, terminos. Sic igitur de templo praedixit: *videtis has aedificationes? Amen dico vobis, lapis super lapidem non relinquetur hic, qui non destruatur: et non praeteribit generatio haec, quin destructio initium sumat. Venient enim et sedebunt hic et vallo circumdabunt et filios vestros jugulabunt hic.* Pariter clara voce sequentia pronunciavit, quae ipsis oculis videmus: ut in quibus sermo dictus fuit, et res eveniret. Nam veritatis propheta ob auditorum fidem sermonem demonstrationis facit.

XVI. Verumtamen multi sunt erroris praecones, unum habentes malitiae ducem: qua ratione qui unus veritatis juxta ac pietatis dux est, propriis temporibus omnes puros inventos habebit prophetas. Praecipua vero erroris multorum causa haec est, quod non prius conjugationis doctrinam intellexerunt, quam vobis seorsum non cessabo frequenter et summatim exponere. Longum enim est singula dicere. Vos igitur dicendorum mihi estote veritatis amantes judices.

1. προεφητεύσατο C.
2. ἐπιστάμενος C. Deinde ὢν p. ὡς O.
3. Ita D, προέλεγεν C. O.
4. Matth. 24, 2. 34., Luc. 19, 43.
5. λέγω om. O.
6. Inserui ἡ c. O.
7. ἰδεῖν O c. S, εἶδειν C.
8. Ita O c. D, ἵνα C. Cfr. Hom. VII, 3.
9. ὁ depromsi ex O. Ibidem εἷς ὢν καὶ αὐτὸς C.
10. αὕτη S O, αὐτή C.

XVII. Τοῦ δὲ λέγειν ἄρξομαι ἤδη. Θεοῦ τοῦ τὰ πάντα πεποιηκότος τὸ μέγα καὶ ἅγιον τῆς προγνώσεως αὐτοῦ πνεῦμα εἰ μὴ τῷ ὑπὸ χειρῶν αὐτοῦ κυοφορηθέντι ἀνθρώπῳ δῴη τις ἐσχηκέναι, πῶς ἔτι ἑτέρῳ τῳ[1] ἐκ μυσαρᾶς σταγόνος γεννηθέντι ὁ ἀπονέμων οὐ τὰ μέγιστα ἁμαρτάνει; καὶ οὐκ οἶμαι αὐτὸν συγγνώμης τυγχάνειν[2], κἂν ὑπὸ νόθου γραφῆς κατὰ τοῦ πάντων πατρὸς δεινὰ νοεῖν ἀπατηθείη· ὁ γὰρ εἰκόνα, καὶ ταῦτα αἰωνίου βασιλέως, ὑβρίσας, τὴν ἁμαρτίαν εἰς ἐκεῖνον ἀναφερομένην ἔχει, οὗπερ καθ' ὁμοίωσιν ἡ εἰκὼν ἐτύγχανεν οὖσα. ἀλλά, φησίν, ἁμαρτήσαντα κατέλειπε τὸ θεῖον πνεῦμα. οὐκοῦν συνήμαρτεν· καὶ πῶς ὁ τοῦτο λέγων οὐ κινδυνεύει; ἀλλὰ μετὰ τὸ ἁμαρτῆσαι εἰλήφει τὸ πνεῦμα. ἀδίκοις ἄρα δέδοται· καὶ ποῦ τὸ δίκαιον; ἀλλὰ δικαίοις καὶ ἀδίκοις ἐπιχορηγεῖται. τοῦτο πάντων ἀδικώτατον. οὕτως πᾶν ψεῦσμα, κἂν μυρίαις ἐπινοίαις βοηθῆται, τὸν ἔλεγχον κἂν ἐν μακρῷ χρόνῳ λαβεῖν ἔχῃ[3].

XVIII. Μὴ ἀπατᾶσθε. ὁ πατὴρ ἡμῶν οὐδὲν ἠγνόει. ὁπότε καὶ ὁ δημοσίᾳ κείμενος νόμος, ἀγνοίας[4] ἐγκλήματι διὰ τοὺς ἀναξίους σκέπων αὐτόν, τοὺς[5] ἀληθείας γλιχομένους ἐπ' αὐτὸν ἀναπέμπει λέγων[6]· ἐξέτασον τὸν πατέρα σου καὶ ἐρεῖσοι, τοὺς πρεσβυτέρους σου, καὶ ἀναγγελοῦσί[7] σοι. τοῦτον ἐχρῆν τὸν πατέρα ζητῆσαι, τούτους τοὺς πρεσβυτέρους ἐπιζητῆσαι[8]. ἀλλ' οὐκ ἐζήτησας, τίνος ἐστὶν ὁ τῆς βασιλείας χρόνος, τίνος ἡ

XVII. Jam vero dicère incipiam. Si quis homini, a Dei omnium auctoris manibus formato, non concesserit, magnum et sanctum praescientiae illius spiritus possidere, quo modo, si alteri ex impura stirpe nato id tribuerit, non plurimum aberrabit? Nec illi puto veniam dandam, licet ab adulterina Scriptura in fraudem inductus sit, ut adversus omnium patrem dura cogitaret. Qui enim imaginem, eamque aeterni regis, affecerit injuria, peccato se implicabit, in eum referendo, ad cujus similitudinem imago illa facta est. Sed, inquit, post peccatum reliquit illum divinus spiritus. Igitur cum illo peccavit: et quo pacto, qui hoc dicit, non periclitatur? Sed postquam peccavit, accepit spiritum. Injustis ergo traditur: et ubi justitia? Sed justis ac injustis suppeditatur. Id omnium injustissimum est. Sic quodlibet mendacium, mille licet adjuvetur excogitationibus, confutationem demum sortietur.

XVIII. Ne decipiamini. Parens noster nihil ignoravit. Quandoquidem et publice posita lex, quae illum ignorantiae culpa ob indignos onerat, propter veritatis cupidos ad eumdem remittit, dicens: *interroga patrem tuum et dicet tibi, seniores tuos et annunciabunt tibi.* Hunc oportebat patrem, hos seniores quaerere. Sed non quaesiisti, cujusnam sit tempus regni, cujusnam prophetiae

1. Ita S. Cfr. Hom. III, 20. τῷ C O.
2. τυγχάνῃ O pr. man.
3. Lege ἔχει S.
4. Ita O et ex conject. C, cuj. textus ἀγνοία. Cfr. Hom. II, 48 et 38.
5. τῆς O.
6. Deut. 32, 7.
7. ἐροῦσι O.
8. Vocabula τούτους τοὺς πρεσβυτέρους ἐπιζητῆσαι recepi ex O. Matth. 23, 2.

www.libtool.com.cn

τῆς προφητείας καθέδρα, καίτοι αὐτοῦ ἑαυτὸν μηνύοντος τῷ λέγειν· ἐπὶ τῆς καθέδρας Μωυσέως ἐκάθησαν [1] οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα οὖν ὅσα λέγωσιν ὑμῖν, ἀκούετε αὐτῶν. αὐτῶν δέ, εἶπεν, ὡς τὴν κλεῖδα τῆς βασιλείας πεπιστευμένων, ἥτις ἐστὶ γνῶσις, ἣ μόνη τὴν πύλην τῆς ζωῆς ἀνοῖξαι δύναται, δι' ἧς μόνης εἰς τὴν αἰωνίαν ζωὴν εἰσελθεῖν ἔστιν. ἀλλὰ ναί, φησίν, κρατοῦσι μὲν [2] τῆν κλεῖν, τοῖς δὲ βουλομένοις εἰσελθεῖν οὐ παρέχουσιν.

XIX. Διὰ τοῦτο, φημί, αὐτὸς τῆς καθέδρας ἐγερθείς [3], ὡς πατὴρ ὑπὲρ τέκνων, τὰ ἀπ' [4] αἰῶνος ἐν κρυπτῷ ἀξίοις παραδιδόμενα κηρύσσων, μέχρις αὐτῶν ἐθνῶν τὸν ἔλεον ἐκτείνων καὶ ψυχὰς πάντων ἐλεῶν, ἰδίου αἵματος ἠμέλει. μέλλοντος γὰρ αἰῶνος βασιλεὺς εἶναι κατηξιωμένος πρὸς τὸν νῦν ἐμπρόθεσμος [5] παρειληφότα νόμῳ τὴν βασιλείαν. καὶ τὸ μέγιστον ὅπερ αὐτὸν λίαν ἐλύπει ἐστὶ τοῦτο, ὅτι ὑπὲρ ὧν ὡς τέκνων τὴν μάχην ἐποιεῖτο, ὑπ' αὐτῶν ἀγνοίας αἰτίᾳ ἐπολεμεῖτο. καὶ ὅμως ἠγάπα καὶ τοὺς μισοῦντας, καὶ ἔκλαιε [6] τοὺς ἀπειθοῦντας, καὶ εὐλόγει τοὺς λοιδοροῦντας, ηὔχετο ὑπὲρ ἐχθραινόντων. καὶ οὐ μόνον ταῦτα ἐποίει ὡς πατήρ, ἀλλὰ καὶ τοὺς αὐτοῦ μαθητάς [7], ὡς πρὸς ἀδελφοὺς ἔχοντας, τὰ ὅμοια ποιεῖν ἐδίδασκεν [8].

cathedra. Quamvis ipse seipsum significet dicendo: *super cathedram Moysis sederunt Scribae et Pharisaei: omnia igitur, quaecumque dixerint vobis, audite illos. Illos* autem dixit, velut eos, quibus credita erat clavis regni, hoc est, cognitio, quae sola potest aperire vitae portam, per quam solam in vitam aeternam datur ingredi. Sed ait: sane clavem quidem possident, at intrare volentibus non praebent.

XIX. Propter hoc, inquam, ipse e cathedra surgens, velut pater pro filiis, quae a saeculo in occulto dignis sunt tradita praedicans, misericordiam usque ad ipsas gentes extendens, misertusque omnium animarum, proprium sanguinem neglexit. Futuri quippe saeculi rex esse consecutus circa hoc sacculum, quod lege accepit regnum, accuratus est in promissis. Quodque eum maxime contristat, hoc est, quoniam ab iis per ignorantiam oppugnatur, propter quos tamquam filios bellum suscepit. Verumtamen etiam osores dilexit, flevit incredulos, benedixit conviciantibus, et oravit pro inimicis. Neque solum ista ut pater fecit, sed et discipulos suos, adfectos ut erga fratres, similia facere

1. ἐκάθισαν O, ex quo adjunxi οὖν.
2. Ita O c. marg. Ci, in cuj. textu κρατοῦμεν. Cfr. Luc. 11, 52. Matth. 23, 13. Credner, Beitr. I, 317.
3. Explanavit hunc locum et a Schliemanno vindicavit Baurius Annal. Theol. Tubing. 1844, p. 555 S.
4. ἀπὸ O.
5. Legendum, si quid video, ἐμπροθέσμως. At deest aliquid. Ὁ νῦν ἐμπροθέσμως παρειληφὼς νόμῳ τὴν βασιλείαν est diabolus cf. Hom. XV, 7. — Etiam Neander, ut postea cognovi, hunc locum sic explicat, gnost. Syst. p. 411. Post βασιλείαν excidisse putat τὴν μάχην ἐποιεῖτο, quod idem in versu insequenti legitur. S. ἐμπροθέσμῳ O.
6. ἐκλαίει C.
7. τοῖς αὐτοῦ μαθηταῖς O.
8. Matth. 5, 23.

www.libtool.com.cn

τοῦτο πατὴρ, τοῦτο προφήτης, τοῦτο εὔλογον τὸ αὐτὸν ἰδίων τέκνων βασιλεῦσαι· ἵνα τῇ ἐκ πατρὸς πρὸς τέκνα στοργῇ καὶ τῶν τέκνων πρὸς τὸν πατέρα ἐνδιαθέτῳ τιμῇ αἰώνιος[1] εἰρήνη γενέσθαι δυνηθῇ. τοῦ γὰρ εὐλόγου βασιλεύοντος, ἐπὶ τοὺς βασιλευομένους ἀληθὴς χαρὰ περὶ τοῦ βασιλεύοντος γίνεται.

XX. Πλὴν ἐπὶ τὸν πρῶτον τῆς ἀληθείας ἐπάνειμι[2] λόγον. ἐὰν τῷ ὑπὸ χειρῶν Θεοῦ κυοφορηθέντι ἀνθρώπῳ τὸ ἅγιον Χριστοῦ μὴ δῷ τις ἔχειν πνεῦμα, πῶς ἑτέρῳ τινὶ ἐκ μυσαρᾶς σταγόνος γεγενημένῳ διδοὺς ἔχειν οὐ τὰ μέγιστα ἀσεβεῖ; τὰ δὲ μέγιστα εὐσεβεῖ[3], ἐὰν ἑτέρῳ μὲν μὴ δῷη[4] ἔχειν, ἐκεῖνον δὲ μόνον ἔχειν λέγοι, ὃς ἀπ' ἀρχῆς αἰῶνος ἅμα τοῖς ὀνόμασι μορφὰς ἀλλάσσων τὸν αἰῶνα τρέχει, μέχρις ὅτε ἰδίων χρόνων τυχών, διὰ τοὺς καμάτους Θεοῦ ἐλέει χρισθείς, εἰς ἀεὶ[5] ἕξει τὴν ἀνάπαυσιν. οὗτος ἄρχειν τε καὶ κυριεύειν πάντων τῶν ἐν ἀέρι καὶ γῇ καὶ[6] ὕδασι τετίμηται· πρὸς τούτοις δὲ αὐτοῦ τοῦ[7] πεποιηκότος τὸν ἄνθρωπον τὴν πνοὴν ἔσχεν, ψυχῆς ἄρρηκτον περιβολήν, ὅπως ἀθάνατος εἶναι δυνηθῇ.

XXI. Οὗτος αὐτὸς μόνος ἀληθὴς ὑπάρξας προφήτης ἑκάστῳ ζῴῳ κατ' ἀξίαν τῆς φύσεως, καθὼς ὁ πεποιηκὼς αὐτόν[8], οἰκείως τέθεικε τὰ ὀνόματα. εἴ τι γὰρ ἐπωνόμασεν, τοῦτο ἦν καὶ ἐκ τοῦ πεποιηκότος ὄνομα τῷ γεγε-

docuit. Hoc pater, hoc propheta; hoc rationi est consentaneum, illum suis filiis imperare, ut per patris erga filios amorem, perque insitum honorem filiorum erga patrem, oriri possit aeterna pax. Cum enim bonus imperat, apud subjectos verum gaudium ob imperatorem nascitur.

XX. Verum ad primum veritatis sermonem redeo. Si illi homini, qui Dei manibus productus fuit, nolit quis concedere ut sanctum Christi spiritum habuerit, quo pacto, si alteri ex impura stripe nato eumdem concesserit habere, non plurimum impius est? Maxime vero pius fuerit, si alteri quidem eum spiritum non tribuerit, sed ei soli assignarit, qui ab initio saeculi, formas una cum nominibus mutans, percurrit saeculum, donec nactus sua tempora, propter labores Dei misericordia unctus, requiem in aeternum possideat. Hic honore donatus est imperandi et dominandi omnibus, quae versantur in aëre, terra et aquis: ad haec ipsius a quo homo factus est flatum habuit, animae infragile vestimentum, quo immortalis esse posset.

XXI. Idem, qui solus verus propheta est, unicuique animali apte ad naturam, sicut ejus creator, propria imposuit nomina. Quod enim nominavit, hoc

1. *αἰωνία* C.
2. *ἐπόρα μοι* C, *ἐφόρα μοι* S.
3. *εὐσεβῇ* C et S, licet nostram lectionem commendet.
4. *δῷ* O. Dein *ἀπ' ἀρχῆς* S O, *ἀπαρχῆς* C.
5. *εἰσαεὶ* C.
6. *καὶ* c. O, deest in Cod. Hom. Paris. teste C.
7. *τοῦ* adjunxi c. O. Idem deinceps palmariam largitus est lect. *ἄρρηκτον* p. *ἄρρητον* Vulg.
8. Ita C O, *αὐτὸ* legendum censet S.

www.libtool.com.cn

*νημένῳ. διὸ πῶς ἔτι φυτοῦ χρείαν εἶχε προσλαβεῖν, ἵνα τί ποτέ*[1] *ἐστιν ἴδῃ καλὸν ἢ κακόν, εἰ ἐνετέλλετο μὴ φαγεῖν; ἀλλὰ ταῦτα πιστεύουσιν οἱ ἄπριτοι, οἱ ἄλογον θηρίον Θεοῦ τοῦ*[2] *κτίσαντος αὐτούς τε καὶ τὰ πάντα ἐνεργητικώτερον*[3] *γεγενῆσθαι οἰηθέντες.*

XXII. *Πλὴν τούτῳ*[4] *σύζυγος συνεκτίσθη θήλεια φύσις, πολὺ ἀποδέουσα*[5] *αὐτοῦ, ὡς οὐσία μετουσίας*[5]*, ὡς ἡλίου σελήνη, ὡς φωτὸς τὸ πῦρ. αὕτη τοῦ νῦν κόσμου ὡς θήλεια ὁμοίου ἄρχουσα πρώτη προφῆτις εἶναι πεπίστευται, μετὰ πάντων τῶν ἐν γεννητοῖς γυναικῶν προφητείαν ἐπαγγελλομένη. ὁ δὲ ἕτερος, ὡς υἱὸς ἀνθρώπου ἄρσην ὤν, καὶ τὰ διαφέροντα ὡς ἄρσενι τῷ μέλλοντι αἰῶνι προφητεύει*[6]*.*

XXIII. *Δύο οὖν ἡμῖν γενικαὶ ἔστωσαν προφητεῖαι· ἡ μὲν ἀρσενική*[7]*· καὶ διωρίσθω, ὅτι ἡ μὲν πρώτη ἄρσην οὖσα δευτέρα τοῦ λοιποῦ τέτακται κατὰ τὸν τῆς προόδου λόγον, ἡ δὲ δευτέρα θῆλυς οὖσα πρώτη ὡρίσθη ἔρχεσθαι ἐν τῇ τῶν συζυγιῶν προελεύσει. ἡ μὲν οὖν ἐν γεννητοῖς γυναικῶν οὖσα, ὡς θήλεια τοῦ νῦν κόσμου*[8] *ἐπαγγελλομένη*[9]*, ἀρσενικὴ εἶναι πιστεύεσθαι θέλει. διὸ κλέπτουσα τὰ τοῦ ἄρσενος σπέρματα, καὶ τοῖς ἰδίοις τῆς σαρκὸς σπέρμασιν ἐπισκέπουσα*[10]*, ὡς ὅλα ἴδια συνεκφέρει τὰ γεννήματα,*

et erat nomen rei creatae ex creatore. Itaque quo modo adhuc necesse habuit arborem attingere, ut sciret quidnam sit bonum vel malum, si mandatum accepit non edendi? Verum haec credunt qui judicio carent, qui arbitrantur brutum animal potentius fuisse Deo, ipsorum omniumque conditore.

XXII. Caeterum cum eo conjux creata est natura feminea, multum eo deterior; distans ab eo, tamquam substantia ab accidenti, tamquam a solo luna, tamquam a luce ignis. Illa huic mundo velut femina simili imperans, prima prophetissa esse meruit, et cum omnibus qui inter natos mulierum sunt prophetiam annunciat. Alter vero, quasi filius hominis, mas est, et futuro saeculo velut masculo egregia prophetat.

XXIII. Duae igitur nobis sint generales prophetiae: altera quidem mascula: et certum sit, quod prima mascula est, et ut secunda deinceps ratione progressus collocatur, secunda vero, quae est femina, prima in conjugationum adventu venire definita est. Ea ergo, cum inter natos mulierum sit, ut femina praesenti mundo annunciatrix, mascula esse credi vult. Quare semina masculi subpilans, suisque carnis seminibus obtegens tamquam omnia sua comproducit

1. *ποτ'* O. Lectionem *κακόν, εἰ ἐνετέλλετο μὴ φαγεῖν*: erui ex notula marginali Cod. O, in cuj. textu legitur, uti ap. C: *κακόν; ἐνετέλλετο;* Ultimum interrogandi signum in punctum mutavit S.

2. *τοῦ* praetermisit S.

3. *ἐνεργετικώτερον* O.

4. Quod S annotat, C edidisse *τοῦτο*, intellige de Cl.

5. Sensus efflagitat, ut voluit D: *ὡς οὐσίας μετουσία.*

6. Ita O, ut jam recte viderunt D et Neander, *πρωτεύει* C.

7. *ἀρρενική* C.

8. *τῷ νῦν κόσμῳ* D.

9. *ἐπαγγελλομένου* O. Subinde *ἀρρενική* C.

10. *ἐπισκέπτουσα* O.

τοῦτ' ἔστι τὰ χρήματα[1]. καὶ τὸν παρόντα ἐπίγειον πλοῦτον ὡς προῖκα δώσειν ἐπαγγέλλεται, τῷ ταχεῖ τὸ βραδύ[2], τὸ βραχὺ τῷ μείζονι ὑπαλλάξαι θέλουσα.

XXIV. Πολλοὺς μέντοι θεοὺς λέγειν καὶ ἀκούειν οὐ μόνον τολμῶσα, ἀλλὰ καὶ αὐτὴ γενέσθαι πιστεύουσα, καὶ ἐλπίδι τοῦ γενέσθαι, ὃ μὴ ἔχει φύσιν, καὶ ὃ ἔχει προσαπολλύουσα, καὶ ὡς θήλεια ἐμιηνίοις[3] γινομένη προφάσει θυσιῶν αἱμάσσεται, καὶ οὕτως τοὺς ψαύοντας αὐτῆς μολύνει. ἐπὰν δὲ συλλαβοῦσα τοὺς προσκαίρους τίκτῃ[4] βασιλεῖς, τοὺς αἷμα πολὺ χέοντας ἐγείρει πολέμους. τοὺς δὲ παρ' αὐτῆς μαθεῖν[5] ἀλήθειαν ὀρεγομένους τῷ τὰ πάντα λέγειν ἐναντία καὶ πολλὰς καὶ διαφόρους παρέχειν ὑπουργίας ζητοῦντας ἀεὶ[6] καὶ μηδὲν εὑρίσκοντας μέχρις αὐτοῦ θανάτου καθίστησιν. ἀπ' ἀρχῆς γὰρ ἀνθρώποις τυφλοῖς θανάτου κεῖται πρόφασις· πλάνα γὰρ καὶ ἀμφίβολα καὶ λοξὰ προφητεύουσα τοὺς πιστεύοντας ἀπατᾷ.

XXV. Διὸ[7] τῷ πρωτοτόκῳ αὐτῆς ἀμφοτερίζον ἐπέθηκεν ὁ νόμος ὄνομα[8], καλέσασα Καΐν· ὃ διχῇ ἔχει τῆς ἑρμηνείας τὴν ἐκδοχήν. ἑρμηνεύεται γὰρ καὶ κτῆσις[9] καὶ ζῆλος, ὡς ζηλοῦν αὐτοῦ μέλλοντος ἐν τοῖς ἐσομένοις ἢ γυναῖκα ἢ κτήματα ἢ τὴν τῶν γονέων πρὸς αὐτὴν[10] στοργήν. εἰ δὲ ἄρα

germina, hoc est, opes: et terrestres has divitias quasi dotem daturam se pollicetur, et tardum cum veloci, parvum cum magno vult commutare.

XXIV. Et vero multos Deos non solum dicere et audire sustinuit, sed et ipsa talem se futuram credidit: atque spe evadendi, quod natura non poterat, etiam quod habebat perdidit. Et quasi femina in menstruis sacrificiorum occasione cruentatur, sicque tangentes eam inquinat. Cum autem concepit, ac temporales reges genuit, bella suscitat quae multum sanguinis fundunt. Porro cupidos discendae ab ea veritatis, quod contraria omnia dicit, et multa et varia praebet ministeria, quaerere semper nihilque invenire usque ad mortem facit. Ab initio enim caecis hominibus posita est mortis occasio. Falsa siquidem et dubia et obliqua praedicit, sicque credentes decipit.

XXV. Quocirca primogenito suo lex ambiguum imposuit nomen, et Cainum vocavit. Quod nomen duplici interpretationis sensu accipitur. Exponitur enim et possessio et aemulatio, quod in futuris aemulaturus esset vel mulierem, vel possessiones, vel amorem parentum erga illam. Quod si nullum eo-

1. ῥήματα C.
2. τὸ βραδύ, quod deest in Cod. Paris. et O., addidit S auctore D.C voluerat: τῷ ταχεῖ τὸ βραδύ, τῷ μείζονι τὸ ἧττον ὑπαλλ. κτλ.
3. ἐν μηνίοις C.
4. Ita O c. S, τίκτει C.
5. Ita et O in textu, μαθῇ in marg. Cum eodem omisi Ci τὰ ante ἐναντία. Articulum delendum esse jam notavit S.
6. αἰεὶ C.
7. Δι' ὃ C.
8. Dedi ἐπέθηκεν ὁ νόμος ὄνομα logices ratione inductus, ἐπέθηκεν ὄνομα C, ἐπέθηκεν ὁ νόμος O.
9. Ita O et ex conject. C, cuj. Cod. κτίσις. Cfr. Gen. 4, 1.
10. αὐτὸν O. — Facile erat corrigere Ἀβέλ. Sed nos in istis Apocryphis aegre quidquam mutamus. Quis enim scit, an non alludatur ad aliquam fabulam de uxore Abelis, aut alia muliere? C.

www.libtool.com.cn

μηδὲν τούτων γένηται, καὶ οὕτως τὸ κτῆμα λέγεσθαι καλῶς ἐπιτέτευκται. αὐτὸν γὰρ πρῶτον ἐκτήσατο, ὅπερ αὐτῇ[1] καὶ ἐχρησίμευσεν. φονεὺς γὰρ ἦν καὶ ψεύστης καὶ μετὰ ἁμαρτιῶν ἡσυχάζειν μηδὲ ἐπὶ τῷ ἄρχειν θέλων. ἔτι μὴν καὶ οἱ ἀπὸ τῆς τούτου διαδοχῆς προελθόντες πρῶτοι μοιχοὶ ἐγένοντο· καὶ ψαλτήρια καὶ κιθάρας ἡρμόσαντο[2], καὶ χαλκεῖς ὅπλων πολεμικῶν ἐγένοντο. διὸ καὶ ἡ τῶν ἐγγόνων προφητεία, μοιχῶν καὶ ψαλτηρίων γέμουσα, λανθανόντως διὰ τῶν ἡδυπαθειῶν ὡς τοὺς πολέμους ἐγείρει.

XXVI. Ὁ δὲ ἐν υἱοῖς ἀνθρώπων προφητείαν ἔμφυτον ψυχῆς ἰδίαν ἔχων, ῥητῶς ὡς ἄρσην[3] τοῦ μέλλοντος αἰῶνος τὰς ἐλπίδας μηνύων, τὸν αὐτοῦ υἱὸν προσηγόρευσεν Ἀβέλ, ὃ ἄνευ πάσης ἀμφιβολίας πένθος ἑρμηνεύεται. πενθεῖν γὰρ τοῖς αὐτοῦ υἱοῖς παρέχει τοὺς ἐξαπατωμένους ἀδελφοὺς αὐτῶν. ἀψευστεῖ[4] αὐτοῖς ἐν τῷ μέλλοντι αἰῶνι τὴν παράκλησιν ὑπισχνούμενος[5]. Θεὸν ἕνα μόνον αἰτεῖν λέγει· θεοὺς οὔτε αὐτὸς[6] λέγει, οὔτε ἄλλῳ λέγοντι πιστεύει. καλὸν ὃ ἔχει τηρεῖ καὶ ἐπὶ πλείονα αὔξει. θυσίας, αἵματα, σπονδὰς μισεῖ· ἁγνούς, καθαρούς, ὁσίους ἀγαπᾷ. πῦρ βωμῶν σβέννυσιν, πολέμους καταργεῖ, εἰρήνην[7] διδάσκει, σωφροσύνην ἐντέλλεται, τὰς ἁμαρτίας καθαίρει, γάμον νομιτεύει, ἐγκράτειαν συγχωρεῖ, εἰς ἁγνείαν πάντας ἄγει, ἐλεημονικοὺς ποιεῖ, δικαιοσύνην νομιτεύει, τοὺς

rum sit, etiam sic recte possessionis nomen sortitus est. Nam eum primum possedit, quod et ipsi commodum fuit. Fuit autem homicida et mendax et cum peccatis quiescere neque a principatu voluit. Sed et qui ex illius successione progressi sunt, primi adulteri exstitere. Et psalteria citharasque temperabant, nec non bellicorum amorum excusores facti sunt. Idcirco et posterorum prophetia, adulteris et psalteriis plena, clam per voluptates ad bella concitavit.

XXVI. Qui vero inter filios hominum insitam prophetiam animae propriam obtinebat, expresse, ut masculus, futuri saeculi spem indicans, filium suum vocabit *Abel*, quod absque ulla ambiguitate vertitur *luctus*. Filiis enim suis tribuit flere fratres suos qui decepti fuerint. Non mentitur, dum promittit illis consolationem in futuro saeculo. Ait unum solum Deum rogandum esse: Deos nec ipse dicit, neque alteri dicenti credit. Bonum quod habet servat, ampliusque auget. Sacrificia, sanguinem, libationes odit: castos, puros, sanctos diligit. Exstinguit ararum ignem, bella abolet, docet pacem, castitatem praecipit, peccata expiat, nuptias sancit, continentiam concedit, omnes ad pudicitiam adducit, miscricordes facit, justitiam decernit, eorumque perfectos con-

1. Ita O c. D, αὐτῇ C.
2. καὶ κιθάραι C, qui postea scr. δι' ὕ.
3. ἄρσιν O.
4. ἀψευστεῖν O. Qua lectione recepta scribendum esse videtur: πενθεῖν γὰρ τοῖς αὐτοῦ υἱοῖς παρέχει τοὺς ἐξαπατωμένους ἀδελφοὺς αὐτῶν, ἀψευστεῖν αὐτοῖς κτλ. Eo spectat Ci conjectura ἀψευδῆ, quam S parum intellexit.
5. Ita conj. C, idem in textu ut O: ὑπισχνουμένους. Deinceps λέγειν, θεοὺς C; λέγων, θεοὺς S. c. D.
6. αὐτοὺς O.
7. εἰρήνην in O additur ad oram.

τελείους αὐτῶν σφραγίζει, καὶ τὸν τῆς ἀναπαύσεως λόγον ἐκφαίνει, ῥητὰ προφητεύει, σαφῆ λέγει, πῦρ αἰώνιον κολάσεως πυκνῶς ὑπομιμνήσκει, βασιλείαν Θεοῦ συνεχῶς καταγγέλλει, πλοῦτον οὐράνιον μηνύει, δόξαν ἀνέφαίρετον ὑπισχνεῖται[1], τῆς ἁμαρτίας τὴν ἄφεσιν ἔργῳ δείκνυσιν.

XXVII. Καὶ τί δεῖ λέγειν; ὁ ἄρσην[2] ὅλως ἀλήθεια, ἡ θήλεια ὅλη πλάνη, ὁ δὲ ἐξ ἄρσενος καὶ θηλείας γεγονὼς ἃ μὲν ψεύδεται, ἃ δὲ ἀληθεύει. ἡ γὰρ θήλεια ἰδίῳ αἵματι ὥσπερ ἐρυθρῷ πυρὶ περιβάλλουσα τὸ τοῦ ἄρσενος λευκὸν σπέρμα, ἀλλοτρίοις ἐρείσμασιν ὀστέων τὸ ἀσθενὲς αὐτῆς συνίστησιν, καὶ τῷ τῆς σαρκὸς προσκαίρῳ ἄνθει τέρπουσα, καὶ βραχείαις ἡδοναῖς τοῦ λογισμοῦ τὴν ἰσχὺν ὑποσυλῶσα, τοὺς πλείονας εἰς μοιχείαν ἄγει, καὶ οὕτως τοῦ μέλλοντος καλοῦ στερίσκει νυμφίου. νύμφην γάρ ἐστι ὁ πᾶς[3] ἄνθρωπος, ὁπόταν τοῦ ἀληθοῦς[4] προφήτου λευκῷ λόγῳ ἀληθείας σπειρόμενος φωτίζηται τὸν νοῦν.

XXVIII. Διὸ[5] ἑνὸς μόνου τοῦ τῆς ἀληθείας προφήτου ἀκούειν δεῖ, εἰδότα ὅτι ὁ παρ' ἑτέρου σπαρεὶς λόγος, μοιχείας ἔγκλημα λαβών[6], ὡς ὑπὸ νυμφίου[7] τῆς βασιλείας αὐτοῦ ἐκβάλλεται. τοῖς δὲ τὸ μυστήριον εἰδόσιν ὑπὸ ψυχικῆς μοιχείας καὶ θάνατος γίνεται. ὁπόταν[8] ἡ ψυχὴ ὑφ' ἑτέρων σπαρῇ, τότε ὡς πορνεύσασα ἢ μοιχευσαμένη ὑπὸ τοῦ πνεύματος ἐγκα-

signat, et requietis sermonem profert, certa prophetat, clara dicit, ignem supplicii aeternum frequenter commemorat, regnum Dei assidue annunciat, coelestes divitias ostendit, gloriam perpetuam pollicetur, peccati indulgentiam opere demonstrat.

XXVII. Quid opus est verbis? Mas totus veritas est, femina tota seductio: qui autem ex masculo et femina ortus est, partim mentitur, partim vera praedicat. Femina enim, proprium sanguinem velut rubrum ignem albo masculi cingens semine, alienis fulcimentis imbecillitatem ossium suorum firmat: ac temporario carnis flore delectata brevibusque voluptatibus vim mentis depraedata plures in adulterium ducit, sicque privat praeclaro sponso, quem habituri erant. Nam quilibet homo sponsa est; quando veri prophetae candido veritatis sermone conspersus mente illuminatur.

XXVIII. Quapropter unum solum veritatis prophetam auscultare oportet, sciendumque est, quod ab alio seminatus sermo, adulterii sumpto crimine, tamquam a sponso e regno ejus ejicitur. Iis autem qui mysterium cognoverunt, per animae adulterium et mors contingit. Scilicet cum anima ab aliis semen acceperit, tunc velut fornicata aut adulterium operata deseritur a spiritu: atque

1. Ita D probante O, *ὑποσχεῖται* C. Et *ὑπόσχεται* legi posse notat Cl.
2. Non C, sed Cl *ἄρσεν*: unde S corrigendus. Tum *ὅλος* O.
3. C haec vertit, quasi legi voluerit *πᾶς ὁ*. S. Tum *ὁπότ' ἂν* Vulg.
4. *ἀληθοῦ* O.
5. *Δι' ὃ* C.
6. Ita O c. D, *λαβεῖν* C.
7. In O esse videtur *μοιχείας*.
8. *ὁπότ' ἂν* C.

www.libtool.com.cn

ταλείπεται, καὶ οὕτως τὸ ἔμψυχον σῶμα, τοῦ ζωοποιοῦ πνεύματος χωρισθέντος, εἰς[1] γῆν ἀναλύεται, καὶ τοῦ ἁμαρτήματος ἡ κατ' ἀξίαν κόλασις ἐν τῷ τῆς κρίσεως καιρῷ ἀποδίδοται τῇ ψυχῇ μετὰ τὴν τοῦ σώματος ἀνάλυσιν· ὥσπερ ἐπ' ἀνθρώπων ἡ ἐπὶ μοιχείᾳ φωραθεῖσα πρῶτον τῶν οἴκων ἐκβάλλεται, εἶθ' ὕστερον ἐπὶ καταδίκῃ κρίνεται.

XXIX. Τοῦ Πέτρου τοῦτον αὐτὸν μέλλοντος ἡμῖν τελείως ἐκφαίνειν τὸν μυστικὸν λόγον[2], Ζακχαῖος ἦκε λέγων· ἤδη λοιπόν, ὦ Πέτρε, καιρὸς πρὸς τὸ ἐκβάντα διαλεχθῆναί σε. πολὺς γὰρ ἐπὶ τῆς αὐλῆς συναθροισθεὶς ἀναμένει σε ὄχλος, οὗ ἐν μέσῳ ὡς πολέμαρχος ὑπ' αὐτοῦ δορυφορούμενος ἕστηκε Σίμων. ὁ δὲ Πέτρος ἀκούσας, εὐχῆς χάριν ὑποχωρεῖν[3] μοι κελεύσας ὡς μήπω εἰληφότι τὸ πρὸς σωτηρίαν βάπτισμα, τοῖς ἤδη τελείοις ἔφη· ἐγερθέντες εὐξώμεθα, ἵνα ὁ Θεὸς τοῖς ἀνεκλείπτοις αὐτοῦ οἰκτιρμοῖς συνεργήσῃ μοι ὁρμιῶντι πρὸς σωτηρίαν τῶν ὑπ' αὐτοῦ κτισθέντων ἀνθρώπων. καὶ ταῦτ'[4] εἰπὼν εὐξάμενος ἐξῆει εἰς τὸν ὕπαιθρον τῆς αὐλῆς τόπον μέγαν ὄντα, ἔνθα συνεληλυθότες ἦσαν πολλοὶ τοῦ ἐποπτεῦσαι χάριν, τῆς διαπρίσεως[5] αὐτοῦ ἐπὶ τὸ σπεύδειν τοῦ ἀκούειν σπουδαιοτέρους πεποιηκυίας.

XXX. Στὰς οὖν, καὶ ἰδὼν μετὰ πάσης[6] ἡσυχίας τὸν πάντα λαὸν εἰς αὐτὸν ἀτενίζοντα, Σίμωνα δὲ τὸν μάγον εἰς μέσον ἑστῶτα, τοῦ λέγειν ἤρξατο οὕτως· εἰρήνη εἴη πᾶσιν ὑμῖν τοῖς ἑτοίμως[7] ἔχουσι δεξιὰς διδόναι

ita corpus animatum, ablato vivificatore spiritu, in terram dissolvitur, et peccati condigna supplicia tempore judicii retribuuntur animae post separationem a corpore. Quemadmodum inter homines, quae in adulterio deprehensa est, primum aedibus ejicitur, ac deinde condemnatione multatur.

XXIX. Cumque Petrus hunc ipsum mysticum sermonem perfecte nobis declaraturus esset, Zacchaeus venit dixitque: jam nunc, Petre, tempus est ut exeas ad disserendum. Multa enim turba in atrio congregata operitur te, in cujus medio tamquam belli dux ab eadem protectus ac stipatus constitit Simon. Quo audito Petrus orationis gratia secedere me jussit, ut qui nondum accepissem salutis baptisma, et ad jam baptismo perfectos dixit: surgentes oremus, ut Deus pro suis perpetuis miserationibus opituletur mihi, qui prodeo ob salutem hominum quos creavit. Utque haec locutus est, oratione facta, exiit in atrii locum subdialem et magnum, quo multi convenerant spectandi causa, nam ejus disputatio fecerat, ut diligentiores festinarent ad audiendum.

XXX. Stans ergo, cernensque universum populum universo cum silentio oculos in ipsum conjicere, ac Simonem magum in medio stare, hunc in modum loqui coepit: pax sit omnibus vobis, qui parati estis dexteras dare veri-

1. τὰ εἰς O. Legerim τότε εἰς.
2. Ci τοῦτον ante λόγον omisi c. O.
3. ὑποχωρῆσαί C. Dein ὡς μήπω μοι pro ὡς μήπω O.
4. ταῦτ' C.
5. D vocem διάκρισις verti vult per „excellentiam“ vel „eminentiam“, cf. 1. Cor. IV, 7.
6. πολλῆς C.
7. ἑτοίμοις edid. Cl et S contra auctoritatem Codd.

τῇ τοῦ Θεοῦ ἀληθείᾳ, ἣν αὐτοῦ μεγάλην τε καὶ ἀσύγκριτον ἐν τῷ νῦν κόσμῳ ὑπάρχουσαν δωρεὰν ὁ ἀποστείλας ἡμᾶς, τοῦ ἐν ὑπεροχῇ συμφέροντος ἀψευδὴς ὑπάρχων προφήτης, ταύτην[1] ἡμῖν ἐνετείλατο προφάσει προσηγορίας πρὸ τῶν τῆς διδασκαλίας λόγων ὑμῖν ἐπιφθέγγεσθαι, ἵνα ἐὰν ᾖ τις ἐν ὑμῖν εἰρήνης τέκνον, διὰ τῆς διδασκαλίας ἡμῶν καταλάβῃ αὐτὸν ἡ εἰρήνη, εἰ δὲ ταύτην λαβεῖν ὑμῶν τις μὴ θέλοι, τότε ἡμεῖς ἀποτιναξάμενοι εἰς μαρτυρίαν τῶν ποδῶν ἡμῶν τὸν ἐκ τῶν ὁδῶν κονιορτόν, ὃν διὰ τοὺς καμάτους βαστάξαντες[2] ἠνέγκαμεν πρὸς ὑμᾶς ὅπως σωθῆτε, εἰς ἑτέρων ἀπίωμεν οἰκίας καὶ πόλεις.

XXXI. Καὶ ἀληθῶς ὑμῖν λέγομεν· ἀνεκτότερον ἔσται γῇ[3] Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῷ τῆς ἀπειθείας τόπῳ ἐνδιατελεῖν· πρῶτον μέν, ὅτι τὸ εὔλογον ἀφ' ἑαυτῶν οὐκ ἐνοήσατε[4]· δεύτερον, ὅτι ἀκούσαντες τὰ καθ' ἡμᾶς οὐκ ἤλθετε πρὸς ἡμᾶς· τρίτον, ὅτι καὶ ἐλθοῦσιν ἡμῖν ἠπειθήσατε. διὸ[5] φειδόμενοι ὑμῶν προῖκα εὐχόμεθα[6] τὴν εἰρήνην ἡμῶν ἐλθεῖν ἐφ' ὑμᾶς. εἰ οὖν ταύτην ἔχειν θέλετε, δεῖ ὑμᾶς προθύμως τὸ μὴ ἀδικεῖν ἀναδέξασθαι, καὶ τὸ ἀδικεῖσθαι γενναίως φέρειν, ὅπερ ἀνθρώπου φύσις οὐκ ἂν ὑποσταίη[7], ἐὰν μὴ πρότερον τοῦ ἐν ὑπεροχῇ συμφέροντος τὴν γνῶσιν λάβῃ, ὅπερ ἐστὶν τὸ εἰδέναι τοῦ πάντα ὑπερέχοντος τὴν δικαίαν φύσιν, ὅτι ἀδικουμένους ἐκδικῶν[8] τιμωρεῖ, καὶ τοὺς εὐσεβοῦντας εἰς ἀεὶ εὐεργετεῖ.

tati Dei, quam, magnum nempe ac incomparabile ejus munus in hoc mundo, ut salutationis causa vobis ante sermones doctrinae acclamemus, praecepit nobis qui misit nos verus excellentis boni propheta; quo si aliquis inter vos sit filius pacis, per doctrinam nostram pax eum complectatur, si quis autem vestrum eam accipere nolit, tunc nos, excusso in testimonium pulvere pedum nostrorum, quem collectum ex itinerum laboribus salutis vestrae ergo attulimus, ad aliorum domos ac civitates abeamus.

XXXI. Ac vere dicimus vobis: tolerabilius erit in die judicii, manere in terra Sodomorum et Gomorrhae, quam in loco incredulitatis: primo quidem, quia quod rationi convenit, ex vobis non intellexistis: secundo, quoniam cum de nobis audiissetis, non venistis ad nos: tertio, quia etiam cum venissemus, nobis non credidistis. Quare gratificantes vobis ultro oramus, ut pax nostra veniat super vos. Si ergo eam habere vultis, oportet vos alacri animo suscipere, ut injuriam non faciatis et vobis factam feratis fortiter: quod hominis natura non sustinebit, nisi prius eminentis boni acceperit notitiam, id autem est, cognoscere justam ejus qui cuncta exsuperat naturam, quod punit, ut injuria affectos ulciscatur, et pios beneficiis in sempiternum afficit.

1. Cfr. Matth. 10, 12. Marc. 6, 11. Luc. 10, 5.
2. κάμπους βαστάσαντες O.
3. τῇ O.
4. Respicit ad Hesiodi vers. Opp. et Dier. 291 seqq. Cl.
5. δι' ὃ C.
6. Ita O et S c. Epit. c. 35, εὐχώμεθα C.
7. ὑποσταίη O c. S, ὑποστείη C.
8. ἐκδικῶν O c. D, ἐδικεῖν C.

www.libtool.com.cn

XXXII. Ὑμεῖς οὖν ὡς Θεοῦ δοῦλοι εὐγνώμονες, ἀφ' ἑαυτῶν τὸ εὔλογον νοοῦντες, τὴν αὐτῷ ἀρέσκουσαν ἀναδέξασθε πολιτείαν, ἵνα οὕτως αὐτὸν φιλοῦντες καὶ φιλούμενοι ὑπ' αὐτοῦ εἰς ἀεὶ τὸ συμφέρον ἔχοιτε [1]. αὐτῷ γὰρ μόνῳ τὸ παρασχεῖν δυνατώτατόν ἐστιν, τῷ τὰ μὴ ὄντα εἰς τὸ εἶναι συστησαμένῳ, οὐρανὸν δημιουργήσαντι, γῆν πιλώσαντι, θάλασσαν περιορίσαντι, τὰ ἐν ᾅδῃ ταμιεύσαντι καὶ τὰ πάντα ἀέρος [2] πληρώσαντι.

XXXIII. Οὗτος μόνος τὴν μίαν καὶ πρώτην [3] μονοειδῆ οὐσίαν τετραχῶς καὶ ἐναντίως ἔτρεψεν· εἶτα μίξας κράσεις ἐξ αὐτῶν ἐποίησεν, ἵνα εἰς ἐναντίας [4] φύσεις τετραμμέναι καὶ μεμιγμέναι τοῦ ζῆν ἡδονὴν ἐκ τῆς ἀντισυζυγίας ἐργάσωνται. ὁμῶς [5] αὐτὸς μόνος δήμους ἀγγέλων καὶ πνευμάτων βουλῆς νεύματι δημιουργήσας, ἔπλησε τοὺς οὐρανούς· ὡς καὶ τὸ φαινόμενον στερέωμα ἄστροις ἐκόσμησεν, οἷς καὶ τρίβους ὥρισε καὶ δρόμιον ἔταξεν· γῆν ἐπίλωσεν εἰς καρπῶν αὔξησιν· θάλασσαν δὲ περιώρισεν, ἐν ἀνύδροις [6] οἴκησιν ἀφορίσας· τὰ ἐν ᾅδῃ ταμιεύει, ψυχῶν χῶρον ὀνομάσας· τὰ δὲ πάντα ἔπλησεν ἀέρος, ἵνα πάντα τὰ ζῶα πρὸς τὸ ζῆν ἀδεῶς ἀναπνέειν ἔχοι [7].

XXXIV. Ὦ τῆς μεγάλης Θεοῦ φρονίμου χειρὸς τῆς ἐν πᾶσι πάντα

XXXII. Vos igitur, ut gratos Dei servos decet, ex vobis quod rationi consentaneum est intelligentes, vitam ei placentem amplectimini, ut sic, amantes eum et ab eo amati, quod bonum est possideatis perpetuo. Illud enim ipse solus maxime potest praestare, qui non exsistentia ad exsistentiam adduxit, coelum creavit, terram compegit, mare conclusit, quae in inferis sunt recondidit, cunctaque replevit aëre.

XXXIII. Hic solus unam ac primam simplicemque substantiam quadrupliciter et contrarie convertit: ac deinde commiscens mille inde produxit mista, quo contrarias in naturas mutatae ac permistae res vitae voluptatem per oppositionem procurarent. Ipse etiam solus populos angelorum et spirituum nutu voluntatis condidit, iisque implevit coelos: sicut et quod videmus firmamentum condecoravit stellis, quibus semitas definivit cursumque ordinavit: terram, propter frugum incrementum, compegit, mare autem conclusit, habitationem in siccis locis secernendo: quae apud inferos sunt recondidit, animarum locum nuncupans; cuncta vero replevit aëre, ut omnia animalia respirationem vitae necessariam haberent liberam.

XXXIV. O magnam Dei ac prudentem manum, in omnibus omnia facien-

1. Leg. ἔχητε. S.
2. ἀέρι C.
3. Fortasse scribendum πρώτως. S.
4. ἐναντίοις O.
5. Ita S, ὅμως C. O.
6. Lege ἐνύδροις „aquatilibus habitationem constituens.“ Absurda est Cotelerii versio. D. Voluit Cotelerius in locis siccis seu aqua non tectis datam esse terrestribus animalibus habitationem. Cl.
7. ἐχὴ (sic) O.

ποιούσης! μυρίος γὰρ ὄχλος πτηνῶν ὑπ' αὐτοῦ γεγένηται, καὶ οὗτος ποικίλος, πρὸς τὸν ἕτερον κατὰ [1] πάντα ἐξηλλαγμένος, λέγω δὲ τά τε χρώματα, ῥάμφη, ὄνυχας, βλέμματα, γνώμας, φθέγματα καὶ τὰ λοιπὰ πάντα. πόσαι δὲ καὶ φυτῶν διάφοροι ἰδέαι, χρώμασι καὶ ποιότησι καὶ ὀδμαῖς ἀπείροις [2] διωρισμέναι! πόσα δὲ τῆς χέρσου ζῶα καὶ τῶν ἐν ὕδασιν [3], ὧν ἀδύνατον εἰπεῖν σχήματα, μορφάς, θέσεις, χρώματα [4], βίους, γνώμας, φύσεις, ὄχλον· ἔτι τε ὀρέων πλήθη καὶ ὕψη, λίθων διαφορὰς, μυχοὺς [5] φοβερούς, πηγάς, ποταμούς, λίμνας, θαλάσσας, λιμένας, νήσους, ὕλας, οἰκουμένην τε πᾶσαν καὶ ἀοικήτους τόπους.

XXXV. Πόσα δὲ καὶ ἄλλα ἄγνωστα τυγχάνει, στοχασμὸν ἀνθρώπων ἐκπεφευγότα! τῶν δὲ ἐν καταλήψει ὄντων τίς ἀνθρώπων ἕνα ὅρον οἶδεν! λέγω δέ, πῶς οὐρανὸς εἰλεῖται, πῶς ἄστρα φέρεται, καὶ τίνας ἔχουσι τὰς μορφὰς καὶ τοῦ ζῆν τὴν σύστασιν, τίνες τε οἱ τούτων ἀερώδεις τρίβοι, πόθεν τε καὶ τὰ ἀνέμων πνεύματα περιωθεῖται, καὶ διαφόρους ἔχει τὰς ἐνεργείας, πῶς [6] ἀνελλιπῶς βρύουσιν αἱ πηγαί, καὶ ἀέναοι [7] ποταμοὶ γινόμενοι εἰς θάλασσαν καταντῶσιν, καὶ οὔτε ὅθεν ἔρχονται κενοῦνται [8], οὔτε ὅπου ἀπέρχονται πληροῦσιν· μέχρι ποῦ τοῦ ἀπεράντου ταρτάρου τὸ ἄπειρον βάθος· ἐπὶ τίνι ἆρα ἐπεωρεῖται ὁ πάντα περιέχων οὐρανός· πῶς

tem! Infinita quippe volatilium multitudo per eum exstitit, adeoque varia, respectu alterius omnino diversa, dico autem colores, rostra, ungues, aspectum, sensus, voces, caeteraque omnia. Quot autem etiam sunt variae plantarum species, coloribus, qualitatibus, odoribus innumeris distinctae! Quot vero terrae et aquae animalia, quorum impossibile est recensere figuras, formas, situs, colores, videndi rationes, sensus ac instinctus, naturas, multitudinem: ut nec montium frequentiam et altitudines, lapidum diversitates, antra terribilia, fontes, fluvios, paludes, maria, portus, insulas, sylvas, universumque orbem habitabilem, una cum locis inhabitabilibus.

XXXV. Quanta vero et alia ignorantur, humanique animi aciem fugiunt! Eorum autem quae cognoscuntur, quis hominum vel unam novit definitionem! Quo modo, inquam, coelum volvitur; quo modo astra decurrunt, et quas habent formas, undeque vivunt, ac quaenam eorum aëriae semitae. Item unde ventorum flatus obtruduntur, variasque habent vires. Quo modo indesinenter fontes scatent: et fluvii perpetui ad mare descendunt; et nec unde veniunt vacuitas fit, nec quo abeunt plenitudo. Quousque pervenit immensi tartari infinitum profundum. Super quo suspenditur coelum, quod omnia continet. Qua ratione nubes ex aëre diffluunt, et in aërem imbibuntur. Quae natura toni-

1. Cl. κατὰ sine causa ac tacite mutavit in μετά, quod repetiit S.
2. ἀπείρῳ O.
3. Scribe τὰ ἐν ὕδασι D.
4. χρῶμα C.
5. μύχους C. πηνὰς p. πηγὰς O.
6. πόθεν C.
7. ἀέναοι C.
8. κενοῦται C.

www.libtool.com.cn

νέφη ἐξ ἀέρος βρύει, καὶ εἰς ἀέρα συμπίνεται· τίς φύσις βροντῶν καὶ ἀστραπῶν, χιόνων, χαλάζης, ὁμίχλης, κρυστάλλων, καταιγίδων, ὄμβρων, νεφῶν αἰωρουμένων· καὶ πῶς φυτά, ζῶα πλάσσει· καὶ ταῦτα διαφοραῖς ἀναριθμήτοις πάσῃ ἀκριβείᾳ συνεχῶς ἀποτελούμενα [1].

XXXVI. Ὅμως ἐάν τις τὸ πᾶν ἀκριβῶς λογισμῷ συνίδῃ [2], εὑρήσει δι' ἄνθρωπον τὸν Θεὸν πεποιηκότα. οἱ γὰρ ὄμβροι καρπῶν ἕνεκα γίνονται, ἵνα ἄνθρωπος μεταλάβῃ [3], καὶ ζῶα τραφῇ, ὅπως ἀνθρώπῳ χρησιμεύῃ. καὶ ἥλιος φαίνει καὶ [4] τὸν ἀέρα εἰς τέσσαρας τροπὰς τρέπει, ἵνα ἕκαστος καιρὸς τὰ ἴδια ἀνθρώπῳ παρασχῇ. καὶ πηγαὶ βρύουσιν [5], ἵνα πόμα ἀνθρώποις δοθῇ. ἀλλ' ἔτι μὴν κατὰ τὸ δυνατὸν τίς ἐπὶ τῆς κτίσεως κυριεύει; εὐχὶ ἄνθρωπος, ὃς σοφίαν εἵληφεν, γῆν γεωργεῖν, θάλασσαν πλεῖν, νηκτά, πτηνά, θηρία ἀγρεύειν, ἄστρων δρόμον λογιστεύειν, γῆν μεταλλεύειν, θάλασσαν σήθειν, πόλεις ἐγείρειν, βασιλεῖς [6] ὁρίζειν, νόμους τάσσειν, δικάζειν, Θεὸν ἀόρατον νοεῖν, ἀγγέλων ὀνόματα γνωρίζειν, δαίμονας ἀπελαύνειν, νόσους φαρμακίαις πειρᾶσθαι παύειν, κατὰ δ' ἰοβόλων ἑρπετῶν ἐπαοιδὰς εὑρίσκειν, ἀντιπαθείας ἐπινοεῖν;

XXXVII. Εἰ δὲ εὐγνωμονεῖς [7], ἄνθρωπε, νενοηκὼς τὸν ἐν πᾶσιν εὐεργετήσαντά σε Θεόν, καὶ ἀθάνατος ἂν ἦς, τῶν διά σε κτισθέντων δι' εὐγνω-

truum et fulgurum, nivium, grandinis, nebulae, glaciei et crystallorum, procellarum, imbrium nubiumque suspensarum. Et quo pacto plantae formentur et animalia: atque haec innumeris diversitatibus omnique diligentia continue confecta.

XXXVI. Itaque qui universum accurate consideraverit, inveniet, hominis causa id factum fuisse a Deo. Nam imbres propter fruges fiunt, ut homo sumat et bestiae nutriantur, quo homini inserviant. Sol apparet ac lucet, et aërem in quatuor anni tempestates vertit, ut unaquaeque tempestas quae habet homini largiatur. Fontes scaturiunt, ut potus praebeatur hominibus. Adhaec, quisnam, quantum fieri potest, dominatur in creaturam? Nonne homo? qui industriam accepit colendi terram, navigandi mare, capiendi pisces, aves, feras; expendendi astrorum cursum, scrutandi terram, findendi mare, condendi urbes, designandi reges, ferendi leges, judicandi, Deum invisibilem cognoscendi, sciendi nomina angelorum, expellendi Daemones, tentandi remediis morbos sedare, inveniendi incantationes adversum venenatos serpentes, animadvertendi rerum mutuo se abigentium repugnantiam.

XXXVII. Quod si gratum te praestas, homo, et intelligis tibi in omnibus beneficum Deum, etiam immortalis evades, resque tua causa conditae ob gra-

1. Ita marg. Ci, cuj. textus ἀποτελουμένη, ut O.
2. συνίδῃ O c. S, συνείδῃ C.
3. μεταλάβῃ om. O.
4. ἵνα τ. ἀέρα εἰς τ. τ. τρέπῃ, καὶ ἵνα κτλ. C.
5. βρύουσιν S O, βρύωσιν C.
6. Lege βασιλείας. Cl.
7. εὐγνωμόνεις O.

www.libtool.com.cn

μιοσύνην τὸ διαμένειν ἐχόντων. καὶ νῦν δὲ γενέσθαι δύνασαι ἄφθαρτος, ἐὰν ἐπιγνῷς ὃν ἔλαθες, ἐὰν ἀγαπήσῃς ὃν κατέλιπες[1], ἐὰν αὐτῷ μόνῳ προσεύχῃ, τῷ[2] σῶμά σου καὶ ψυχὴν κολάσαι καὶ σῶσαι δυναμένῳ[3]. διὸ πρὸ πάντων ἐννοοῦ, ὅτι οὐδεὶς αὐτῷ συνάρχει, οὐδεὶς τῆς αὐτοῦ κοινωνεῖ ὀνομασίας, τοῦτο ὃ δὴ λέγεται Θεός. μόνος γὰρ αὐτὸς καὶ λέγεται καὶ ἔστιν. ἄλλον δὲ οὔτε νομίσαι, οὔτε εἰπεῖν ἔξεστιν· εἰ δέ τις τολμήσειεν, ἀϊδίως τὴν ψυχὴν κολασθῆναι ἔχει.

XXXVIII. Τοῦ Πέτρου ταῦτα εἰπόντος, ὁ Σίμων ἔξω τοῦ ὄχλου βοῇ μεγάλῃ ἔφη· τί ψευδόμενος ἀπατᾶν θέλεις τὸν παρεστῶτά σοι ἰδιώτην ὄχλον, πείθων αὐτὸν θεοὺς μήτε νομίζειν, μήτε λέγειν ἐξὸν εἶναι, τῶν παρὰ Ἰουδαίοις δημοσίων βίβλων πολλοὺς θεοὺς εἶναι λεγουσῶν; καὶ νῦν δὲ μετὰ πάντων ἀπ' αὐτῶν σοι τῶν βίβλων περὶ τοῦ δεῖν θεοὺς νομίζειν συζητῆσαι[4] θέλω· πρότερον περὶ οὗ ἔφης Θεοῦ, δείξας μὴ αὐτὸν εἶναι τὸν[5] ἀνωτάτω καὶ πάντα δυνάμενον[6], καθὸ ἀπρόγνωστός ἐστιν, ἀτελής, ἐνδεής, οὐκ ἀγαθός, καὶ πολλοῖς μυρίοις[7] χαλεποῖς ὑποκείμενος πάθεσιν· ὅθεν τούτου δειχθέντος ἀπὸ τῶν γραφῶν, ὡς ἐγὼ λέγω, ἕτερος ἀγράφως[8] περιλείπεται εἶναι, προγνωστικός, τέλειος, ἀνενδεής, ἀγαθός, πάντων χα-

titudinem perseverare habebunt. Et vero nunc incorruptus fieri potes, si quem ignorasti agnoscas, si quem reliquisti diligas, si ei uni supplices, qui corpus tuum et animam supplicio afficere et servare potest. Quare ante omnia cogita, neminem cum illo imperare, neminem cum eo communem habere appellationem, id nempe quod vocatur Deus. Solus enim ipse et dicitur et est: alium vero neque arbitrari neque dicere licet: et eum, qui id ausus fuerit, perpetua manet animae poena.

XXXVIII. Quae cum Petrus dixisset, Simon extra turbam voce magna infit: quid adstantem tibi imperitam multitudinem vis mentiendo decipere, dum persuades ei, Deos nec arbitrari licitum esse, nec dicere, cum publici Judaeorum libri multos esse Deos asseverent? Et vero nunc coram omnibus ex iis libris tecum disputare volo de eo, quod Deos exsistere sit existimandum: et prius de eo Deo quem protulisti, ostendens eum non esse supremum ac omnipotentem, quia improvidus futurorum est, imperfectus, indigens, non bonus, multis millibus gravibusque subjectus affectibus. Unde hac re demonstrata ex Scripturis, quemadmodum ego assero, restat ut sit alius in Scriptura non commemoratus, praescius futurorum, perfectus, non indigens, bonus, ab omnibus

1. κατέλειπες C.
2. τὸ C.
3. δυναμένῳ καὶ σῶσαι O. Dein ἐννοοῦ p. ἐννοοῦ Ci, non C, ut falso annotavit S.
4. νομίζειν καὶ συζητῆσαι C.
5. τὴν C.
6. Scripsi δυνάμενον, ut τὸν Art. habeat, quo referatur; δυναμένην C O. Post δυναμένην in Epit. c. 36. additur πρόνοιαν. S δύναμιν excidisse putat. Tum καθ' ὃ C.
7. Delevi Ci καὶ ante μυρίοις c O.
8. Fortasse leg. ἄγραφος. S.

λεπῶν ἀπηλλαγμένος παθῶν. ὃν δὲ σὺ φῂς δημιουργόν, τοῖς ἐναντίοις ἀντικείμενος[1] τυγχάνει.

XXXIX. Αὐτίκα γοῦν ὁ καθ' ὁμοίωσιν αὐτοῦ γεγονὼς Ἀδὰμ καὶ τυφλὸς κτίζεται[2] καὶ γνῶσιν ἀγαθοῦ ἢ κακοῦ οὐκ ἔχων παραδέδοται, καὶ παραβάτης εὑρίσκεται καὶ τοῦ παραδείσου ἐκβάλλεται καὶ θανάτῳ τιμωρεῖται. ὁμοίως τε καὶ ὁ πλάσας αὐτόν, ἐπεὶ μὴ πανταχόθεν βλέπει, ἐπὶ τῇ Σοδόμων καταστροφῇ λέγει[3]· δεῦτε καὶ καταβάντες ἴδωμεν, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ· καὶ ἀγνοοῦντα ἑαυτὸν[4] δείκνυσιν. τῷ[5] δὲ εἰπεῖν περὶ τοῦ Ἀδάμ[6]· ἐκβάλωμεν αὐτόν, μήπως ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἅψηται τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται[7] εἰς τὸν αἰῶνα· τῷ εἰπεῖν μήπως, ἀγνοεῖ· τῷ δὲ ἐπαγαγεῖν, μή πως φαγὼν ζήσεται[8] εἰς τὸν αἰῶνα, καὶ φθονεῖ. καὶ τῷ γεγράφθαι, ὅτι ἐνεθυμήθη ὁ Θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον, καὶ μετανοεῖ καὶ ἀγνοεῖ· τὸ γὰρ ἐνεθυμήθη σκέψις ἐστίν, ἣ[9] τις δι' ἄγνοιαν ὧν βούλεται τὸ τέλος ἀκριβῶσαι θέλει, ἢ ἐπὶ τῷ μὴ κατὰ γνώμην ἀποβάντι μεταμελομένου[10]. καὶ τὸ γεγράφθαι, καὶ ὠσφράνθη κύριος ὀσμὴν

malis affectibus liber. Ille autem, quem loqueris, mundi opifex contrariis oppositus est.

XXXIX. Statim ergo qui ad ejus similitudinem factus est, Adamus, etiam caecus creatur et cognitionem boni vel mali non habuisse traditur, et transgressor invenitur, et ejicitur e paradiso morteque mulctatur. Simili quoque modo, qui finxit illum: quandoquidem undique non videt, in Sodomorum exitio ait: *venite et descendentes videamus, an secundum clamorem ipsorum, qui ad me venit, perficiant; sin minus ut sciam;* en, ignarum se ostendit. Et cum dicit de Adamo: *ejiciamus eum,* ne *forte extensa manu sua attingat lignum vitae, et comedat, et vivet in aeternum;* dicendo, *ne forte,* ignorat; addendo autem, *ne forte comedens vivat in aeternum,* invidet quoque. Cum scriptum est: *secum reputavit Deus, quod fecisset hominem,* et poenitentia ducitur et ignorat: nam illud, *secum reputavit,* consideratio est, qua aliquis ob eorum quae cupit ignorationem finem diligenter explorare vult, aut convenit eam ob rem poenitenti, quae non secundum sententiam contigit. Quod etiam scriptum

1. *ὑποκείμενον* O. Haud male.
2. Meminit Philastrius haereticorum quorundam, qui Adamum et Evam dicebant caecos fuisse, antequam gustassent de arbore; posteaque aperuisse oculos, et vidisse nuditatem suam. C.
3. Gen. 18, 21.
4. *αὐτὸν* C, *αὐτὸν* S.
5. *τῷ* Epit. c. 35, *τὸ* C O. Tum *ἑαυτὸν* O.
6. Gen. 3, 22.
7. *ζήσηται* S. Tum *τὸ εἰπεῖν — τὸ δὲ* C.
8. *ζήσηται* S. Tum *τὸ γεγράφθαι* C.
9. *ἣ* D, *ἤ* C O et Epit. Illud exprimit versio Ci.
10. *μεταμελομένου*, quod spectat ad *σκέψις* D, *μεταμεληθέντῳ* C, *μεταμελουμένου* Epit., *μεταμελομένῳ* O.

εὐωδίας, ἐνδεοῦς ἐστιν, καὶ τὸ ἐπὶ κνίσσῃ[1] σαρκῶν ἡσθῆναι, οὐκ ἀγαθοῦ. τὸ δὲ πειράζειν, ὡς γέγραπται[2], καὶ ἐπείρασε κύριος τὸν Ἀβραάμ, κακοῦ καὶ τὸ τέλος τῆς ὑπομονῆς ἀγνοοῦντος.

XL. Ὁμῶς[3] ὁ Σίμων πολλὰ ἀπὸ τῶν γραφῶν ἐδόκει δεικνύειν τὸν Θεὸν παντὶ πάθει ὑποκείμενον. καὶ ὁ Πέτρος πρὸς[4] ταῦτα ἔφη· εἰ μηδὲν ἀγαπᾷ ὁ κακὸς καὶ πάνυ μοχθηρὸς ἐφ' οἷς ἁμαρτάνει ἑαυτὸν ἐλέγχειν, ἀπόκριναί μοι. καὶ ὁ Σίμων ἔφη· οὐκ ἀγαπᾷ. καὶ ὁ Πέτρος ἔφη· πῶς[5] οὖν κακὸς καὶ μοχθηρὸς εἶναι δύναται ὁ Θεός, εἴπερ αὐτοῦ λήμασι[6] τὰ κατ' αὐτοῦ κακὰ δημοσίᾳ γραφέντα προσετέθη; καὶ ὁ Σίμων· ἐνδέχεται μὴ[7] κατὰ προαίρεσιν αὐτοῦ ὑφ' ἑτέρας δυνάμεως τὸν κατ' αὐτοῦ γραφῆναι ἔλεγχον. καὶ ὁ Πέτρος ἔφη· πρῶτον οὖν τοῦτο ζητήσωμεν. εἰ μὲν ὑπὸ τῆς ἑαυτοῦ βουλῆς ἑαυτὸν ἤλεγξεν, ὡς φθάσας συνωμολόγησας, μοχθηρὸς οὐκ ἔστιν, εἰ δὲ ὑφ' ἑτέρας δυνάμεως, ζητητέον καὶ παντὶ σθένει ἐξεταστέον, μή τις αὐτὸν μόνον ἀγαθὸν ὄντα ἐπὶ πᾶσι τοῖς κακοῖς ὑπέβαλεν[8].

XLI. Καὶ ὁ Σίμων· πρόδηλος εἶ φεύγων, ἀπὸ τῶν γραφῶν τὸν κατὰ Θεοῦ σου ἀκοῦσαι ἔλεγχον. καὶ ὁ Πέτρος· αὐτός μοι φαίνῃ τοῦτο ποιῶν. ὁ γὰρ τάξιν ζητήσεως φεύγων ἐξέτασιν ἀληθῆ γενέσθαι οὐ βούλεται. ὅθεν

est, *et odoratus est Dominus odorem suavitatis*, indigentis est, et nidore carnium delectari, non est boni. Tentare autem, sicut scriptum est, *et tentavit Dominus Abrahamum*, mali est, ac ejus qui ignoret exitum patientiae.

XL. Sicque Simon multis ex Scriptura locis assumptis videbatur probare, Deum omni perpessioni esse obnoxium. Et Petrus ad haec dixit: an qui malus ac plane improbus est, nullatenus velit se ipse arguere in iis quae peccat, responde mihi. Respondit Simon: minime velit. Excepit Petrus: quo modo igitur malus ac improbus esse potest Deus, cum ipsius voluntate opprobria in illum conscripta publice apposita sint. Ac Simon: fieri potest ut illius reprehensio contra ipsius sententiam ab alia virtute sit scripta. Dixit Petrus: primum ergo hoc quaeramus. Si suo quidem consilio se reprehendit, ut tu prius ultro confessus es, improbus non est, sin vero alia virtute, inquirendum est ac omnibus viribus examinandum, num quis eum, qui solus bonus exsistat, omnibus malis subjecerit.

XLI. Et Simon: manifestum est te reprehensionem Dei tui ex Scripturis nolle audire. Ac Petrus: tu ipse id facere mihi videris. Qui enim ordinem quaestionis fugit, examen verum fieri non vult. Unde ego, qui ordine utor,

1. Ita S. Idem est Ottoboniani *κνίσσει*, C *κνίσῃ*. Gen. 8, 21.
2. Gen. 22, 2.
3. Ita S, *ὅμως* C O. Post *γραφῶν* Epit. c. 38 adjungit *κακῶς ἐκλαμβάνων*.
4. *πρὸς* praetermisit S c. Cl.
5. Subnotatum est *ἑαυτὸν* in O, ad cuj. oram al. man. *ἴσως πῶς*.
6. Ita O c. D, *λείμματι* C, *θελήματι* Epit. Tum *προετέθη* Epit.
7. *μὴ* S ex Epitome; deest in C O.
8. *ὑπέλαβεν* Epit.

www.libpool.com.cn

ἐγὼ τῇ τάξει χρώμενος, καὶ βουλόμενος πρῶτον τὸν συγγραφέα νοηθῆναι, πρόδηλός εἰμι τὴν εὐθεῖαν ὁδεύειν θέλων. καὶ ὁ Σίμων· ὁμολόγησον πρῶτον, εἴγε τὰ κατὰ τοῦ δημιουργοῦ γεγραμμένα ἀληθῆ ἐστι, καὶ οὐκ ἔστι τῶν ὅλων ἀνώτερος, κατὰ τὰς γραφὰς πάσῃ ὑποκείμενος μοχθηρίᾳ, καὶ ὕστερον ζητήσομεν τὸν συγγράψαντα. καὶ ὁ Πέτρος· ἵνα μὴ δόξω, ἀντιλέγειν σου τῇ ἀταξίᾳ μὴ θέλων[1], ζητεῖν, ἀποκρίνομαι· ἐγώ φημι ὅτι εἰ τὰ κατὰ τοῦ Θεοῦ γεγραμμένα ἀληθῆ εἴη, οὕπω τὸν Θεὸν δείκνυσι μοχθηρόν. καὶ ὁ Σίμων ἔφη· πῶς τοῦτο συστῆσαι δύνασαι;

XLII. Καὶ ὁ Πέτρος· ὅτι ταῖς αὐτὸν κακῶς λεγούσαις φωναῖς[2] τὰ ἐναντία γέγραπται, οὐ[3] εἵνεκεν οὐδ' ὁπότερον βεβαιωθῆναι δύναται. καὶ ὁ Σίμων· πῶς οὖν τῶν γραφῶν τῶν μὲν αὐτὸν κακὸν λεγουσῶν[4], τῶν δὲ ἀγαθόν, τὸ ἀληθὲς ἔστιν ἐπιγνῶναι; καὶ ὁ Πέτρος· ὅσαι τῶν γραφῶν φωναὶ συμφωνοῦσι τῇ ὑπ' αὐτοῦ γενομένῃ κτίσει, ἀληθεῖς εἰσιν, ὅσαι δὲ ἐναντίαι, ψευδεῖς τυγχάνουσιν. καὶ ὁ Σίμων ἔφη· πῶς δύνασαι ἐναντιουμένας ἑαυταῖς δεῖξαι τὰς γραφάς; καὶ ὁ Πέτρος ἔφη· τὸν Ἀδὰμ τυφλὸν λέγεις γεγενῆσθαι, ὅπερ οὐκ ἦν. οὐ γὰρ ἂν τυφλῷ ἐντελλόμενος ἐδείκνυε λέγων, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν μὴ γεύσεσθε[5]. καὶ ὁ Σίμων· τυφλὸν ἔλεγε τὸν νοῦν αὐτοῦ. καὶ ὁ Πέτρος· πῶς καὶ τὸν νοῦν τυφλὸς εἶναι ἐδύνατο, ὁ πρὸ τοῦ γεύσασθαι τοῦ φυτοῦ συμφώνως τῷ κτί-

et volo primum considerari scriptorem, manifeste cupio recta via incedere. Tum Simon: primo fatere, an vera sint quae scripta sunt in mundi opificem nec sit omnium supremus, cum juxta Scripturas omni nequitiae subjaceat, et postea scriptorem quaeramus. Petrus autem: ne videar inquirere, nolens confusioni tuae contradicere, respondeo. Ego aio quod, etiamsi quae adversus Deum scripta sunt, essent vera, non tamen etiam sic Deum ostenderent esse improbum. Et Simon dixit: quo modo potes hoc adstruere?

XLII. At Petrus: quoniam contraria scripta sunt iis vocibus quae Deo obloquuntur. Quapropter neutrum potest certum ac firmum reddi. Tum Simon: qua ergo ratione verum cognoscere licet, cum ex scripturis aliae Deum malum dicant, aliae bonum? Et Petrus: quaecumque Scripturarum verba cum creatione ab ipso facta concordant, vera sunt, quaecumque vero cum ea pugnant, falsa. Excepit Simon: qui ostendere potes sibi contrarias esse scripturas? Respondit Petrus: Adamum dicis caecum formatum fuisse; quod tamen ille non erat. Non enim caeco praecipiens ostendisset, ac dixisset: *de ligno autem scientiae boni et mali ne gustetis.* Et Simon: caecam dixit mentem ipsius. Ac Petrus: qua ratione mente caecus esse poterat, qui, antequam gustasset fructum, convenienter creatori ipsius propria omnibus animalibus imposuit

1. Ita S c. var. lect. Epitomes, θέλειν C D.
2. γραφαῖς O.
3. τοῦ S c. Cl male.
4. λεγουσῶν κακῶς O.
5. Ita S γεύσησθε C, γεύσεσθαι O.

www.libtool.com.cn

σαντι αὐτὸν οἰκεῖα πᾶσι τοῖς ζώοις ἐπιθεὶς ὀνόματα; καὶ ὁ Σίμων· εἰ πρόγνωσιν εἶχεν ὁ Ἀδάμ, διὰ τί οὐ προέγνω τὸν[1] τὴν γυναῖκα αὐτοῦ μέλλοντα ἀπατᾶν[2] ὄφιν; καὶ ὁ Πέτρος· εἰ πρόγνωσιν μὴ εἶχεν ὁ[3] Ἀδάμ, πῶς τοῖς υἱοῖς αὐτοῦ πρὸς τὰς ἐσομένας πράξεις, ἅμα τῷ γεννηθῆναι, τὰ ὀνόματα ἐπέθηκεν[4], τὸν μὲν πρῶτον καλέσας Κάϊν, ὃ ἑρμηνεύεται ζῆλος, ὃς καὶ ζηλώσας ἀνεῖλε τὸν ἀδελφὸν αὐτοῦ τὸν[5] Ἀβέλ, ὃ ἑρμηνεύεται πένθος· ἐπ' αὐτῷ γὰρ τῷ[6] πρώτῳ φονευθέντι ἐπένθησαν οἱ γονεῖς.

XLIII. Εἰ δὲ Ἀδὰμ ἔργον Θεοῦ ὑπάρχων πρόγνωσιν εἶχεν, πολὺ μᾶλλον ὁ δημιουργήσας αὐτὸν Θεός. καὶ ψεῦδός ἐστι τὸ γεγράφθαι· ἐνεθυμήθη ὁ Θεός, ὡς λογισμῷ χρησαμένου[7] διὰ τὴν ἄγνοιαν. ἔτι μὴν[8] καὶ εἰ ἐπείραζε κύριος τὸν Ἀβραάμ, ἵνα γνῷ εἰ ὑπομένει. καὶ τὸ γεγραμμένον· καταβάντες ἴδωμεν εἰ κατὰ τὴν κραυγὴν αὐτῶν, τὴν ἐρχομένην πρός με, συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ. καὶ ἵνα μὴ εἰς πολὺ μηκύνω τὸν λόγον, ὅσαι ποτὲ φωναὶ ἄγνοιαν[9] αὐτοῦ καταλέγουσιν ἢ ἄλλο τι χαλεπόν, ὑφ' ἑτέρων φωνῶν τὰ ἐναντία λεγουσῶν ἀνασκευαζόμεναι ψευδεῖς εἶναι ἐλέγχονται. ὅτι δὲ ὄντως προγινώσκει, λέγει τῷ Ἀβραάμ[10]· γινώσκων γνώσῃ, ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτό, καὶ

nomina? Simon vero: si Adamus praenotionem habuit, quare non praenovit serpentem uxorem ejus decepturum? Rursum Petrus: si praenotionem non habuit Adamus, quo modo filiis suis, simul ac nati sunt, nomina imposuit secundum futuras actiones? et primum vocavit, *Cain*, quod exponitur *aemulatio*, qui etiam aemulatione ductus interfecit fratrem suum *Abel*, quod nomen vertitur *luctus*: super eo siquidem primo hominum occiso parentes luxerunt.

XLIII. Quod si Adamus, qui Dei opus erat, praenotionem habuit, multo magis qui condidit eum Deus. Et falsum est quod fuit scriptum *secum reputavit Deus*, quasi usus fuerit ratiocinatione propter ignorantiam: porro autem et hoc: *tentavit Dominus Abrahamum*, ut cognosceret an is sustineret: et illud, *descendentes videamus, an secundum clamorem ipsorum, qui venit ad me, perficiant: sin minus, ut sciam.* Ac ne sermonem longius protraham, quotquot voces ei objiciunt ignorantiam, vel aliquod aliud malum, per alias voces contraria affirmantes evertuntur ac falsae probantur. Quod autem revera praescit, ideo dicit Abrahamo: *sciendo scies, quod peregrinum erit semen tuum in terra non sua; et in servitutem illud et affigent et depriment eos quadringentis annis:*

1. τὸ O.
2. Ottoboniani μέλλοντα ἀπατᾶν superfluam reddit Di conjecturam ἀπατήσοντα. αὐτοῦ (αὐτοῦ S) ἀπατᾶν C.
3. ὁ om. O.
4. ἐπέθηκεν deest ap. C, ἐπιτέθεικεν C in marg. ex Epit.
5. τὸν om. O.
6. τῷ addidi c. O.
7. χρησάμενος conj. D.
8. Vbb. ἔτι μὴν c. O additis superflua fit conjectura Ci, qui ejiciendum esse εἰ putabat. Cfr. Gen. 22, 1.
9. Ita S, ἀγνοίας C O.
10. Gen. 15, 13.

www.libtool.com.cn

κακώσουσι καὶ ταπεινώσουσιν αὐτοὺς τετρακόσια ἔτη· τὸ δὲ ἔθνος ᾧ ἂν δουλεύσωσι κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς, σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης, ταφεὶς ἐν γήρει καλῷ· τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων ἕως τοῦ νῦν.

XLIV. Τί δέ, οὐχὶ καὶ Μωϋσῆς[1] τὰ ἁμαρτήματα τοῦ λαοῦ προσημαίνει, καὶ τὴν διασποράν τὴν εἰς τὰ ἔθνη προδηλοῖ; εἰ δὲ Μωϋσεῖ[2] αὐτὸς δέδωκε προγινώσκειν, πῶς αὐτὸς οὐκ εἶχεν; ἔχει δέ. εἰ δὲ ἔχει, ὥσπερ καὶ ἐδείξαμεν, περισσόν ἐστι τὸ γεγραμμένον· ἐνεθυμήθη· καὶ μετεμελήθη· καὶ τό, καταβὰς ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν[3]· καὶ ὅσα τοιαῦτα· ἃ τινα πρὸ τοῦ γενέσθαι, ὡς ἀποβαίνειν ἤμελλεν, προγνωσθέντα, οἰκονομίᾳ σοφῇ ἀμεταμέλητον[4] λαμβάνει τὴν ἔκβασιν.

XLV. Τὸ δὲ θυσιῶν αὐτὸν μὴ ὀρεχθῆναι, φαίνεται ἐκ τοῦ τοὺς ἐπιθυμήσαντας κρεῶν ἅμα τῷ γεύσασθαι ἀναιρεθῆναι, καὶ χωσθέντας ἐπὶ τῷ τάφῳ βουνὸν ἐπιθυμιῶν προσαγορευθῆναι. ὁ δὲ τὴν ἀρχὴν ἐπὶ θύσει ζώων χαλεπαίνων, θύεσθαι αὐτὰ μὴ θέλων, θυσίας ὡς ἐπιθυμῶν οὐ προσέτασσεν, καὶ ἀπαρχὰς[5] οὐκ ἀπῄτει. ἄνευ γὰρ θύσεως ζώων οὔτε θυσίαι τελοῦνται, οὔτε[6] ἀπαρχαὶ δοθῆναι δύνανται. πῶς δὲ σκότῳ καὶ γνόφῳ καὶ

*gentem autem, cui servient, ego judicabo: post haec vero exibunt huc cum multo apparatu: tu autem abibis ad patres tuos cum pace, nutritus in senectute bona: quarta vero generatione revertentur huc: necdum enim completa sunt peccata Amorrhaeorum usque ad praesens tempus.*

XLIV. Quid vero, nonne et Moyses delicta populi praenunciat et dispersionem in gentes praedicit? Si autem Deus Moysi praescire concessit, quo modo praescientiam ipse non habeat? Habet profecto. Quod si habet, ut et ostendimus, modum excedit quod scriptum est, *secum reputavit, et poenitentia ductus est*, et illud, *descendens videbo an secundum clamorem eorum*, aliaque ejusmodi, quae prius, quam accidissent, praecognita quemadmodum eventura erant, prudenti administratione non poenitendum sortita sunt exitum.

XLV. Sacrificia autem ab eo non expeti, apparet ex eo quod, qui carnes desideraverant, simul ac gustarunt interfecti sunt; iisque in sepulchro aggestis, locus appellatus est *tumulus concupiscentiae*. Qui ergo ab initio immolationem animalium aegre tulit, quia ea mactari nolebat, sacrificia, quasi appeteret, non praecepit, nec primitias exegit. Nam sine animalium jugulatione nec sacrificia celebrantur, nec primitiae offerri possunt. Quo modo autem poterat in tene-

1. μωσῆς O.
2. μωϋσῇ O.
3. Vbb. εἰ κατὰ τὴν κραυγὴν αὐτῶν accesserunt ex O.
4. ἀμεταμέλητα C.
5. Neandri conjecturam ἀπαρχὰς (Gnost. Syst. p. 382) confirmat O, ἀπ' ἀρχῆς C. Ad oram Cod. Ottob. νόθα κατὰ τοῦ νόμου.
6. οὔτ' αἱ C, οὔθ' αἱ S.

θυέλλῃ[1] συνεῖναι δυνατὸν[2] (καὶ γὰρ τοῦτο γέγραπται) τῷ καθαρὸν συσιήσαντι οὐρανόν, καὶ φῶς φαίνειν δημιουργήσαντι τὸν ἥλιον, καὶ πᾶσι τοῖς ἀναριθμήτοις ἄστροις[3] ἀμεταμέλητον ὁρίσαντι τῶν δρόμων, τὴν τάξιν. οὕτως, ὦ[4] Σίμων, τὸ τοῦ Θεοῦ χειρόγραφον, λέγω δὲ τὸν οὐρανόν, καθαρὰν καὶ βεβαίαν τὴν τοῦ πεποιηκότος δείκνυσιν γνώμην.

XLVI. Οὕτως αἱ τοῦ τὸν οὐρανὸν κτίσαντος Θεοῦ διάβολοι φωναὶ καὶ ὑπὸ τῶν σὺν αὐταῖς ἐναντίων φωνῶν ἀκυροῦνται, καὶ ὑπὸ τῆς κτίσεως ἐλέγχονται. οὐ γὰρ ὑπὸ χειρὸς προφητικῆς ἐγράφησαν. διὸ[5] καὶ τῇ τοῦ τὰ πάντα κτίσαντος Θεοῦ χειρὶ ἐναντίαι φαίνονται. καὶ ὁ Σίμων ἔφη· πῶς τοῦτο ἀποδεῖξαι δύνῃ;

XLVII. Καὶ ὁ Πέτρος· ὁ τοῦ Θεοῦ νόμος διὰ Μωϋσέως[6] ἑβδομήκοντα σοφοῖς ἀνδράσιν ἀγράφως ἐδόθη, παραδεδόσθαι, ἵνα τῇ διαδοχῇ πολιτεύεσθαι δύνηται. μετὰ δὲ τὴν Μωϋσέως[7] ἀνάληψιν ἐγράφη ὑπό τινος, οὐ μὴν ὑπὸ Μωϋσέως[8]. ἐν αὐτῷ γὰρ τῷ νόμῳ γέγραπται[9]· καὶ ἀπέθανε Μωϋσῆς, καὶ ἔθαψαν αὐτὸν ἐγγὺς οἴκου Φογόρ, καὶ οὐδεὶς οἶδε τὴν ταφὴν αὐτοῦ ἕως τῆς σήμερον. οἷόν τε ἦν ἀποθανόντα Μωϋσῆν γράφειν, ἀπέθανεν Μωϋσῆς; ἐπεὶ ἐν τῷ μετὰ Μωυσέα[10] χρόνῳ, ὥς γε ἔτη που πεντακόσια ἢ καὶ πρός, ἐν τῷ κτισθέντι ναῷ κείμενος εὑρίσκεται, καὶ μεθ'

bris et caligine et procella versari (hoc etenim scriptum est), qui purum serenumque constituit coelum, et solem ut lucem exhiberet creavit, atque omnibus innumerabilibus stellis cursuum irrevocabilem ordinem definivit. Ita, Simon, Dei chirographum, coelum inquam, puram et stabilem opificis ostendit sententiam.

XLVI. Sic voces erga conditorem coeli Deum calumniosae per voces contrarias similiter dictas infirmantur, et a creatione arguuntur. Neque enim ex manu prophetica scriptae sunt. Quare omnium creatoris manui contrariae deprehenduntur. Et Simon dixit: quo pacto id poteris ostendere?

XLVII. Respondit Petrus: Dei lex per Moysem septuaginta viris sapientibus absque scripto data est, ut caeteris traderetur, utque per successionem observari posset. Post Moysis vero assumptionem scripta est ab aliquo, non autem a Moyse. In ipsa enim lege scriptum est: *et mortuus est Moyses, et sepelierunt eum prope domum Phogor: et nemo cognovit sepulchrum ejus usque in praesentem diem.* Potuitne mortuus Moyses scribere, *mortuus est Moyses?* Quandoquidem tempore post Moysem, quasi quingentis annis aut circiter, in exstructo templo posita lex reperitur, et post alios similiter quingentos annos

1. σκότος καὶ γνόφος καὶ θύελλα O.
2. Ita S auctore D, ἐδύνατο C O. Hanc lectionem retinet Neander Gnost. Syst. p. 398, et addit ἐπὶ post γέγραπται. Cfr. Psalm. 17.
3. ἥλιον πᾶσιν, τοῖς ἀν. ἄστροις C.
4. ὁ C, ὦ S.
5. δι' ὃ C. Tum addidi τῇ c. O.
6. μωϋσέος O.
7. μωϋσέος O.
8. μωϋσέος O.
9. Deut. 34, 5.
10. μοϋσῆν O.

www.libtool.com.cn

ἕτερά που πεντακόσια ἔτη φέρεται, καὶ ἐπὶ τοῦ Ναβουχοδονόσορ οὕτως ἐμπρησθεὶς[1] ἀπόλλυται. καὶ ὅμως μετὰ Μωϋσῆν γραφεὶς καὶ πολλάκις ἀπολωλὼς τὴν τοῦ Μωϋσέως[2] πρόγνωσιν καὶ οὗτος ὡμολόγησεν, ὅτι τὸν ἀφανισμὸν αὐτοῦ προειδὼς οὐκ ἔγραψεν· οἱ δὲ γράψαντες τῷ τὸν ἀφανισμὸν μὴ προεγνωκέναι ἐπ' ἀγνωσίας ἐλεγχθέντες, προφῆται οὐκ ἦσαν.

XLVIII. Καὶ ὁ Σίμων· ἐπειδὴ τὰ περὶ Θεοῦ, ὡς ἔφης, ἐκ τῆς πρὸς τὴν κτίσιν παραβολῆς ἔστι νοῆσαι, πῶς τὰ λοιπὰ ἐν τῷ νόμῳ, ἐκ παραδόσεως Μωϋσέως[3] ὄντα καὶ ἀληθῆ τυγχάνοντα καὶ τοῖς ψευδέσι μεμιγμένα ἐπιγνῶναί ἐστι δυνατόν; καὶ ὁ Πέτρος ἔφη· περικοπή τις ἐν τῷ γραφέντι νόμῳ μετὰ τὴν[4] τοῦ Θεοῦ πρόνοιαν ἀπταίστως ἐπεμνημονεύθη, ὥστ' ἂν σαφῶς δεῖξαι τῶν γεγραμμένων ποιά ἐστιν ἀληθῆ, ποια δὲ ψευδῆ. καὶ ὁ Σίμων· τίς ἐστιν αὕτη, μήνυσον ἡμῖν.

XLIX. Καὶ ὁ Πέτρος ἔφη· αὐτίκα ἐρῶ. γέγραπται ἐν τῷ πρώτῳ τοῦ νόμου βιβλίῳ πρὸς[5] τοῖς τελευταίοις· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ οὗ ἐστιν· καὶ αὐτὸς προσδοκία ἐθνῶν. ἐάν τις οὖν τόν, μετὰ τὸν[6] ἐξ Ἰούδα ἐκλείψαι ἄρχοντα καὶ ἡγούμενον, ἐληλυθότα καὶ ὑπὸ ἐθνῶν προσδοκᾶσθαι μέλλοντα νοῆσαι δυνηθῇ, οὗτος τὴν περικοπὴν[7] ἐκ τῶν ἀποτελεσθέντων ἀληθῆ τὸν ἐληλυ-

remansit: sicque sub Nabuchodonosore periit incendio. Et tamen post Moysem scripta et saepe deperdita etiam Moysis praescientiam professa est, quia ille ejus abolitionem praevidens non composuit eam: qui autem composuerunt quod abolitionem non praeviderent, in ignorantia sunt deprehensi, ideoque prophetae non erant.

XLVIII. Tum Simon: quandoquidem, quae ad Deum pertinent, ut dixisti, intelligenda sunt ex comparatione ad creationem, quo modo reliqua legis, quae ex Moysis traditione et vera sunt, sed falsis permista, dignosci possunt? Ad haec Petrus: quoddam, inquit, capitulum in scripta lege secundum Dei providentiam salubriter commemoratum est, ut clare appareret, quaenam e scriptis vera sint, quaenam falsa. Et Simon: quodnam illud sit, nobis indica.

XLIX. Respondit Petrus: jam dico. Scriptum est in primo legis volumine, circa finem: *non deficiet princeps de Juda, neque dux de femoribus ejus; donec veniat cujus est: et ipse exspectatio gentium.* Si quis ergo eum, qui venit post defectum principis ac ducis de Juda, quique a gentibus exspectandus erat, potest cognoscere, ille per capitulum et per ea, quae evene-

1. ἐμπρησθὲν O.
2. μωϋσέος O. Ita constanter. Tum οὕτως mavult S.
3. μωϋσέος O, qui deinde τυγχάνονται.
4. τὴν om. O, qui tum scr. προνοίᾳ ἀπταίστῳ.
5. πρὸ O. Cfr. Gen. 49, 10.
6. τὸν om. C.
7. Locus mancus. Suppleri potest hoc modo: δυνήσεται οὗτος διὰ τὴν περικοπὴν κτλ. C. Locum mancum esse non puto, sed nonnihil corruptus est, atque hac ratione sanandus: νοῆσαι· δυνηθῇ οὗτος τῇ περικοπῇ ἐκ τῶν κτλ. D.

*θότα ἐπιγνῶναι· οὗ τῇ διδασκαλίᾳ πειθόμενος γνώσεται τίνα ἐστὶ τῶν γραφῶν τὰ ἀληθῆ, τίνα δὲ τὰ ψευδῆ. καὶ ὁ Σίμων· συνίημι ὅτι τὸν*[1] *Ἰησοῦν ὑμῶν λέγεις, ὡς αὐτὸν ὑπὸ τῆς γραφῆς προφητευθέντα· δεδόσθω τοιγαροῦν οὕτως ἔχειν. λέγε τοίνυν, πῶς ὑμᾶς διακρίνειν τὰς γραφὰς ἐδίδαξεν;*

L. *Καὶ ὁ Πέτρος· ὅτι μέμικται τὰ ἀληθῆ τοῖς ψευδέσιν, μέμνημαί που αὐτὸν αἰτιώμενον τοὺς Σαδδουκαίους εἰπεῖν· διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰ ἀληθῆ τῶν γραφῶν, οὗ*[2] *εἵνεκεν ἀγνοεῖτε τὴν δύναμιν τοῦ Θεοῦ. εἰ δὲ τὰ ἀληθῆ τῶν γραφῶν ἀγνοεῖν αὐτοὺς ὑπέβαλεν, δῆλον ὡς ὄντων ψευδῶν. ἀλλὰ καὶ ἐν τῷ φῆναι· γίνεσθε τραπεζῖται*[3] *δόκιμοι, ὡς δοκίμων καὶ κιβδήλων λόγων ὄντων. καὶ τῷ*[4] *εἰπεῖν· διὰ τί οὐ νοεῖτε τὸ εὔλογον τῶν γραφῶν; βεβαιότερον τοῦ αὐθαιρέτως εὐγνωμονοῦντος τίθησι τὸν νοῦν*[5].

LI. *Τὸ δὲ καὶ τῶν γραφῶν προκείμενον*[6] *ἐπὶ γραμματεῖς καὶ διδασκάλους πέμπειν, ὡς τοῦ ὄντως*[7] *νόμου εἰδότας τὰ ἀληθῆ, δῆλόν ἐστιν. τὸ δὲ καὶ εἰπεῖν αὐτόν*[8]*· οὐκ ἦλθον καταλῦσαι τὸν νόμον, καί φαίνεσθαι αὐτὸν καταλύοντα, σημαίνοντος ἦν, ὅτι, ἃ κατέλυσεν, οὐκ ἦν τοῦ νόμου. τὸ δὲ καὶ εἰπεῖν*[9]*· ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἰῶτα δὲ*[10] *ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου· τὰ πρὸ οὐρανοῦ καὶ γῆς παρερχόμενα ἐσήμανε μὴ ὄντα τοῦ ὄντως νόμου.*

runt, agnoscet verum esse illum qui venit, cujus doctrinae acquiescens sciet, quaenam in scripturis vera sint et quaenam falsa. Ac Simon: intelligo, quod Jesum vestrum dicis quasi a scriptura prophetatum. Id ergo ita habere concedatur. Dic itaque, quo modo vos docuerit discernere scripturas.

L. Et Petrus: quod vera cum falsis mixta fuerint, memini ab eo, cum Sadducaeos accusaret, dictum ita: *ideo erratis, nescientes vera scripturarum, propter quod ignoratis virtutem Dei.* Si autem objecit, eos vera scripturarum nescire, falsa quoque scripturarum esse apparet. Sed et dicendo: *estote probi trapezitae,* ostendit, in scripturis et probos contineri sermones et adulterinos. Cumque ait: *quare non intelligitis quod in scripturis rationi consonum est?* firmiorem reddit animum hominis qui candide intelligere vult.

LI. Quod autem scripturarum propositum ad scribas et doctores remittit, clarum est remittere tamquam ad eos qui verae legis vera cognoscebant. Quod etiam ipse ait, *non veni solvere legem,* et tamen conspicitur solvere, id significantis est, ea quae solvit non pertinuisse ad legem. Sed et dicendo: *coelum et terra transibunt, sed Jota unum aut unus apex non praeteribit a lege,* manifestavit, verae legis non esse illa quae ante coelum et terram transierunt.

1. *τὸν* praetermisit S.
2. *τοῦ* S c. Cl sine Codd. auctoritate.
3. Ita O c S, *τραπεζείται* C.
4. *τῷ* S O, *τὸ* C.
5. *ἶν* (id est *ἰησοῦν*) O.
6. *προκειμένων* C. Cfr. Matth. 23, 2.
7. *ὄντος* C.
8. Matth. 5, 17.
9. Matth. 24, 35. 5, 18.
10. *δὲ* add. c. O.

www.libtool.com.cn

LII. Ἐπεὶ οὖν οὐρανοῦ καὶ γῆς ἔτι συνεστώτων παρῆλθον θυσίαι, βασιλεῖαι, αἱ ἐν γεννητοῖς γυναικῶν προφητεῖαι καὶ ὅσα [1] τοιαῦτα, ὡς οὐκ ὄντα Θεοῦ προστάγματα, ἔνθεν γοῦν λέγει [2]· πᾶσα φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατὴρ ὁ οὐράνιος, ἐκριζωθήσεται. διὰ τοῦτο αὐτὸς ἀληθὴς ὢν προφήτης ἔλεγεν [3]· ἐγώ εἰμι ἡ πύλη τῆς ζωῆς· ὁ δι' ἐμοῦ εἰσερχόμενος εἰσέρχεται εἰς τὴν ζωήν· ὡς οὐκ οὔσης ἑτέρας τῆς σώζειν δυναμένης διδασκαλίας. διὸ [4] καὶ ἐβόα λέγων· δεῦτε πρός με πάντες οἱ κοπιῶντες, τουτέστιν, οἱ τὴν ἀλήθειαν ζητοῦντες καὶ μὴ εὑρίσκοντες αὐτήν. καὶ πάλιν· τὰ ἐμὰ πρόβατα ἀκούει [5] τῆς ἐμῆς φωνῆς. καὶ ἄλλοτε [6]· ζητεῖτε καὶ εὑρίσκετε, ὡς μὴ προδήλως κειμένης τῆς ἀληθείας.

LIII. Ἀλλὰ καὶ ἐξ οὐρανῶν [7] μάρτυς φωνὴ ἠκούσθη λέγουσα· οὗτός ἐστιν ὁ υἱός μου [8] ὁ ἀγαπητός, εἰς ὃν εὐδόκησα, τούτου ἀκούετε. καὶ πρὸς τούτοις ἐπιπλεῖον αὐτοὺς [9] πεπλανημένους ἐλέγξαι θέλων τοὺς προφήτας, παρ' ὧν δὴ μεμαθηκέναι ἐβεβαίουν, ἐπιθυμοῦντας ἀληθείας καὶ μὴ μεμαθηκότας τελευτήσαντας ἀπεφήνατο εἰπών [10]· πολλοὶ προφῆται καὶ βασιλεῖς ἐπεθύμησαν ἰδεῖν ἃ ὑμεῖς βλέπετε, καὶ ἀκοῦσαι ἃ ὑμεῖς ἀκούετε, καὶ ἀμὴν λέγω ὑμῖν, οὔτε εἶδον [11], οὔτε ἤκουσαν. ἔτι μὴν ἔλεγεν [12]· ἐγώ εἰμι περὶ οὗ Μωϋσῆς προεφήτευσεν εἰπών· προφήτην ἐγερεῖ [13] ὑμῖν κύριος ὁ

LII. Quando igitur coelo et terra adhuc stantibus transierunt sacrificia, regna, prophetiae, quae inter natos mulierum, et quae his similia, quasi quae non essent Dei mandata: inde ergo ait: *omnis plantatio, quam non plantavit pater coelestis, eradicabitur.* Propter hoc ipse, verus propheta, dixit: *ego sum porta vitae: qui per me introit, introit in vitam,* quia non est alia doctrina, quae possit salvum facere. Quocirca clamabat, dicens: *venite ad me omnes qui laboratis*, hoc est, qui quaeritis veritatem, nec invenitis eam. Et iterum: *oves meae vocem meam audiunt.* Et alias: *quaerite et invenietis;* quod veritas clare non sit posita.

LIII. Sed et de coelis testis vox audita est, dicens: *hic est filius meus dilectus, in quo mihi complacui: ipsum audite.* Et adhuc magis demonstrare volens ipsos prophetas errasse, a quibus se didicisse affirmabant, eos mortuos esse in desiderio et non in cognitione veritatis pronunciavit, his verbis: *multi prophetae et reges cupierunt videre quae vos videtis, et audire quae vos auditis: et Amen dico vobis, neque viderunt, neque audierunt.* Dixit praeterea: *ego sum de quo Moyses prophetavit, dicens: prophetam suscitabit vobis Domi-*

1. ὅσα excidit ap. Cl et S.
2. Matth. 15, 13.
3. Joann. 10, 9.
4. διὸ ὃ C. πρός με om. O. Cfr. Matth. 11, 28.
5. ἀκούουσι (sic) O. Joan. 10, 27.
6. Matth. 7, 7.
7. οὐρανοῦ O.
8. μου ὁ υἱὸς C. Matth. 17, 5.
9. τοὺς O.
10. Matth. 13, 17. Luc. 10, 24.
11. Ita O c. S, ἴδον C.
12. Joan. 5, 46. Act. 3, 22.
13. ἐγείρη O.

*θεὸς ἡμῶν, ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὥσπερ καὶ ἐμέ, αὐτοῦ ἀκούετε κατὰ πάντα. ὃς ἂν δὲ* [1] *μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἀποθανεῖται.*

LIV. *Ὅθεν ἀδύνατόν ἐστιν ἄνευ τῆς τούτου διδασκαλίας ἀληθείᾳ σωζούσῃ ἐπιστῆναι, κἂν τὸν αἰῶνα τις ζητῇ, ἔνθα τὸ ζητούμενον οὐκ ἔστιν. ἦν δὲ καὶ ἔστιν ἐν τῷ Ἰησοῦ ἡμῶν λόγῳ. πλὴν τἀληθῆ* [2] *τοῦ νόμιου εἰδὼς Σαδδουκαίοις πυνθανομένοις, καθ' ὃν λόγον Μωϋσῆς ἑπτὰ συνεχώρησεν γαμεῖν, ἔφη* [3]*· Μωϋσῆς κατὰ τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν. ἀπ' ἀρχῆς γὰρ οὕτως οὐκ ἐγένετο. ὁ γὰρ κτίσας ἀπ' ἀρχῆς τὸν ἄνθρωπον ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτόν.*

LV. *Τοῖς δὲ νομίζουσιν, ὡς αἱ γραφαὶ διδάσκουσιν, ὅτι ὁ θεὸς ὀμνύει, ἔφη· ἔστω ὑμῶν τὸ ναί, ναί, καὶ* [4] *τὸ οὔ, οὔ. τὸ γὰρ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν. καὶ τοῖς λέγουσιν ὅτι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ* [5] *Ἰακὼβ ἀπέθανον* [6]*, ἔφη· οὐκ ἔστιν θεὸς νεκρῶν, ἀλλὰ ζώντων. τοῖς δὲ οἰομένοις ὅτι ὁ Θεὸς πειράζει, ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη· ὁ πονηρός ἐστιν ὁ πειράζων, ὁ καὶ αὐτὸν πειράσας. τοῖς δὲ* [7] *ὑπολαμβάνουσιν, ὅτι ὁ Θεὸς οὐ προγινώσκει, ἔφη* [8]*· οἶδε γὰρ ὁ πατὴρ ὑμῶν* [9] *ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων, πρὶν αὐτὸν ἀξιώσετε. τοῖς δὲ πιστεύουσιν, ὡς αἱ*

*nus Deus noster ex fratribus vestris, sicut me; ipsum in omnibus audite. Qui autem non audierit prophetam illum, morietur.*

LIV. Quare impossibile est, sine ipsius doctrina salutiferae insistere veritati, quamvis in aeternum quis quaerat, ubi quod quaeritur non consistit, constitit autem et consistit in Jesu nostri sermone. Itaque cum sciret vera legis, Sadducaeis interrogantibus, qua ratione Moyses matrimonium cum septem contrahere permisisset, respondit: *Moyses ad duritiam vestram permisit vobis. Ab initio enim non fuit sic. Qui enim ab initio creavit hominem, masculum et feminam fecit eum.*

LV. Iis vero qui arbitrantur, quemadmodum docent Scripturae, Deum jurare, dicit: *sit sermo vester, est, est; et non, non: quod enim his abundantius est, a malo est.* Et iis qui dicunt, Abrahamum, Isaacum et Jacobum esse mortuos, ait: *non est Deus mortuorum, sed viventium.* Iis autem qui Deum putant esse tentatorem, sicut aiunt Scripturae, dicit, tentatorem esse Diabolum, qui et tentavit eum. Iis vero qui Deum suspicantnr non praescire, infit: *scit enim pater vester coelestis, quia his omnibus indigetis, antequam petatis eum.*

1. καὶ O.
2. τὰ ἀληθῆ O, in cujus marg. monetur: νόθα κατὰ νόμον.
3. Matth. 22, 23. 19, 8. 4.
4. καὶ inserui c. O. Matth. 5, 37.
5. καὶ om. O hic et post Ἰακώβ.
6. Ita conj. C, ἀπέθανεν id. in textu, ut O. Matth. 22, 32. Vbb. οὐκ ἔστιν — ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη des. in O.
7. δὲ praetermiserunt Cl et S.
8. Matth. 6, 8. 32.
9. ὑμῶν om. O. Tum ἀξιώσητε C.

www.libtool.com.cn

γραφαὶ λέγουσιν, ὅτι μὴ πάντα βλέπει, ἔφη[1]· ἐν τῷ κρυπτῷ εὔχεσθε, εἶπε[2], καὶ ὁ πατὴρ ὑμῶν ὁ βλέπων τὰ κρυπτὰ ἀποδώσει ὑμῖν.

LVI. Τοῖς δὲ οἰομένοις αὐτὸν μὴ ἀγαθὸν εἶναι, ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη· τίνα ὑμῶν[3] αἰτήσει υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθὺν αἰτήσει, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτουμένοις αὐτὸν καὶ τοῖς ποιοῦσι τὸ θέλημα αὐτοῦ; τοῖς δὲ αὐτὸν[4] διαβεβαιουμένοις ἐν ναῷ εἶναι, ἔφη· μὴ ὀμόσητε τὸν οὐρανόν, ὅτι θρόνος ἐστὶ Θεοῦ[5], μήτε τὴν γῆν, ὅτι ὑποπόδιον τῶν ποδῶν αὐτοῦ ἐστιν. τοῖς δὲ προλαβοῦσιν, ὅτι θυσιῶν ὀρέγεται ὁ Θεός, ἔφη[6]· ὁ Θεὸς ἔλεος θέλει καὶ οὐ θυσίας, ἐπίγνωσιν αὐτοῦ καὶ οὐχ ὁλοκαυτώματα.

LVII. Τοῖς δὲ πειθομένοις κακὸν αὐτὸν εἶναι, ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη· μή με λέγετε[7] ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστιν. καὶ πάλιν[8]· γίνεσθε ἀγαθοὶ καὶ οἰκτίρμονες, ὡς ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνατέλλει τὸν ἥλιον ἐπ' ἀγαθοῖς καὶ πονηροῖς, καὶ φέρει[9] τὸν ὑετὸν ἐπὶ δικαίοις καὶ ἀδίκοις. τοῖς δὲ ἠπατημένοις πολλοὺς θεοὺς ὑπονοεῖν, ὡς αἱ γραφαὶ λέγουσιν, ἔφη[10]· ἄκουε Ἰσραήλ, κύριος ὁ Θεός σου[11] κύριος εἷς ἐστιν.

Et iis qui juxta Scripturas credunt Deum non omnia cernere, *orate*, inquit, *in abscondito, et pater vester, qui videt abscondita, reddet vobis.*

LVI. Existimantibus porro Deum non esse bonum, ut aiunt Scripturae, ita locutus est: *a quo ex vobis filius petet panem, numquid lapidem porriget ei? Aut et piscem petet, numquid serpentem ei porriget? Si ergo vos, cum sitis mali, nostis bona dona dare filiis vestris, quanto magis pater coelestis dabit bona petentibus se et facientibus voluntatem suam?* Asserentibus autem, eum in templo esse, dixit: *nolite jurare per coelum, quia thronus Dei est, neque per terram, quia scabellum est pedum ejus.* Et praesumentibus, Deum sacrificiis delectari, ait: *Deus misericordiam vult, et non sacrificia, agnitionem suam, et non holocausta.*

LVII. Ad eos autem, qui secundum Scripturas Deum esse malum credunt, ait: *ne me dicatis bonum, unus etenim bonus est.* Et rursus: *estote boni et misericordes, sicut pater, qui in coelis est, qui solem oriri facit super bonos et malos, et pluviam demittit super justos et injustos.* Ad eos vero, qui in eam fraudem inducti sunt, ut cum Scripturis censeant multos esse Deos, sic loquitur: *audi Israel, Dominus Deus tuus Deus unus est.*

1. ἔφη om. C.
2. Ita S, εἰπὼν C O. Matth. 6, 6.
3. ὑμῶν excidit ap. Cl et S. Luc. 11, 11. Matth. 7, 9.
4. Repetuntur vbb. διὰ αὐτὸν in O. Matth. 5, 35.
5. Θεοῦ ἐστιν Cot.
6. Matth. 9, 13. 12, 7.
7. λέγε O. Matth. 9, 13.
8. Luc. 6, 36. Matth. 5, 45. Credner, Beitr. I, 309. S.
9. φέρει O mendose.
10. Marc. 12, 29.
11. ὑμῶν C.

www.libtool.com.cn

LVIII. Ὅμως ὁ Σίμων, συνιδὼν ὅτι Πέτρος αὐτὸν συνάγει ταῖς γραφαῖς χρῆσθαι ὡς Ἰησοῦς ἐδίδαξεν, εἰς τὴν [1] περὶ Θεοῦ λόγον ἐξέτασιν γενέσθαι οὐκ ἠθέλησεν, καί τοί γε μεταθεμένου τοῦ Πέτρου, ὡς αὐτὸς Σίμων ἠξίωσεν, πρὸς πεῦσιν καὶ ἀπόκρισιν γενέσθαι τὴν ἐξέτασιν. πλὴν ἡ ζήτησις τριῶν ἐπεκράτησεν ἡμερῶν. ἐπιφωσκούσης δὲ τῆς τετάρτης νύχιος ὡς ἐπὶ Τύρον τῆς Φοινίκης ἐξώρμησεν. καὶ οὐ μετὰ πολλὰς ἡμέρας ἦλθόν τινες τῶν προόδων, Πέτρῳ λέγοντες· Σίμων μεγάλα θαυμάσια ἐν Τύρῳ ποιῶν πολλοὺς τῶν ἐκεῖ κατεπλήξατο, καί σε πολλαῖς διαβολαῖς μισεῖσθαι ἐποίησεν.

LIX. Ταῦτα ἀκούσας ὁ Πέτρος, τῇ ἐπιούσῃ νυκτὶ τῶν ἀκροατῶν τὸν ὄχλον συνελθεῖν ἐποίησεν. ὁμῶς συνελθοῦσιν ἔφη· ὁρμῶντός μου [2] εἰς τὰ ἔθνη τὰ πολλοὺς θεοὺς λέγοντα, κηρῦξαι καὶ διδάξαι ὅτι εἷς ἐστιν ὁ Θεός, ὃς οὐρανὸν ἔκτισε καὶ γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα, ὅπως ἀγαπήσαντες αὐτὸν σωθῆναι δυνηθῶσιν, προλαβοῦσα ἡ κακία τῷ [3] τῆς συζυγίας νόμῳ προαπέστειλε Σίμωνα, ἵνα οἱ ἄνθρωποι, ἐὰν τοὺς πολλοὺς θεοὺς λέγειν παύσωνται, καταγνόντες τῶν ἐπὶ γῆς λεγομένων, ἐν οὐρανῷ πολλοὺς θεοὺς εἶναι νομίσωσιν [4]· ἵνα μηδέποτε τὸ τῆς μοναρχίας τιμήσαντες καλὸν εἰς τὸ παντελὲς μετὰ κόλασιν ἀπόλωνται. καὶ τὸ δεινότατον, ἐπεὶ ἀληθὴς λόγος ἀπαράβλητον ἰσχὺν ἔχει, προλαμβάνων ταῖς διαβολαῖς πείθει αὐτοὺς αὐτό,

LVIII. Itaque Simon, intelligens quod Petrus eum cogeret Scripturis uti quemadmodum docuit Jesus, inquisitionem noluit versari circa sermonem de Deo, licet Petrus rogatu ipsius consilium mutasset, inquisitionemque concessisset per interrogationem ac responsionem fieri. Caeterum disputatio per tres dies duravit. Quarto autem illucescente, Simon nocte versus Tyrum Phoeniciae profugit. Nec multis post diebus venerunt quidam eorum, qui praeire solebant, et dixerunt Petro: Simon magnas praestigias Tyri edendo multos incolarum perculit, teque multis calumniis odiosum reddidit.

LIX. Quae postquam audivit Petrus, insequenti nocte auditorum turbam fecit convenire, atque congregatis dixit: cum ego properarem ad gentes quae multos Deos asserunt, praedicaturus et docturus, unum esse Deum creatorem coeli et terrae omniumque quae in iis continentur, quo dilecto possent salutem consequi, praeveniens malitia ex conjugationis lege praemisit Simonem, ut homines, si forte multos Deos, damnatis iis qui in terra dicuntur, desinerent affirmare, jam multos in coelo exsistere putarent; quo, dum monarchiae seu unitatis Dei bonum nullatenus in pretio habent, in perpetuum post supplicia intereant. Quodque pessimum est, quia verus sermo incomparabilem habet vim, anticipans Simon calumniis persuadet hominibus ne me ullo modo reci-

1. Ita S, τὸν C. O.
2. ἐπειδὴ ὁρμῶντός μου p. ὁρμῶντός μου O.
3. αὐτῷ C.
4. νομίσουσιν C.

www.libtool.com.cn

μηδὲ τὴν ἀρχὴν ἀναδέξασθαί μου[1]· μή πως ὁ διαβάλλων αὐτὸς τῷ ὄντι διάβολος ἐλεγχθῇ, καὶ ὁ ἀληθὴς λόγος ἀναδειχθεὶς πιστευθῆναι δυνηθῇ. χρὴ οὖν με ταχέως αὐτὸν ἐπικαταλαβεῖν, ἵνα μὴ ἡ διαβολὴ ἐγχρονίσασα παντελῶς πάντων ἐπικρατήσῃ[2].

LX. Ἐπεὶ οὖν δεῖ τινα ὁρίσαι ἀντ' ἐμοῦ τὸν ἐμὸν ἀναπληροῦντα τόπον, μιᾷ προαιρέσει δεηθῶμεν τοῦ Θεοῦ[3] οἱ πάντες, ὅπως τῶν ὄντων ἐν ἡμῖν τὸν[4] κρείττονα αὐτὸς πρόδηλον ποιήσῃ, ἵνα ἐπὶ τῆς Χριστοῦ καθέδρας καθεσθεὶς τὴν αὐτοῦ ἐκκλησίαν εὐσεβῶς οἰκονομῇ. τίς ἄρα ὁρισθήσεται; Θεοῦ γὰρ βουλῇ[5] ἀναδείκνυται μακάριος ὁ ἄνθρωπος ἐκεῖνος, ὃν κατασταθήσει ὁ κύριος[6] αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συνδούλων αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὰς τροφὰς ἐν καιρῷ αὐτῶν, μὴ ἐννοούμενον καὶ λέγοντα ἐν τῇ καρδίᾳ αὐτοῦ· χρονίζει ὁ κύριός μου ἐλθεῖν· καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίων καὶ πίνων μετά τε[7] πόρνων καὶ μεθυόντων· καὶ ἥξει ὁ κύριος[8] τοῦ δούλου ἐκείνου ἐν ὥρᾳ ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ἡμέρᾳ ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτόν, καὶ τὸ ἀπιστοῦν αὐτοῦ μέρος μετὰ τῶν ὑποκριτῶν θήσει.

LXI. Εἰ δέ τις τῶν παρεστώτων, διοικεῖν δυνάμενος τὴν ἀγνωμοσύνην τῶν ἀνθρώπων, ὑποστέλλεται, τῆς αὐτοῦ ἀναπαύσεως φροντίζων μόνης, καὶ αὐτὸς προσδοκάτω ἀκοῦσαι· δοῦλε πονηρὲ καὶ ὀκνηρέ, ἔδει σε τὸ

piant, ne forte, qui calumniatur, revera esse calumniator deprehendatur, et ne verus sermo, cum fuerit patefactus, credi possit. Oportet ergo me cito hominem assequi, ut ne calumnia diutius immorata omnes penitus invadat.

LX. Quoniam igitur necesse est aliquis constituatur qui meum suppleat locum, uno animo Deum cuncti oremus, ut eorum qui inter nos sunt praestantissimum manifestet, quo sedens in Christi cathedra ipsius ecclesiam pie administret. Quis autem designabitur? Dei quippe pronunciatur consilio beatus ille homo, quem constituet ejus dominus super famulitium conservorum suorum, ut det illis cibum in tempore, qui non cogitat ac dicit in corde suo, moram facit dominus meus venire: si enim sic coeperit percutere conservos, manducans et bibens cum meretricibus ac ebriosis, veniet dominus servi illius in hora qua non sperat et in die quo nescit, et dividet eum, partemque ejus infidelem ponet cum hypocritis.

LXI. Quod si quis adstantium, cum possit hominum improbitatem regere, tamen detrectat, de sua solum quiete sollicitus, et ipse exspectet audire: *serve male et piger, oportuit te tradere pecuniam meam nummulariis, et ego veniens*

1. Lege με S.
2. ἐπικρατήσει O.
3. τοῦ Θ. δεηθῶμεν C.
4. τὸν om. C.
5. Ita O c. D, βουλὴ C.
6. Matth. 24, 45. Luc. 12, 42.
7. τε praetermiserunt Cl et S.
8. Matth. 25, 26. Luc. 19, 22. ἐκείνου excidit ap. Cl et S.

ἀργύριόν μου προβαλεῖν ἐπὶ τῶν τραπεζιτῶν, καὶ ἐγὼ ἂν ἐλθὼν ἔπραξα τὸ ἐμόν· ἐκβάλετε[1] τὸν ἀχρεῖον δοῦλον εἰς τὸ σκότος τὸ ἐξώτερον. καὶ εὐλόγως. σοῦ γάρ, φησίν, ἄνθρωπε, τοὺς λόγους μου ὡς ἀργύριον ἐπὶ τραπεζιτῶν βαλεῖν[2] καὶ ὡς χρήματα δοκιμάσαι. τὸ οὖν πλῆθος τῶν πιστῶν δεῖ ἑνί τινι πείθεσθαι, ἵνα οὕτως ἐν ὁμονοίᾳ διατελεῖν δυνηθῇ. τὸ γὰρ εἰς ἀρχὴν μιᾶς λῆγον ἐξουσίας, μοναρχίας εἰκόνι, τοὺς ὑπείκοντας αἰτίᾳ εὐταξίας εἰρήνης ἀπολαύειν τίθησιν· τὸ δὲ[3] πάντας φιλαρχοῦντας ἑνὶ μόνῳ ὑπεῖξαι μὴ θέλειν, καὶ αἰτίᾳ[4] διαιρέσεως πάντως καὶ περιπεσεῖν[5] ἔχουσιν.

LXII. Ἀλλ' ἔτι μὴν πειθέτω τὰ παρ' ὀφθαλμοῖς τιθέμενα[6], πῶς νῦν πολλῶν κατὰ πᾶσαν τὴν γῆν ὄντων βασιλέων συνεχῶς πόλεμοι γίνονται. ἔχει γὰρ ἕκαστος πρόφασιν εἰς πόλεμον τὴν ἑτέρου ἀρχήν. ἐὰν δὲ εἷς ᾖ τοῦ παντὸς ἡγεμών, οὗ εἵνεκεν πολεμεῖ οὐκ ἔχων αἴδιον τὴν εἰρήνην ἔχει. πέρας γοῦν ὁ Θεὸς τοῖς καταξιουμένοις αἰωνίου ζωῆς ἕνα ἐν τῷ τότε αἰῶνι βασιλέα τοῦ παντὸς καθίστησιν, ἵνα αἰτίᾳ μοναρχίας ἄπτωτος εἰρήνη γένηται[7]. χρὴ οὖν ἑνί τινι ὡς ὁδηγῷ τοὺς πάντας ἕπεσθαι, ὡς εἰκόνα Θεοῦ προτιμῶντας, τὸν δὲ ὁδηγὸν εἶναι τῆς εἰς τὴν ἁγίαν πόλιν εἰσιούσης εἰσόδου ἐπιστήμονα.

LXIII. Τίνα δὲ ἄλλον αἱρήσομαι τῶν παρόντων, ἢ Ζακχαῖον, πρὸς

*exegissem quod meum est. Ejicite inutilem servum in tenebras exteriores.* Et merito. Tuum enim, inquit, est, o homo, probare verba mea, tamquam apud nummularios argentum et pecuniam pendere. Itaque fidelium multitudo uni debet credere, ut ita possit vivere concorditer. Quod enim in unius potestatis imperium desinit, monarchiae repraesentatione, facit ut subjecti per bonum ordinem fruantur pace: qui vero omnes volunt imperare, nec uni soli cedere, ob divisionem penitus concidant necesse est.

LXII. Sed et te persuadeant quae ante oculos posita obversantur. Scilicet nunc, cum multi per omnem terram sint reges, assidue bella oriuntur. Unusquisque enim occasionem ad bellum sumit ex alterius imperio. Si autem unus esset mundi imperator, ille desinente bellandi causa aeternam obtineret pacem. Denique iis qui vitam perpetuam consequentur, unum Deus in illo saeculo constituit universi regem, ut per monarchiam pax exoriatur stabilis. Debent itaque cuncti unum tamquam viae ducem sequi, sicque Dei imaginem honorare: is autem ductor scire debet viam, qua intratur in sanctam civitatem.

LXIII. Quem vero alium ex adstantibus eligam. quam Zacchaeum, apud

1. *ἐμβάλετε* O.
2. *βαλεῖν* adjunxi c. O.
3. Legendum *τῷ δέ*. S.
4. *αἰτίαν* var. lect. ap. Turrian. pro Epist. Pontif. 5, 9.
5. *πεσεῖν* C.
6. *γινόμενα* C.
7. *γένηται* O. Ita legendum esse notat S, quamquam et ipse repetit lect. Ci *γεγένηται*.

www.libtool.com.cn

ὃν καὶ ὁ κύριος ἡμῶν[1] εἰσιὼν ἀνεπαύσατο, τοῦ σώζεσθαι κρίνας ἄξιον εἶναι; καὶ τοῦτο εἰπών, παρεστῶτι τῷ Ζακχαίῳ ἐπιβαλὼν τὴν χεῖρα, ἐβιάζετο ἐπὶ τὴν αὐτοῦ καθεσθῆναι καθέδραν. ὁ δὲ Ζακχαῖος προσπεσὼν τοῖς ποσὶν αὐτοῦ ἐδέετο, ὅπως τοῦ ἄρχειν αὐτὸν ἀπολύσῃ, μετὰ τοῦ ὑπισχνεῖσθαι καὶ λέγειν, ὅτι ὁπόσα ποτὲ χρὴ τὸν ἄρχοντα ποιεῖν, ποιήσω, μόνον μοι τὸ ὄνομα τοῦτο μὴ ἔχειν χάρισαι· εὐλαβοῦμαι γὰρ τὸ τῆς ἀρχῆς ἐνδύσασθαι ὄνομα· πικροῦ γὰρ φθόνου καὶ κινδύνου γέμει.

LXIV. Καὶ ὁ Πέτρος ἔφη· εἰ τοῦτο εὐλαβῇ, ἄρχων μὲν μὴ καλοῦ, ἀλλὰ ὁ καθεστάς, τοῦτο τοῦ κυρίου δεδωκότος λέγεσθαι, τῷ εἰπεῖν[2]· μακάριος ὁ ἄνθρωπος ἐκεῖνος, ὃν κατασήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συνδούλων αὐτοῦ. εἰ δὲ παντελῶς οὐ θέλεις γνωσθῆναι ὅτι ἐξουσίαν διοικήσεως ἔχεις, ἀγνοεῖν μοι ἔοικας, ὅτι ἡ ὁμολογουμένη τοῦ προκαθεζομένου ἐξουσία πολύ τι δύναται πρὸς δυσωπίαν τοῦ πλήθους. ὡς[3] γὰρ εἰληφότι τὴν ἐξουσίαν ἕκαστος πείθεται, ὡς μεγάλην ἀνάγκην τὴν συνείδησιν ἔχων. τί δὲ οὐχὶ καὶ ἀσφαλῶς γινώσκεις, ὅτι οὐχ ὡς οἱ ἄρχοντες τῶν ἐθνῶν ἄρχειν ἔχεις, ἀλλ' ὡς δοῦλος αὐτοῖς ὑπηρετῶν, ὡς πατὴρ ἀδικουμένοις[4], ὡς ἰατρὸς ἐπισκεπτόμενος, ὡς ποιμὴν φυλάσσων, συνελὼν ἐρῶ, τὰς πάσας ὑπὲρ τῆς αὐτῶν σωτηρίας φροντίδας ἔχων; ὅτι οἶει ἄγνοεῖν με, οἵους καμάτους ἀναδέξασθαί σε βιάζομαι, ὑπὸ ὄχλων κρίνεσθαι

quem et dominus noster ingressus mansit, judicans dignum esse qui salvaretur? Quo dicto manum praesenti Zacchaeo injiciens, cogebat eum in sua cathedra sedere. At Zacchaeus accidens ad pedes ejus rogabat, uti principatu ipsum liberaret: simulque pollicebatur ac dicebat: quaecumque qui praeest facere debet, faciam, tantum mihi dona non habere hoc nomen: vereor enim principatus nomen induere, quoniam acerba invidia et periculo abundat.

LXIV. Dixit Petrus: si hoc vereris, noli princeps vocari, sed constitutus seu praefectus, eam quippe appellationem dominus concessit per haec verba: *beatus ille homo, quem ejus dominus constituet super familitium conservorum suorum.* Quod si omnino refugis agnosci pro eo qui habeat gubernandi potestatem, ignorare videris, professam praesidentis potestatem multum valere ad persuadendam flectendamque plebem. Ei quippe tamquam potestatem adepto credunt singuli, conscientiam pro magna necessitate habentes. Quid vero, nonne et certo scis, te non ut principes gentium imperare debere, sed ut servum ministrare hominibus, ut patrem tueri injuria affectos, ut medicum visitare, ut pastorem custodire, uno verbo, cunctas pro eorumdem salute suscipere curas? An putas ignorare me, quales te compellam labores sumere, dum

1. ἡμῶν deest ap. C.
2. Matth. 24, 45. Luc. 12, 42.
3. τῷ conj. D. — Seq. τὴν add. c. O.
4. διακηδόμενος conj. D, ἀνιώμενος vel ἀδίκων νίῶν conj. Cl. Ego scribendum putaverim ἀδικούμενος. S.

www.libtool.com.cn

σε ἀξιῶν, οἷς ἀρέσαι τινὰ ἀμήχανον; Θεῷ δὲ εὖ πράττοντα[1] δυνατώτατον. διὸ δέομαι προθύμως ἀναδέξασθαι, διὰ Θεόν[2], διὰ Χριστόν, ὑπὲρ τῆς ἀδελφῶν σωτηρίας, ὑπὲρ αὐτῶν[3] οἰκονομίας καὶ σῆς ὠφελείας.

LXV. Καὶ τὸ ἕτερον δὲ λόγισαι, ὅτι, ὥσπερ κάματον καὶ κίνδυνον ἔχει τὸ τὴν Χριστοῦ ἐκκλησίαν οἰκονομεῖν, τοσοῦτῳ μείζων ὁ μισθός· ἀλλ' ἔτι μὴν καὶ ἡ κόλασις μείζων τῷ δυναμένῳ καὶ ἀπειθήσαντι. βούλομαι οὖν, πολυμαθέστερον εἰδώς σε τῶν παρεστώτων, δανείζειν[4] καλὰς γνώμας, ἃς παρὰ τοῦ κυρίου πεπίστευσαι. ἵνα, εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, ἀκούσῃς, καὶ μὴ[5] ὥσπερ ὁ τὸ ἓν ἀποκρύψας τάλαντον, ἔγκλημα λαβὼν κολάσει ὑπεύθυνος ἀναφανῇς. εἰ δὲ μὴ βούλει ἀγαθὸς φύλαξ κατασταθῆναι[6] τῆς ἐκκλησίας, ἕτερον ἀντὶ σοῦ μήνυσον, σοῦ πολυμαθέστερον καὶ πιστότερον. ἀλλ'[7] οὐ δώσεις. σὺ γὰρ καὶ τῷ κυρίῳ συνῆς, καὶ τὰς θαυμασίους πράξεις ἱστόρησας, καὶ διοίκησιν ἐκκλησίας μεμάθηκας.

LXVI. Καὶ σοῦ μὲν ἔργον ἐστὶ κελεύειν ἃ δεῖ, τῶν ἀδελφῶν[8], ὑπείκειν καὶ μὴ ἀπειθεῖν. ὑπείξαντες μὲν οὖν σωθήσονται, ἀπειθήσαντες δὲ ὑπὸ τοῦ Χριστοῦ[9] κολασθήσονται, ὅτι ὁ προκαθεζόμενος Χριστοῦ τόπον πεπίστευται. διὸ ἤτοι τιμὴ ἢ ὕβρις τοῦ προκαθεζομένου εἰς Χριστὸν φέ-

te volo a plebe judicari, cui placere nemo ullo studio potest; cum maxime fieri queat, ut, qui bene operatur, Deo gratus existat. Quocirca oro te, ut alacriter episcopatum suscipias, propter Christum, pro fratrum salute, pro eorumdem gubernatione, et tua utilitate.

LXV. Aliud etiam reputa, quod, sicut labore et periculo non caret, gubernare ecclesiam Christi, eo major est merces, sed et major poena ei qui potest, recusat tamen. Cupio igitur, qui te sciam adstantium eruditissimum, foenori des pulchras sententias, quae tibi a domino traditae sunt; ut audias: *Euge serve bone et fidelis*, et non, quemadmodum qui unum talentum abscondit, opprobrium feras, et obnoxius supplicio declareris. Sin vero non vis bonus ecclesiae constitui custos, alium pro te indica, qui te sit doctior ac fidelior. Sed non dabis. Tu enim et cum domino versatus es ac vidisti mirabilia opera, et ecclesiae administrationem didicisti.

LXVI. Tuae igitur partes sunt, jubere ea, quae oportet; partes fratrum, subjicere se et non refragari. Subjicientes ergo se salvi fient: refragantes vero a Christo punientur. Quoniam qui praesidet, Christi locum accepit. Quare praesidentis sive honor sive contumelia ad Christum refertur, et a Christo ad

1. *Θεὸν δὲ εὖ πράττοντα πείθειν* C.
2. *διὰ Θεόν* om. O.
3. *ὑπὲρ τῆς αὐτῶν* C.
4. *δανίζει* O.
5. Matth. 25, 21. *μὴ* non omittere debebat S c. Cl.
6. D legi vult *κατασταθῆναι*.
7. *ἀλλὰ* O.
8. *τοὺς ἀδελφούς* O.
9. *κυρίου* C.

ρεται, ἀπὸ δὲ Χριστοῦ εἰς Θεὸν [1] ἀναφέρεται. τοῦτο δὲ εἴρηκα, ἵνα καὶ αὐτοὶ οἱ ἀδελφοὶ τῆς πρός σε ἀπειθείας τὸν κίνδυνον αὐτῶν [2] μὴ ἀγνοῶσιν, ὅτι ὃς ἄν σοι κελεύσαντι ἀπειθήσῃ, Χριστῷ ἀπειθεῖ [3], Χριστῷ δὲ ἀπειθήσας Θεόν παροργίζει.

LXVII. Χρὴ οὖν τὴν ἐκκλησίαν, ὡς πόλιν ἐν ὕψει οἰκοδομουμένην [4], [5] φιλόθεον ἔχειν τάξιν καὶ διοίκησιν καλήν. πρὸ πάντων ὁ ἐπίσκοπος ὡς ἄρχων περὶ ὧν λέγει ἀκουέσθω. οἱ πρεσβύτεροι τὰ κελευόμενα γίνεσθαι [5] σπουδαζέτωσαν. οἱ διάκονοι ἐκπεριερχόμενοι τῶν ἀδελφῶν τὰ σώματα καὶ τὰς ψυχὰς ἐπισκεπτέσθωσαν, καὶ τῷ ἐπισκόπῳ ἀντιβαλλέτωσαν. οἱ λοιποὶ πάντες ἀδελφοὶ τὸ ἀδικεῖσθαι ἀναδεχέσθωσαν· εἰ δὲ κρίνεσθαι θέλουσι περὶ ὧν ἀδικοῦνται, ἐπὶ τῶν πρεσβυτέρων συμβιβαζέσθωσαν· τὸν δὲ συμβιβασμὸν οἱ πρεσβύτεροι τῷ ἐπισκόπῳ προσαναφερέτωσαν.

LXVIII. Νέων δὲ μὴ μόνον κατεπειγέτωσαν [6] τοὺς γάμους, ἀλλὰ καὶ τῶν προβεβηκότων, μή πως ζέουσα ἡ ὄρεξις προφάσει πορνείας ἢ μοιχείας λοιμὸν προσενέγκῃ [7] τῇ ἐκκλησίᾳ. ὑπὲρ πᾶσαν γὰρ ἁμαρτίαν ἡ τῆς μοιχείας ἀσέβεια Θεῷ ἐστύγηται, ὅτι οὐ μόνον αὐτὸν τὸν ἁμαρτήσαντα ἀναιρεῖ, ἀλλὰ καὶ τοὺς συνεστιωμένους καὶ συναμιλλωμένους· λύσσῃ γὰρ ἔοικεν, ὅτι τῆς ἰδίας μανίας μεταδιδόναι φύσιν ἔχει. σωφροσύνης οὖν χάριν σπευδέτωσαν τοὺς γάμους ἐπιτελεῖν μὴ μόνον οἱ πρεσβύτεροι, ἀλλὰ καὶ

Deum. Id autem prolocutus sum, ut ipsi quoque fratres non ignorent, quanto in periculo versentur qui tibi non obtemperabunt. Nam qui tibi jubenti non obtemperabit, Christo non obediet, et dum non obedit Christo, Deum ad iram incitat.

LXVII. Oportet ergo ut ecclesia, velut civitas in excelso aedificata, Deo dignum habeat ordinem praeclaramque administrationem. Ante omnia episcopus, velut rector, in iis quae dicit audiatur. Presbyteri curent fieri quae jubentur. Diaconi circumambulantes considerent fratrum corpora et animas, atque episcopo denuncient. Reliqui omnes fratres affici injuria suscipiant libenter. Quodsi de iis, in quibus injuria afficiuntur, cupiunt judicari, apud presbyteros concilientur, et presbyteri conciliationem ad episcopum referant.

LXVIII. Non modo autem juvenes ad matrimonium compellant, sed et natu provectos, ne fervens cupiditas per fornicationem vel adulterium pestem in ecclesiam inferat. Super omne enim peccatum impietas adulterii odio a Deo habetur: quia non solum interficit ipsum peccatorem sed et convescentes ac congressos. Rabiei quippe est similis, quandoquidem a natura habet, ut suam communicet insaniam. Ergo propter castitatem festinent nuptias conci-

1. τοῦ Χρ. εἰς τὸν Θεὸν C.
2. Ita D approbante O; αὐτῷ C, qui conj. αὐτόν.
3. Ita S, ἀπειθῇ C O.
4. οἰκοδομημένην C, φκοδομημένην S.
5. γινέσθαι C.
6. Post κατεπειγέτωσαν repetuntur in O vbb. τὸν δὲ συμβιβασμὸν expuncta.
7. προσενέγκοι C.

libpool.com

οἱ πάντες. ἡ γὰρ τοῦ μοιχησαμένου ἁμαρτία ἐπὶ τοὺς πάντας ἐλθεῖν βιάζεται. τὸ [1] οὖν σπεύδειν σωφρονεῖν τοὺς ἀδελφούς, τοῦτο πρώτη ἐλεημοσύνη· ψυχῆς γάρ ἐστι θεραπεία· ἡ γὰρ τροφὴ τοῦ σώματος ἀνάπαυσίς ἐστιν.

LXIX. Ὁμῶς ἐὰν ἀγαπήσητε τοὺς ἀδελφοὺς ὑμῶν, οὐδὲν αὐτῶν ἀφαιρήσεσθε, ὧν δὲ ἔχετε μεταδώσετε [2]· πεινῶντας γὰρ θρέψετε, διψῶσι ποτὸν παρέξετε [3], γυμνοὺς ἐνδύσετε, νοσοῦντας ἐπισκέψεσθε, τοῖς ἐν εἱρκταῖς ὡς δυνατὸν βοηθήσετε, ξένους εἰς τὰ ἑαυτῶν σκηνώματα προθύμως ἀποδέξεσθε, μηδένα μισήσετε. ὡς δὲ δεῖ εὐσεβεῖν, εὐγνωμιονοῦντας ὑμᾶς ὁ ὑμέτερος διδάξει νοῦς. πρὸ δὲ πάντων, εἰ καὶ δεῖ ὑμῖν λέγειν, συνεχέστερον συνέρχεσθε, εἴθε [4] καθ' ὥραν, ἐπεί γε ἐν ταῖς νενομισμέναις τῆς [5] συνόδου ἡμέραις. ἐὰν γὰρ τοῦτο ποιῆτε [6], ἐντὸς τειχῶν ἀσυλίας ἐστέ· ἀρχὴ γὰρ ἀπωλείας ἀποταξία. μήτε οὖν προφάσει μικροψυχίας τῆς [7] πρὸς ἀδελφὸν ἀπολειπέσθω τις τοῦ συνεδρεύειν. ἐὰν γάρ τις ὑμῶν [8] ἀπολειφθῇ τοῦ συνάγεσθαι, τῶν σκορπιζόντων τὴν Χριστοῦ ἐκκλησίαν λογισθήσεται, καὶ ὡς τῶν κατὰ τῶν τοῦ Χριστοῦ μαθητῶν ὑπάρξας κολασθήσεται καὶ [9] μετὰ μοιχῶν ἀποβληθήσεται [10]. ὡς γὰρ μοιχὸς ὑπὸ τοῦ ἐν αὐτῷ πνεύματος προ-

liare non modo presbyteri verum etiam omnes. Nam moechi delictum ad omnes necessario venit. Prima ergo misericordia est, fratres ad pudicitiam impellere, quoniam animae est medela, at cibus corporis est recreatio.

LXIX. Caeterum si fratres vestros diligatis, nihil eorum auferetis, immo vestra communicabitis: esurientes nutrietis, sitientibus praebebitis potum, induetis nudos, visitabitis aegrotantes, carcere inclusis succurretis pro viribus, peregrinos in vestra tecta suscipietis lubenter, neminem odio prosequemini. Quo modo autem pie vivere oporteat, vos attentos vester docebit animus. Verum ante omnia, si et vobis dicere necesse sit, frequenter convenite, utinam singulis horis, alioquin conventus statis diebus. Nam si hoc feceritis, intra muros estis asyli. Perditionis quippe initium est ista desertio. Ne igitur quis, praetextu quod animo erga fratrem pusillo ac iniquo sit, desistat convenire. Si enim aliquis vestrum a congregatione destiterit, cum iis reputabitur qui Christi dissipant ecclesiam, et ut ejus discipulorum inimicorum princeps punietur atque cum adulteris ejicietur. Nam tanquam adulter, per spiritum in

1. τοῦ C.
2. μεταδώσητε C. Tum idem θρέψητε.
3. παρέχετε (lege παρέξητε D) C, qui deinde exh. ἐνδύσετε — ἐπισκέψησθε — βοηθήσητε — ἀποδέξασθε — μισήσητε.
4. συνδέχεσθε, εἶσθε p. συνέρχεσθε, εἴθε O.
5. ταῖς O.
6. Ita O c. S, ποιεῖτε C. Tum ἀσυχίας p. ἀσυλίας O.
7. Ita O c. S, τῇ C.
8. ὕμων O pr. man.
9. Vbb. καὶ ὡς τῶν κατὰ τῶν τοῖ Χριστοῦ μαθητῶν ὑπάρξας κολασθήσεται, accesserunt ex O. Subsequens καὶ addidi ex conjectura.
10. βληθήσετε O, qui tum μοιχὸν.

www.libtool.com.cn

φάσει τινὸς ἑαυτὸν ἀφώρισεν, καὶ τῷ πονηρῷ κατ' αὐτοῦ χώραν ἔδωκε πρόβατον ἁρπάσαι[1], ὡς μανδρῶν ἔξω εὑρεθέν.

LXX. Πλὴν τοῦ ἐπισκόπου ὑμῶν ἀκούετε, καὶ τιμὴν πᾶσαν αὐτῷ ἀπονέμοντες μὴ κάμητε, εἰδότες[2] ὅτι προφάσει τῇ πρὸς αὐτὸν εἰς Χριστὸν φέρετε, ἀπὸ δὲ Χριστοῦ εἰς Θεὸν ἀναφέρετε[3]· καὶ τῷ προσενέγκαντι πολυπλασίως ἀνταποδίδοτε[4]. θρόνον οὖν Χριστοῦ τιμήσετε[5]· ὅτι καὶ Μωυσέως καθέδραν τιμᾶν ἐκελεύσθητε, κἂν οἱ προκαθεζόμενοι ἁμαρτωλοὶ νομίζωνται[6]. καὶ ταῦτα μὲν ὑμῖν αὐτάρκως εἴρηται· αὐτῷ δὲ, πῶς ἀμέμπτως βιοῦν, περιττὸν ἡγοῦμαι λέγειν, ὁπότε τοῦ κἀμὲ διδάξαντος δόκιμος ὑπάρχῃ μαθητής.

LXXI. Πλὴν ἀδελφοί, ἔνια οὐ χρὴ ἀναμένειν ἀκούειν, ἀλλὰ καὶ ἀφ' ἑαυτῶν τὸ εὔλογον νοεῖν. Ζακχαῖος μόνος[7] ὑμῖν ὅλος ἑαυτὸν ἀσχολεῖν ἀποδεδωκώς, κοιλίαν ἔχων καὶ ἑαυτῷ μὴ εὐσχολῶν, πῶς δύναται τὴν ἀναγκαίαν πορίζειν τροφήν; οὐχὶ δὲ εὔλογόν ἐστι πάντας ὑμᾶς τοῦ ζῆν αὐτοῦ πρόνοιαν[8] ποιεῖν, οὐκ ἀναμένοντας αὐτὸν ὑμᾶς αἰτεῖν, τοῦτο γὰρ προσαιτοῦντός ἐστιν· μᾶλλον δὲ τεθνήξεται λιμῷ, ἢ τοῦτο ποιεῖν ὑποσταίη[9].

ipso exsistentem, praetextu quodam sumpto, seipsum separavit, et malo locum contra se dedit, ut ovem raperet, nimirum extra caulas inventam.

LXX. Porro episcopum vestrum audite, omnemque ei honorem tribuere ne cessetis: scitote quod per illum adducimini ad Christum, et a Christo ad Deum. Adducenti ergo multipliciter retribuite. Honorate Christi thronum. Quandoquidem et Moysis cathedram honorare jussi estis, quamvis in ea praesidentes peccatores habeantur. Atque haec quidem vobis sufficienter sint dicta. Zacchaeo autem qua ratione inculpate vivat, superfluum puto dicere; cum etiam illius qui me docuit probus sit discipulus.

LXXI. Verum, fratres, nonnulla ut audiatis exspectare non oportet, sed ex vobis ipsis quod aequum est intelligere. Zacchaeus solus, se totum quo vobis vacet tradens, cum ventrem habeat, sibique non provideat, quo modo potest cibum necessarium comparare? Nonne vero justum est, ut omnes vos victus ejus curam geratis, neque exspectetis ut petat a vobis? hoc etenim mendico convenit, potius autem peribit fame, quam id facere sustineat. Et

1. ἁρπάσει S. Tum εὑρεθέντα C.
2. ἰδότες O.
3. C legi vult φέρεσθε et ἀναφέρεσθε, atque hanc scripturam in versione latina secutus est. Rectius D proposuit φέρεται et ἀναφέρεται (sc. ἡ τιμή), cfr. supra c. 66, ubi idem legitur iisdem paene verbis. Praeterea cum Cl scribendum προφάσει τῆς (sc. τιμῆς) πρὸς αὐτόν. Vertendum itaque: „scientes, quod sub specie honoris in ipsum (episcopum) collati fertur (honor ille) in Christum et a Christo ad Deum refertur" S.
4. ἀνταποδίδοται O.
5. τιμήσατε C. Tum μωυσέος O.
6. Ita O c. Turriano l. c., νομίζονται C.
7. Fortasse legendum μόνοις S. Tum ὅλως O.
8. αὐτοπρόνοιαν p. αὐτοῦ πρόνοιαν O.
9. Ita O c. S, ὑποστέῃ C.

www.libtool.com.cn

πῶς δὴ καὶ ὑμεῖς οὐ δίκην ὑφέξετε, μὴ λογισάμενοι ὅτι[1] ἄξιός ἐστιν ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ; καὶ μὴ λεγέτω τις· οὐκοῦν ὁ δωρεὰν παρασχεθεὶς λόγος πωλεῖται; μὴ γένοιτο. εἴ τις γὰρ ἔχων, πόθεν ζῇν, λάβῃ[2], οὗτος πωλεῖ τὸν λόγον, εἰ δὲ μὴ ἔχων τοῦ ζῆν χάριν λαμβάνει τροφήν, ὡς καὶ ὁ κύριος ἔλαβεν ἔν τε δείπνοις καὶ φίλοις, οὐδὲν ἔχων, ὁ εἰσαῦθις τὰ πάντα[3] ἔχων, οὐχ ἁμαρτάνει. ἀκολούθως οὖν τιμᾶτε πρεσβυτέρους, κατηχητάς, διακόνους χρησίμους, χήρας εὖ βεβιωκυίας, ὀρφανοὺς ὡς ἐκκλησίας τέκνα· ἀλλὰ καὶ ὁπότε χρεία τινὸς πόρου πρός τι[4] ἀναγκαῖον γένοιτο, ἅμα οἱ πάντες συμβάλλεσθε. εἰς ἀλλήλους εὐσεβεῖτε, μὴ ὀκνοῦντες πᾶν ὁτιοῦν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ὑπομένειν.

LXXII. Καὶ ταῦτα εἰπὼν ἐπέθηκε χεῖρα τῷ Ζακχαίῳ λέγων· Δέσποτα καὶ κύριε τῶν ὅλων, ὁ πατὴρ καὶ Θεός, σὺ διαφύλαξον ποιμένα μετὰ ποίμνης. σὺ ἡ πρόφασις, σὺ ἡ δύναμις. ἡμεῖς τὸ βοηθούμενον, σὺ ὁ βοηθός, ὁ ἰατρός, ὁ σωτήρ, τὸ τεῖχος, ἡ ζωή, ἡ ἐλπίς, ἡ καταφυγή, ἡ πρόσδοκία, ἡ ἀνάπαυσις· συνελὼν ἐρῶ· σὺ ἡμῖν τὰ πάντα· πρὸς αἰώνιον ὕπαρξιν σωτηρίας συνέργησον, ῥῦσαι, φύλαξον. πάντα δύνασαι. σὺ γὰρ ἄρχων ἀρχόντων, καὶ κύριος κυρίων, δεσπότης βασιλέων. σὺ δὸς ἐξουσίαν τῷ προκαθεζομένῳ, λύειν ἃ δεῖ λύειν, καὶ δεσμεῖν ἃ δεῖ δεσμεῖν. σὺ σύφισον· σὺ ὡς δι' ὀργάνου[5] δι' αὐτοῦ τὴν ἐκκλησίαν τοῦ Χριστοῦ σου ὡς πάλαι

qua ratione vos poenas non dabitis, si non reputaveritis, dignum esse operarium mercede sua? Nec dicat aliquis, an ergo gratis datus sermo venditur? Absit. Nam si quis, qui habet unde vivat, accipit, hic vendit sermonem: non peccat vero, si non habens accipiat cibum ad victum, sicut et Dominus in coenis et apud amicos accepit, qui nihil habebat, in posterum tamen omnia possidebit. Convenienter igitur honorate Presbyteros, Catechistas, Diaconos utiles, viduas recte viventes, orphanos velut filios ecclesiae. Sed et cum ad necessarium opus erit pecunia, omnes pariter conferte. Mutuo exercete pietatem, nec pigeat omnia pro salute vestra sustinere.

LXXII. Quibus dictis manum Zacchaeo imposuit, dicens: Here ac Domine omnium, pater et Deus, tu pastorem cum grege custodi. Tu causa, tu potestas. Nos sumus ii qui adjuvantur; tu adjutor, medicus, servator, murus, vita, spes, refugium, gaudium, exspectatio, requies; breviter dicam, tu nobis omnia es. Ad consequendam salutem aeternam opitulare, libera, custodi. Cuncta potes. Tu enim es princeps principum, et dominus dominorum, herus regum. Tu antistiti da potestatem solvendi quae oportet solvere et ligandi quae ligare oportet. Tu doce. Tu per eum tamquam per instrumentum ecclesiam Christi

1. Luc. 10, 7.
2. λάβοι C.
3. εἰς αὖθις πάντα C.
4. τι addidi e. O.
5. Vbb. δι' ὀργάνου, quae male exciderant e textu Schwegleriano, reposui c. O. In eodem seq. mendum δι' αὐτῶ.

www.libtool.com.cn

νύμφην διαφύλαξον. σοῦ γάρ ἐστιν δόξα αἰώνιος, ὕμνος, πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι [1], εἰς τοὺς σύμπαντας αἰῶνας. Ἀμήν.

LXXIII. Καὶ ταῦτα εἰπὼν μετὰ ταῦτα ἔφη· ὅσοι ποτὲ βαπτισθῆναι θέλετε, ἀπὸ τῆς αὔριον νηστεύειν ἄρξασθε, καὶ καθημέραν [2] χειροθετεῖσθε, καὶ περὶ ὧν θέλετε πυνθάνεσθε. ἔτι γὰρ ἡμερῶν δέκα ὑμῖν ἐπιμεῖναι θέλω. μετὰ δὲ τρεῖς ἡμέρας βαπτίζειν ἀρξάμενος, ἐμὲ φωνήσας καὶ Ἀκύλαν καὶ Νικήτην [3] ἔφη· μέλλων ἐπὶ τὴν Τύρον ὁρμᾶν μεθ' [4] ἡμέρας ἑπτὰ βούλομαι ἐξ αὐτῆς ὑμᾶς ἀπελθόντας, παρὰ τῇ Χαναανίτιδι [5] Βερνίκῃ Ἰούστης θυγατρὶ λανθανόντως ἐπιξενωθέντας, παρ' αὐτῆς τὰ κατὰ τὸν Σίμωνα ἀκριβῶς μαθόντας [6] γράψαι μοι. πολὺ γάρ μοι συμβάλλεται, ἵνα πρὸς αὐτὸ ἁρμόσωμαι. διὸ ἐξ αὐτῆς πορεύεσθε μετ' εἰρήνης. καὶ δὴ [7] βαπτίζοντα αὐτὸν ἐάσαντες, καθὼς ἐκέλευσεν, εἰς Τύρον αὐτὸν προήξαμεν τῆς Φοινίκης.

## ΟΜΙΛΙΑ Δ'.

I. Καισαρείας δὲ τῆς Στράτωνος ἐξιὼν ἐγὼ Κλήμης, ἅμα Νικήτης τε [8] καὶ Ἀκύλας, εἰς Τύρον τῆς Φοινίκης εἰσέβαλλον, καὶ κατ' ἐντολὴν

tui velut pulcram sponsam tutare. Ad te enim pertinet aeterna gloria, laus, patri et filio et spiritui sancto, in omnia saecula. Amen.

LXXIII. Quae cum dixisset, postea infit: quicumque baptizari vultis, ex crastino die jejunare incipite, et singulis diebus manus impositionem accipite, ac interrogate de quibus volueritis. Adhuc enim decem dies volo vobiscum manere. Post tres autem dies, cum baptizare coepisset, vocavit me et Aquilam et Nicetam, et dixit: Tyrum profecturus post septem dies volo vos statim abire, et apud Chananaeam Berenicem Justae filiam clam hospitari, atque diligenter eam percontati mihi perscribere quae ad Simonem pertinebunt. Multum enim proderit mihi, ut ad id me praeparem. Quapropter jamjam cum pace pergite. Igitur deserentes eum baptizantem, quemadmodum jusserat, in Tyrum Phoeniciae praecessimus eum.

## HOMILIA QUARTA.

I. Caesarea ergo Stratonis egressus ego Clemens simulque Nicetas et Aquila in Tyrum Phoeniciae intravimus, et juxta Petri mandatum, qui miserat

1. πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος O.
2. καθ' ἡμέραν C.
3. νικήταν O.
4. καθ' O.
5. Χαναανίτιδι C.
6. μαθόντας textui dedi ex O.
7. δὶς O.
8. τε add. c. O. ἅμα Νικήτῃ καὶ Ἀκύλα εἰς Τύρον τῆς Φοινίκης ἐπορευόμεθα Cod. Reg. 804.

Πέτρου τοῦ ἀποστείλαντος ἡμᾶς ἐξενίσθημεν παρὰ Βερνίκῃ θυγατρὶ τῆς Χαναανίτιδος[1] Ἰούστης· ἥτις ἀσμενέστατα ἡμᾶς ἀπεδέξατο, καὶ πολλῇ μὲν τῇ πρός με τιμῇ ἀγωνιῶσα, στοργῇ δὲ τῇ πρὸς Ἀκύλαν καὶ Νικήτην, διὰ χαρὰν ὡς συνήθης παρρησιαζομένη ἐφιλοφρονεῖτο, καὶ πρὸς τὴν τοῦ σώματος θεραπείαν ἡμᾶς δεκτικῶς κατήπειγεν. συνιδὼν οὖν ὅτι βραχεῖαν ἡμῖν ὑπέρθεσιν ποιεῖσθαι ἐπέτρεπεν, ὀρθῶς μέν, ἔφην, ποιεῖς, ἐπισπεύδουσα τὰ τῆς ἀγάπης ἀποπληρῶσαι[2] μέρη. προτιμητέος δὲ ταύτης ὁ πρὸς τὸν Θεὸν ἡμῶν φόβος. δέδιμεν[3] γὰρ ὑπὲρ πολλῶν ψυχῶν τὸν ἀγῶνα ἔχοντες τῆς ἐκείνων σωτηρίας προτιμᾶν τὴν ἡμετέραν ἀνάπαυσιν.

II. Πυνθανόμεθα[4] γὰρ ὅτι Σίμων ὁ μάγος, ἐπὶ τῆς ἐν Καισαρείᾳ πρὸς τὸν κύριον ἡμῶν Πέτρον ζητήσεως ἡττηθείς, παραχρῆμα ἀποδρὰς ἐνταῦθα πολλὰ κακὰ διαπράσσεται[5]. πᾶσι γὰρ τοῖς ὑπεναντίοις παρὰ τὴν ἀλήθειαν λοιδορῶν τὸν Πέτρον τὰς τῶν πολλῶν συναρπάζει ψυχάς. μάγος τε[6] γὰρ αὐτὸς ὢν μάγον ἐκεῖνον ἀποκαλεῖ, καὶ πλάνος αὐτὸς ὢν πλάνον ἐκεῖνον ἀποκηρύσσει, καὶ ἐν ταῖς ζητήσεσιν ἐπὶ πάντων τὸ ἧττον ἀπενεγκάμενος καὶ φυγὼν αὐτὸς φάσκει νενικηκέναι[7], καὶ τοῦ Πέτρου μὴ δεῖν ἀκούειν πυκνότερον ἐντέλλεται, ὡς δῆθεν κηδόμενος, ἵνα μὴ ὑπὸ δεινοῦ καταγοητευθῶσι μάγου.

III. Ταῦτα οὖν μαθὼν ὁ κύριος ἡμῶν Πέτρος προαπέστειλεν ἡμᾶς

nos, hospitati sumus apud Berenicem Justae Chananaeae filiam, quae lubentissime nos suscepit; atque multo erga me honore et dilectione erga Aquilam et Nicetam concertans, ut familiaris gaudens ac confidens, magna nos humanitate prosecuta est, nosque ad corpus curandum comiter incitavit. Intuitus ergo, quod hortaretur ut facoremus breves inducias, recte, inquam, agis, dum caritatis implere munia festinas. At ipsi praeferri debet timor erga Deum nostrum. Veremur enim, qui pro multis animabus contendimus, recreationem nostram anteponere earum saluti.

II. Audimus enim, quod Simon magus, in disputatione quam cum domino nostro Petro Caesareae habuit superatus, statimque aufugiens, hic multa perpetrat mala. Apud omnes enim adversarios Petrum falso calumnians multorum abripit animas. Nam cum ipse sit magus, eum magum appellat: et cum sit impostor, impostorem eum proclamat; cumque in disputatione per omnia victus cesserit ac fugerit, vicisse se profitetur; frequenterque praecipit Petrum non esse audiendum, quasi videlicet sollicitus, ne a pessimo illudantur mago.

III. Haec accipiens dominus noster Petrus praemisit nos futuros verbo-

1. *Χαναανίτιδος* C.
2. *ἀποπληροῦν* C.
3. Ita S suffragante O, in cuj. marg. sec. man. notavit *ἴσως δεῖ*. Apud C *δέδειμεν*.
4. Ita O c. S, *πυνθανώμεθα* C.
5. *κακὰ τὰ πράσσεται* O. Subinde C: Malim „in omnibus enim contrariis.“
6. *τε* inserui c. O. Idem om. vbb. *ἀποκαλεῖ, καὶ πλάνος αὐτὸς ὢν πλάνον ἐκεῖνον*.
7. *νενικέναι* O.

www.libtool.com.cn

ἐξεταστὰς τῶν λεχθέντων αὐτῷ ἐσομένους· ἵνα εἰ οὕτως ἔχοι, γραψάντων ἡμῶν αὐτὸς μάθοι[1], καὶ ἐπελθὼν ἐξελέγξῃ αὐτὸν ἐκεῖνον ἀντικρυς ἐφ' ὧν αὐτὸν διέβαλλεν. ἐπεὶ οὖν ὑπὲρ πολλῶν ψυχῶν ὁ κίνδυνος ἡμῖν πρόκειται, τούτου ἕνεκεν, τῆς τοῦ σώματος ἡμῶν ἀναπαύσεως πρὸς βραχὺ ἀμελήσαντες, παρά σου τῆς ἐνταῦθα διαιτωμένης βουλόμεθα ἀψευδῶς μαθεῖν,[5] εἰ ἅπερ ἠκούσαμεν ἀληθῆ τυγχάνει· καὶ λέγοις ἂν ἤδη ἡμῖν ἕκαστα.

IV. Ἡ Βερνίκη δὲ ἀξιωθεῖσα[2], ταῦτα μὲν οὕτως, ἔφη, ἔχει ὡς ἠκούσατε, τὰ δὲ ἄλλα τὰ κατ' αὐτὸν τὸν Σίμωνα, ἅπερ ἴσως ἀγνοεῖτε, ἀκούσατε· φαντάσματά τε γὰρ καὶ ἐνδάλματα ἐν μέσῃ τῇ ἀγορᾷ φαίνεσθαι ποιῶν δι' ἡμέρας πᾶσαν ἐκπλήττει τὴν πόλιν[3], καὶ προϊόντος αὐτοῦ ἀνδριάντες κινοῦνται, καὶ σκιαὶ πολλαὶ προηγοῦνται, ἅσπερ αὐτὸς[4] ψυχὰς τῶν τεθνηκότων εἶναι λέγει. πολλοὺς δὲ γόητα αὐτὸν ἐλέγχειν πειρωμένους διαλλάξας πρὸς ἑαυτόν, ἔπειθ' ὕστερον[5] προφάσει εὐωχίας, βοῦν θύσας καὶ ἑστιάσας αὐτούς, διαφόροις νόσοις περιέβαλεν καὶ δαίμοσιν ὑπέβαλεν· καὶ ἵνα μὴ πολλὰ λέγω, πολλοὺς κακώσας θεὸς εἶναι ὑπολῃφθείς, πρὸς τῷ[6] φοβερὸν εἶναι καὶ προτετίμηται.

V. Ὅθεν οὐκ οἶομαι δυνήσεσθαί τινα τοσοῦτον ἀναφθὲν πῦρ σβέσαι. οὐδὲ γὰρ ἐνδοιάζει τις περὶ ὧν ἐκεῖνος ἐπαγγέλλεται, ἀλλὰ τοῦτο οὗ-

rum illius exploratores: ut si ita habeat, ipse scribentibus nobis edoceatur, et adveniens arguat eundem cominus de calumniis erga se. Quando igitur pro multorum animabus periculum nobis adjacet, ideo, corporis nostri refectione ad breve tempus neglecta, a te quae hic degis certo scire volumus, an vera sint quae audivimus: jamque nobis singula edissere.

IV. Berenice vero rogata, haec quidem, inquit, eo modo se habent, quo audivistis: cetera vero ejusdem Simonis, quae forte ignoratis, audite: phantasmata enim et spectra ac simulacra in medio foro quotidie ostendens totam obstupefacit civitatem: et procedente eo statuae moventur, ac multae umbrae praeeunt, quas ipsas dicit esse animas defunctorum. Multos autem, qui eum praestigiatorem nitebantur ostendere, cum sibi conciliasset, tum postea, praetextu convivii, mactato bove ipsisque in escam dato, variis implicuit morbis, daemonibusque subjecit: ac ne plura proloquar, multos affligendo deus esse creditur, et, praeterquam quod formidabilis est, etiam honore afficitur.

V. Quocirca non puto a quoquam ignem tantum accensum posse exstingui. Nemo enim in dubium vocat quae ille pollicetur, sed singuli confirmant rem

1. μάθῃ C. Tum ἐκείνων O.
2. ἀξιωθεῖ O. Idem om. conject. Ci ἔχει, in cuj. textu ἔχειν.
3. Excerpunt haec Anastasius Sinaita, Cedrenus et Nicephorus. Quorum locos apposuit et discrepantiam orationis enotavit Schliemannus Clem. p. 341. S.
4. αὐτὸς S ex Cod. Reg. 804 et Epit. c. 45, αὐτὰς C O. Deest vox apud Anastasium, Cedrenum et Nicephorum.
5. ἑαυτὸν εὐθύστερον C.
6. Ita O c. D, τὸ C.

www.libtool.com.cn

τως ἔχειν διαβεβαιοῦται ἕκαστος. διὸ τοῦ μὴ κινδυνεύειν ὑμᾶς χάριν παρακαλῶ μηδὲν ἐγχειρῆσαι πρὸς αὐτόν, πρὶν ἂν Πέτρος ἔλθῃ, ὃς μόνος δυνήσεται πρὸς [1] τοσαύτην δυναστείαν, τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δοκιμώτατος ὑπάρχων μαθητής, ἀνταγωνίσασθαι. τοσοῦτον γὰρ πεφόβημαι τὸν ἄνδρα, ὡς, εἰ μὴ καὶ ἄλλοτε πρὸς τὸν κύριόν μου Πέτρον διαλεχθεὶς τὸ ἧττον ἀπηνέγκατο, συνεβούλευσα ἂν ὑμῖν καὶ αὐτὸν πείθειν τὸν Πέτρον, μὴ πειρᾶσθαι ἀντεξετάζεσθαι τῷ Σίμωνι.

VI. Κἀγὼ ἔφην· ὁ κύριος ἡμῶν Πέτρος εἰ ἠγνόει ὅτι αὐτὸς μόνος κατισχύει τῆς ἐκείνου δυναστείας, οὐκ ἂν ἡμᾶς προπέμπων ἐνετέλλετο, λανθανόντως τὰ κατὰ Σίμωνα διαμανθάνοντας αὐτῷ γράφειν. ὅμως ἐπεὶ ἐσπέρα κατειλήφει, ἀλῶν μεταλαβόντες ὑπνώσαμεν. ἕωθεν δέ τις τῇ Βερνίκῃ συνήθης ἐλθὼν ἔφη, τὸν Σίμωνα εἰς τὴν Σιδῶνα ἐκπεπλευκέναι, τῶν δὲ αὐτοῦ μαθητῶν καταλελοιπέναι Ἀππίωνα τὸν πλειστονίκην [2], ἄνδρα Ἀλεξανδρέα, γραμματικὸν τὴν ἐπιστήμην, ὃν πρὸς πατρός μοι φίλον ὄντα [3] ἐπέγνων, καὶ Ἀννουβιῶνα τὸν Διοσπολίτην τινὰ ἀστρολόγον, καὶ Ἀθηνόδωρον τὸν Ἀθηναῖον τῷ Ἐπικούρου [4] ἀρεσκόμενον λόγῳ. ἡμεῖς δὲ τὰ κατὰ τὸν Σίμωνα μαθόντες, ἕωθεν πάντα γράψαντες καὶ Πέτρῳ διαπέμψαντες, εἰς περίπατον ἀπετραπόμεθα.

VII. Καὶ Ἀππίων ἀπηντήσατο [5] ἡμῖν, οὐ μόνον μετὰ τῶν προειρη-

ita se habere. Quare ea gratia, ut vos in periculum non veniatis, hortor ne quidquam tentetis adversus eum, ante quam Petrus venerit, qui cum sit Domini nostri Jesu Christi probatissimus discipulus, poterit solus contra tantam potentiam dimicare. Tantum quippe metuo hunc hominem, ut, nisi alias cum domino meo Petro disceptans discessisset inferior, consilium dedissem vobis, ipsum quoque Petrum persuaderetis ne cum Simone disputare niteretur.

VI. Et ego respondi: si dominus noster Petrus ignoraret quod ipse solus adversus ejus potentiam praevalet, non utique praemittendo nos mandasset, ut clam Simonis gesta discentes ei scriberemus. Porro cum nox venisset, sumto cibo dormivimus. Mane vero aliquis Berenices familiaris veniens dixit, Simonem in Sidonem navigasse, ex suis autem discipulis reliquisse Appionem Plistonicum, virum Alexandrinum, arte grammaticum, paternum meum amicum mihi cognitum, et Annubionem quemdam Diospolitam, Astrologum, atque Athenodorum Atheniensem Epicureae sectae addictum. Nos autem edocti res Simonis mane cuncta cum scripsissemus et ad Petrum misissemus, ad ambulationem convertimus gradum.

VII. Et occurrit nobis Appion, non solum cum praedictis duobus sociis,

1. Post πρὸς est αὐτὸν in O expunctum.
2. πλειστονίκον O.
3. ὄντα O et ex conject. C, in cuj. textu ὄν. Davisii notulam eo spectantem S non intellexisse videtur. Tum Διοσπολίτην S O, Διοπολίτην C.
4. Ita ex conject. C, qui in textu Ἐπικούρῳ, ut O.
5. ἀπηντάσατο O.

www.libtool.com.cn

μένων ἑταίρων[1] τῶν δύο, ἀλλὰ καὶ μεθ' ἑτέρων ἀνδρῶν ὡς τριάκοντα. καὶ ἅμα τῷ ἰδεῖν με προσαγορεύσας καὶ καταφιλήσας ἔφη· οὗτός ἐστι Κλήμης, περὶ οὗ ὑμῖν τῆς τε εὐγενείας καὶ τῆς ἐλευθεροπρεπείας[2] πολὺν ἐποιούμην λόγον, ὅτι ἀνὴρ πρὸς γένους Τιβερίου Καίσαρος ὢν καὶ πάσης ἑλληνικῆς παιδείας[3] ἐξησκημένος ὑπὸ βαρβάρου τινός, τὴν προσηγορίαν Πέτρου, τὰ τῶν[4] Ἰουδαίων ποιεῖν καὶ λέγειν ἠπάτηται. ὅθεν ἀξιῶ συναγωνίσασθαί μοι πρὸς τὴν διόρθωσιν αὐτοῦ. καὶ ἐφ' ὑμῶν αὐτοῦ πυνθάνομαι. λεγέτω μοι, ἐπειδὴ πρὸς τὸ εὐσεβεῖν ἑαυτὸν ἀποδεδωκέναι νομίζει, πῶς οὐχὶ τὰ μέγιστα ἀσεβεῖ, καταλιπὼν[5] μὲν τὰ πάτρια, ἀποκλίνας δὲ εἰς ἔθη βάρβαρα.

VIII. Κἀγὼ[6] ἀπεκρινάμην· τὴν μὲν πρὸς ἐμέ σου ἀγαθὴν προαίρεσιν ἀποδέχομαι, τὴν δὲ ἀγνωσίαν ἀποσείομαι. ἡ μὲν[7] γὰρ προαίρεσις ἀγαθή, ὅτε, ἐν οἷς δοκεῖς[8] καλοῖς, ἐν τούτοις εἶναί με θέλεις· ἡ δὲ γνῶσις οὐκ ὀρθῶς ἔχουσα φιλίας προφάσει ἐνεδρεύειν ἀγωνίζεται. καὶ ὁ Ἄππίων ἔφη· ἀγνωσία σοι[9] εἶναι δοκεῖ, τὰ πάτρια ἔθη φυλάττοντα τὰ Ἑλλήνων φρονεῖν; κἀγὼ ἀπεκρινάμην· τὸν εὐσεβεῖν[10] προαιρούμενον οὐ πάντως φυλάσσειν δεῖ τὰ πάτρια, ἀλλὰ φυλάσσειν μὲν ἐὰν ᾖ εὐσεβῆ, ἀποσείεσθαι

sed et cum aliis viris triginta circiter. Ac simul atque me vidit, salutans et osculatus ait: Hic est Clemens, de quo multum ad vos sermonem habui, de illius nobilitate ac moribus liberalibus; quod vir ex genere Tiberii Caesaris, et in omni graeca disciplina exercitatus, a Barbaro quodam, qui vocatur Petrus, fraude compulsus esset ad peragendos ac praedicandos Judaeorum ritus. Quare rogo, ut me in illo corrigendo adjuvetis. Et coram vobis eum interrogo. Respondeat mihi, quandoquidem arbitratur, quod se, ut pietatem coleret, dediderit, quo modo non maxime impius sit, qui patrios dereliquerit, declinaverit vero ad barbaros mores.

VIII. Et ego respondi: Tuam quidem in me praeclaram voluntatem habeo acceptam; at ignorationem amolior. Scilicet, praeclara quidem voluntas est, quod in iis, quae tibi bona videntur, me versari cupis: verum cognitio non recte habens praetextu amicitiae insidiari nititur. Dixit Appion: Num ignoratio tibi videtur, patrios ritus servando sentire cum Graecis? Et ego respondi: Qui vitam pie agere statuit, non omnino debet servare patria instituta, sed servare

1. ἑτέρων O. Idem καθ' ἑτέρων.
2. Ita intellige lectionem Ottoboniani ἐλευθερωπρεπείας cum Cod. Reg. 804, ἐλευθεροτροπείας C.
3. Repone πᾶσαν ἑλληνικὴν παιδείαν, uti semper loquuntur idonei scriptores. Vide Epit. c. 46. D.
4. τῶν inserui c. O.
5. Ita O c. Cl et S, καταλειπὼν (sic) C. Dein ἔθνη Cod. Reg. 804.
6. Ἐγὼ C.
7. ἡμᾶς p. ἡ μὲν O.
8. δοκεῖν O.
9. ἀγνωσίας sine σοι O.
10. ἀσεβεῖν O in textu, ἴσως εὐσεβεῖν al. man. in marg.

δὲ ἐὰν ἀσεβὴ τυγχάνῃ. ἐνδέχεται γάρ τινα πατρὸς ἀσεβοῦς ὄντα, εὐσεβεῖν βουλόμενον, τῷ μὴ τοῦ πατρὸς ἀκολουθεῖν σεβάσματα [1]. καὶ ὁ μὲν Ἀππίων ἀπεκρίνατο· τί οὖν; τὸν σὸν πατέρα ἔφης κακοῦ βίου γεγονέναι; κἀγὼ ἔφην· κακοῦ μὲν οὐκ ἦν βίου, κακῆς δὲ ὑπολήψεως. καὶ ὁ Ἀππίων. τίς ἦν ἡ κακὴ αὐτοῦ ὑπόνοια ἀκοῦσαι θέλω. κἀγὼ ἔφην· ὅτι τοῖς [2] τῶν Ἑλλήνων ψευδέσι καὶ [3] κακοῖς ἐπίστευε μύθοις. καὶ ὁ Ἀππίων ἐπύθετο· τίνες εἰσὶν οὗτοι τῶν Ἑλλήνων οἱ ψευδεῖς τε [4] καὶ κακοὶ μῦθοι; κἀγὼ ἔφην· ἡ περὶ θεῶν οὐκ ὀρθὴ δόκησις, ἣν ἐὰν μακροθυμῇς, ἀκούσῃ μετὰ τῶν φιλομαθῶν.

IX. Διὸ πρὸ τῶν διαλόγων εἴς τινα ἡσυχώτερον [5] ὑποχωρήσωμεν ἤδη τόπον· ἐνταῦθα ὑμῖν διαλεχθήσομαι. τοῦ δὲ ἰδιολογεῖσθαί με βούλεσθαι αἰτία γέγονεν αὕτη [6], ἐπειδὴ οὐχ οἱ πολλοὶ οὐδὲ οἱ φιλοσοφοῦντες αὐτοὶ ἅπαντες γνησίως προσέρχονται τῇ τῶν ὄντων κρίσει. ἴσμεν γὰρ πολλοὺς καὶ τῶν ἐπὶ φιλοσοφίᾳ μεγαλοφρονούντων [7] κενοδοξοῦντας, ἢ χρηματισμοῦ χάριν περιβεβλημένους τὸν τρίβωνα καὶ οὐκ αὐτῆς ἀρετῆς ἕνεκεν, οἵπερ, ἐὰν μὴ εὕρωσι δι' ὃ φιλοσοφοῦσιν, ἐπὶ τὸ χλευάζειν τρέπονται. διὰ δὴ τοὺς τοιούτους ἐπιτήδειόν τινα πρὸς τὸ ἰδιάζειν τόπον ἐπιλεξώμεθα.

X. Καί τις ἐν αὐτοῖς πλούσιος ἀνήρ, καὶ διὰ παντὸς χῶρόν τινα

quidem, si pia sint, abjicere vero, si sint impia. Usu enim venire solet, ut aliquis, patre impio natus, velit vivere pie, patris mores sequi nolens. Excepit Appion: Quid ergo? patrem tuum ais malae vitae exstitisse? Respondi ego: Non quidem erat malae vitae, sed malae opinionis. Et Appion: Quae illius fuerit mala sententia, cupio audire. Et ego dixi: Quod falsis ac pravis Graecorum fabulis habuit fidem. Atque Appion sciscitatus est: Quaenam sunt hae Graecorum falsae ac pravae fabulae? Respondi: Non recta de diis opinatio; quam, si aequo animo fers, cum discendi cupidis audies.

IX. Quare ante dissertationem jam secedamus in quietiorem aliquem locum, ubi vobiscum disseram. Quod autem velim seorsum colloqui, causa haec est, quia non accedunt sincere plerique, neque etiam omnes philosophi, ad judicandum de rebus. Multos siquidem novimus, eorum quoque qui de se ob philosophiae professionem magnifice sentiunt, inani gloria duci, aut lucri cupiditate non autem virtutis amore indui pallio: qui, si non invenerint id propter quod philosophantur, vertunt se ad cachinnos. Ob istos ergo aptum aliquem locum eligamus, in quo soli simus.

X. Tum quidam ex illis, vir dives, qui agrum possidebat frondibus ele-

1. Ita scripsi c. O verborum μὴ τῷ ordine inverso, μὴ θέλειν τῷ τοῦ πατρὸς ἀκολουθεῖν C. Tum μὲν post ὁ om. O.
2. τοῖς deest in O.
3. καὶ om. O.
4. τε inserui c. O.
5. Ita O c. S, ἡσυχότερον C.
6. αὕτη S O, αὐτὴ C.
7. μέγα φρονούντων O.

περὶ ἑαυτὸν κεκτημένος παμμήνων φύλλων[1], ἔφη· ἐπειδὴ σφόδρα καῦμα ἐπιφλέγει, βραχὺ τῆς[2] πόλεως εἰς ἐμοὺς κήπους ὑποχωρήσωμεν. καὶ δὴ προϊόντες ἐκαθέζοντο, ἔνθα ἦν καθαρὰ ψυχρῶν ναμάτων ῥεύματα καὶ δένδρων παντοίων χλοερὰ σκέπη. ἔνθα ἐγὼ ἀσμένως ἐκαθεζόμην καὶ οἱ λοιποὶ περὶ ἐμέ, καὶ ἡσυχάζοντες, ἀντὶ τῆς μελλούσης ἀξιοῦν με φωνῆς, διὰ τοῦ ἀτενίζειν εἰς ἐμὲ δῆλοι ἦσαν τῆς ὑποσχέσεως[3] τὴν ἀπόδειξιν ἀπαιτοῦντες. καὶ δὴ οὕτως λέγειν ἠρξάμην.

XI. Πολλή τις, ὦ ἄνδρες Ἕλληνες, ἡ διαφορὰ τυγχάνει ἀληθείας τε καὶ συνηθείας. ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη εὑρίσκεται, τὸ δὲ ἔθος, ὁποῖον ἂν παραληφθῇ, εἴτε ἀληθὲς εἴτε ψευδές, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται, καὶ οὔτε ἀληθεῖ[4] ὄντι αὐτῷ ἥδεται ὁ παραλαβών, οὔτε ψευδεῖ ἄχθεται. οὐ γὰρ[5] κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκεν, γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ' ἀδήλῳ τύχῃ[6] τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. καὶ οὐκ ἔστι ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον[7] περιβολήν, κἂν πάνυ αὐτῷ δεικνύηται μωρὰ καὶ καταγέλαστος οὖσα.

XII. Αὐτίκα γοῦν ἐγὼ τὴν πᾶσαν Ἑλλήνων παιδείαν κακοῦ δαίμονος

gantissime ornatum, dixit: Quandoquidem vehementer adurit aestus, paullulum a civitate ad hortos meos secedamus. Et progressi consederunt, ubi pura erant gelidorum laticum fluenta, et arborum omnigenum tegmen viride. Ibi ego lubens sedi, et reliqui circa me; qui silentes, pro voce qua me rogaturi erant, per fixos in me oculos clare videbantur quam promiseram demonstrationem poscere. Itaque sic loqui coepi.

XI. Multa est, viri graeci, differentia inter veritatem atque consuetudinem. Veritas enim sincere quaesita invenitur: consuetudo autem, quaecumque assumatur, seu vera, seu falsa, temere a se ipsa confirmatur; neque cum vera est, laetatur is qui assumit, neque cum falsa, contristatur. Non enim judicio, sed praesumta opinione is credidit, incerta fretus fortuna, majorum scilicet placito suam ipsius spem confisus. Nec facile est exuere hereditarium sententiae amictum, licet ei penitus ostendatur stultus ac ridiculus.

XII. Jam igitur ego universam Graecorum doctrinam dico esse pernicio-

1. παμμιούσων φύλλων C. Prior vox dubio procul est barbara, nec satis liquet quid sit reponendum. Forte παμμίκτων φύλλων, nam postea παντοίων δένδρων meminit. D. Crediderim legi posse παμμήνων φύλλων, ut significentur arbores per omnes menses foliis abundantes, etiam media aestate. Cl. Praeterea conjectaverit aliquis παμμυρίων. Sed maxime placet, quod proposuit Lobeckius Aglaoph. p. 107. παμπλούσιον φύλλων. S. παμμεύσων φύλλων O.

2. Ita O c. S, βραχὺ τῇ C, qui conjecit βραχύ τι.

3. ὑποθέσεως S.

4. Ita conj. C, in cuj. textu ἀληθὲς. Et O ἀληθές, in marg. al. man. ἴσως ἀληθεῖ.

5. γὰρ om. O.

6. τύχῃ om. Joan. Damascenus, qui totum caput repetiit in Eclogis: atque delendam eam vocem censet D. S. Tum add. ἰδίαν c. O.

7. πατρῷαν Joan. Dam. Tum δεικνύηται S, δείκνυται C O.

χαλεπωτάτην ὑπόθεσιν εἶναι λέγω. οἱ μὲν γὰρ αὐτῶν πολλοὺς θεοὺς εἰσηγήσαντο, καὶ τούτους κακοὺς καὶ παντοπαθεῖς· ἵνα ὁ τὰ ὅμοια πράττειν θέλων μηδὲ αἰδῆται[1], ὅπερ ἐστὶν ἀνθρώπου ἴδιον, παράδειγμα ἔχων τῶν μυθολογουμένων θεῶν τοὺς κακοὺς καὶ ἀσέμνους βίους. τῷ δὲ μηδὲ αἰδεῖσθαι οὐδὲ ἐλπίδα μετανοίας ὁ τοιοῦτος ἐμφαίνει. ἄλλοι δὲ εἱμαρμένην εἰσηγήσαντο, τὴν λεγομένην γένεσιν[2], παρ' ἣν μηδὲν πάσχειν τις ἢ ποιεῖν δύναται[3]. ὁμοίως οὖν καὶ τοῦτο τῷ πρώτῳ ταὐτόν ἐστιν. νομίσας γάρ τις ὅτι παρὰ γένεσιν οὐδεὶς οὔτε πάσχειν οὔτε ποιεῖν τι δύναται[4], ῥᾳδίως ἐπὶ τὸ ἁμαρτάνειν ἔρχεται, καὶ ἁμαρτὼν οὐ μεταμελεῖται ἐφ' οἷς ἠσέβησεν, ἀπολογίαν φέρων ὅτι ὑπὸ γενέσεως αὐτὰ ποιεῖν ἐξηναγκάζετο· καὶ ὡς τὴν γένεσιν κατορθῶσαι[5] μὴ δυνάμενος, ἐφ' οἷς ἐξαμαρτάνει οὐδὲ τὸ αἰδεῖσθαι ἔχει.

XIII. Ἄλλοι δὲ ἀπρονόητον φορὰν εἰσηγοῦνται, ὡς αὐτομάτως τῶν πάντων περιφερομένων, οὐδενὸς ἐφεστηκότος[6] δεσπότου. ταῦτα δὲ οὕτω νομίζειν, ὡς εἰρήκαμεν, πασῶν δοξῶν τυγχάνει οὖσα χαλεπωτάτη. ὡς γὰρ οὐκ ὄντος τοῦ ἐφεστῶτος καὶ προνοουμένου καὶ ἑκάστῳ τὸ κατ' ἀξίαν[7]

sissimam mali daemonis disciplinam. Alii enim illorum induxerunt multos deos, eosque malos omnibusque obnoxios perturbationibus: ut qui similia patrare velit, non erubescat, quod est hominis proprium, dum pro exemplo habet fabulosorum deorum pravos et inhonestos mores. Ex eo autem quod neque erubescit, poenitentiae is nec spem ostendit. Alii vero fatum seu Genesin invexerunt, praeter quam nemo quidquam vel facere vel pati potest. Similiter ergo et hoc idem est cum primo. Existimans enim aliquis, neminem praeter Genesin quidquam vel pati vel facere posse, facile ad peccandum accedit, et post peccatum non ducitur poenitentia impie gestorum, affertque pro defensione, quod a Genesi ita facere coactus sit: et quasi qui nequeat corrigere Genesin, neque verecundiam habet in peccatis.

XIII. Alii vero introducunt providentiae expertem casum, ac si omnia sponte sua circumferantur, Domino nullo praesidente. Haec autem ita censere, ut diximus, omnium sententiarum est perniciosissima. Tamquam enim nullus sit praeses ac provisor singulisque pro merito distributor, omne quod fieri

1. Ita O c. S, αἰδεῖται C.

2. Cfr. Hom. XIV, 3. 4. Γένεσις significat in libro nostro astrologicum coeli statum sive constellationem, in qua quis natus est, τὸ τῆς γενέσεως διάθεμα. Hom. XIV, 6. Astrologia est τῆς γενέσεως ἐπιστήμη. Hom. XIV, 5. S.

3. Ita D, τι — δύνασθαι C O. Epit. c. 49: καὶ παρ' αὐτὴν οὔτε πάσχειν τινὰ δυνατὸν εἶναί φασιν, οὔτε ποιεῖν.

4. Ita scripsi c. O, οὐδεὶς οὔτε πάσχειν ἔχει C, qui οὔτε ποιεῖν ex Epit. reponendum esse recte vidit; οὐδεὶς οὔτε ποιεῖν οὔτε πάσχειν ἔχει S.

5. Ita O c. S. καθορθῶσαι C.

6. ἀφεστηκότος O, in marg. al. man. ἐφεστηκότος.

7. καταξίαν O. Tum δύναται Cod. Reg. 804, δύναται C O.

www.libtool.com.cn

ἀπονέμοντος, πᾶν ὅτι δύνανται διὰ τὴν ἀφοβίαν εὐκόλως δρῶσιν[1]. Ὅθεν οὐ ῥᾳδίως, ἢ τάχα οὐδὲ ὅλως οἱ τὰ τοιαῦτα φρονοῦντες σωφρονίζονται· τὸν γὰρ ἐπιστρέφοντα κίνδυνον οὐ προορῶνται. ὁ δὲ τῶν, ὡς ὑμεῖς φατέ, βαρβάρων Ἰουδαίων λόγος εὐσεβέστατός ἐστιν, ἕνα πατέρα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς εἰσηγούμενος, τῇ φύσει ἀγαθὸν καὶ δίκαιον· ἀγαθὸν μέν, ὡς μεταμελομένοις χαριζόμενον τὰ ἁμαρτήματα, δίκαιον δέ, ὡς ἑκάστῳ μετὰ τὴν μετάνοιαν[2] κατ' ἀξίαν τῶν πεπραγμένων ἐπεξιόντα.

XIV. Οὗτος ὁ λόγος, εἰ καὶ μῦθος ὢν τυγχάνει, εὐσεβής γε ὢν οὐκ ἀσύμφορος ἂν εἴη τῷ βίῳ. ἕκαστος γὰρ προσδοκίᾳ τοῦ κριθήσεσθαι ὑπὸ τοῦ παντεπόπτου Θεοῦ πρὸς τὸ σωφρονεῖν μᾶλλον τὴν ὁρμὴν λαμβάνει. εἰ δὲ καὶ ἀληθὴς εἴη ὁ λόγος, ἀπήλλαξε μὲν τὸν σωφρόνως βεβιωκότα τῆς αἰωνίου κολάσεως, προσευεργέτηκε[3] δὲ τοῖς ὑπὸ τοῦ Θεοῦ ἀϊδίοις τε καὶ ἀπορρήτοις γιγνομένοις ἀγαθοῖς.

XV. Πλὴν ἐπάνειμι ἐπὶ τὴν πρωτίστην τῶν Ἑλλήνων δόξαν, τὴν πολλοὺς καὶ παντοπαθεῖς θεοὺς εἶναι μυθολογοῦσαν[4]. καὶ ἵνα μὴ εἰς τὰ σαφῆ[5] πολὺν ἀναλίσκω χρόνον, ἑκάστου τῶν λεγομένων θεῶν τὰς ἀσεβεῖς πράξεις εἰσηγούμενος, πάντας μὲν οὐκ ἂν εἴποιμι αὐτῶν τοὺς ἔρωτας, τοῦ Διός τε καὶ Ποσειδῶνος, Πλούτωνός τε καὶ Ἀπόλλωνος, Διονύσου τε καὶ

potest, facile ob metus vacuitatem perpetrant. Quare vix, ac ne vix quidem, qui ista opinantur, honestam ducunt vitam: quia ingruens, quo converti poterant, periculum non praevident. At vero doctrina eorum, quos barbaros Judeeos vocatis, maxime est pia; quae unum Patrem et Opificem totius hujus mundi inducit, natura bonum ac justum: bonum quidem, ut qui poenitentibus veniam delictorum concedat, justum autem, ut qui unicuique post poenitentiam pro factorum meritis irroget.

XIV. Haec doctrina, etiam si fabula esset, cum pia sit, vitae non esset inutilis. Singuli namque dum exspectant futurum erga se Dei cuncta intuentis judicium, ad temperate vivendum majorem impetum capiunt. Quod si adeo vera sit doctrina, aeterno supplicio liberat eum qui vitam moderatam traduxit, simulque pro beneficio largitur futura a Deo bona aeterna et ineffabilia.

XV. Sed ad primam revertor Graecorum ac Gentilium opinionem, quae deos fabulatur multos, et omnibus obnoxios perturbationibus. Ac ne in res certas multum insumam temporis, dum uniuscujusque eorum qui apud vos dii nominantur impios actus recenseo, cunctos quidem non dicam illorum amores, Jovis, Neptuni, Plutonis, Apollinis, Bacchi, Herculis, ac singulorum, quos ne-

1. *δράσει* O.
2. *μὴ μετανοοῦντι* Cod. Reg. 804 et Epit. c. 50, quod praestat. Tum *καταξίαν* O. Idem deinde *ἐπεξιόντα* c. Cod. Reg. 804. (Epit. c. 50), *ἐπαξιόντα* C.
3. *προσευηργέτηκε* O.
4. Vbb. *τὴν πολλοὺς καὶ — μυθολογοῦσαν* des. in O. Annotat S, C edidisse *παντὰπαθεῖς*, quod quidem non nisi de Clerico recte intelligitur.
5. *ἀσφαλῆ* C.

www.libtool.com.cn

Ἡρακλέους[1] καὶ τῶν καθ' ἕνα ἕκαστον, ὧν[2] οὐδὲ αὐτοὶ ἀγνοεῖτε, ἐκ παιδείας Ἑλληνικῆς ὁρμιώμενοι, οὓς ἐπαιδεύθητε βίους, ἵνα ὡς ζηλωταὶ τῶν θεῶν τὰ ὅμοια πράττητε.

XVI. Ἀπ' αὐτοῦ δὲ τοῦ βασιλικωτάτου Διὸς ἄρξομαι, οὗ ὁ μὲν πατὴρ Κρόνος τὰ ἴδια τέκνα, ὡς λέγετε, καταπιών, τῇ[3] ἐξ ἀδάμαντος ἅρπῃ τοῦ πατρὸς Οὐρανοῦ τὰ μόρια θερίσας, τῆς πρὸς γονεῖς εὐσεβείας καὶ τῆς πρὸς τέκνα[4] φιλίας τοῖς τὰ μυστικὰ τῶν θεῶν ζηλοῦσι τὸν ὑπογραμμὸν[5] ἔδειξεν. αὐτὸς δὲ ὁ Ζεὺς τὸν αὐτοῦ πατέρα δήσας καθεῖρξεν εἰς Τάρταρον, καὶ τοὺς ἄλλους κολάζει θεούς. τοῖς δὲ ἀρρητουργεῖν θέλουσι τὴν Μῆτιν γεννήσας κατέπιεν· ἦν δὲ ἡ Μῆτις γονή· βρέφος γὰρ καταπιεῖν ἀδύνατον. ὑπὲρ δὲ ἀπολογίας παιδεραστῶν Γανυμήδην[6] ἁρπάζει. μοιχοῖς δὲ ὑπὲρ μοιχείας βοηθῶν αὐτὸς πολλάκις μοιχὸς εὑρίσκεται. ἀδελφοφθορεῖν[7] δὲ προτρέπει ἀδελφαῖς συνελθών, Ἥρᾳ καὶ Δήμητρι καὶ τῇ οὐρανίᾳ Ἀφροδίτῃ, ἣν τινες Δωδώνην[8] λέγουσι. τοῖς δὲ θυγατράσι μίγνυσθαι βουλομένοις Περσεφόνῃ συνελήλυθὼς παράδειγμα πονηρὸν ἐκ

que ipsi ignoratis, utpote in Graecorum litteris instituti, quas vitas edocti estis, ut tamquam deorum aemulatores similia peragatis.

XVI. Sed ab ipso maximo rege Jove ordiar. Illius quidem pater Saturnus, liberis suis, ut soletis referre, devoratis, et adamantina falce demessis patri Caelo genitalibus, pietatis erga parentes et amoris in liberos iis qui deorum mysteria aemulantur ostendit exemplum. Ipse vero Juppiter patrem suum vinctum in Tartaro conclusit, et alios deos punit. Pro iis autem, qui nefandam patrare volunt obscenitatem, Metin cum genuisset absorpsit: porro Metis erat semen: infantem enim absorberi impossibile. In defensionem vero eorum qui puerorum indulgent amoribus, rapit Ganymedem. Adulteris autem in adulterio opem ferens, ipse saepe moechus invenitur. Ad sorores etiam ducendas invitat, congrediens cum sororibus, Junone, Cerere, Venere caelesti, quam nonnulli Dodonam vocant. Iis vero qui cum filiabus commisceri cupiunt, cum Proserpina congressus exemplum improbum ex fabulis efficitur. Alia quoque

1. Ita S, Ἡρακλέως C, ἡρακλέος O, qui subinde scr. καθένα.

2. Sede pronominum mutata, scribendum: οὓς (sc. ἥρωτας) οὐδὲ αὐτοὶ ἀγν., παιδ. ἑλλ. ὁρμ., ὧν ἐπαιδεύθητε βίους. D.

3. ἅμα τῇ Cod. Reg. 804.

4. πρὸς τὰ τέκνα C.

5. τῶν ὑπογραμμῶν Cod. Reg. 804.

6. γανυμήδην O.

7. ἀδελφοκτονεῖν C, ἀδελφογαμεῖν Epit. c. 51, ἀδελφοκοιτεῖν conj. S ex analogia vocis ἀρρενοκοιτεῖν.

8. Leg. Διώνην. Haec vox haud raro (v. Jacobii Lex. Myth. p. 260), illa numquam Venerem significat. Eandem conjecturam proposuisse video Valckenarum Diatr. in Eurip. p. 163 edit. Lips. Infra Hom. V, 13 eodem iterum mendo legitur Κύπρις, ἣν καὶ Δωδώνην λέγουσιν, ubi vide quae adnotavit Cl. Etiam Epitome c. 51 habet Δωδώνην S.

www.libtool.com.cn

τῶν μύθων γίνεται. ἄλλα τε[1] μυρία ἠσέβηκεν, ἵνα ὑπὸ τῶν δυσσεβῶν διὰ τὴν ὑπερβάλλουσαν ἀκρασίαν θεὸς[2] εἶναι ὁ μῦθος δογματισθῇ.

XVII. Ἰδιώταις ἔχοις περὶ τῶν τοιούτων ὑπολήψεων ἀγανακτεῖν μετρίως εὔλογον. τοῖς δὲ ἐκ παιδείας ὁρμωμένοις τί δεῖ καὶ λέγειν; ὧν τινες[3] γραμματικοὶ καὶ σοφισταὶ ἀξιοῦντες εἶναι τὰς τοιαύτας πράξεις θεῶν[5] ἀξίας εἶναι βεβαιοῦσιν. αὐτοὶ γὰρ ἀκρατεῖς ὄντες, ταύτης τῆς μυθικῆς προφάσεως λαβόμενοι, ὡς δὴ μιμηταὶ τῶν κρειττόνων ἄσεμνα διαπραττόμενοι παρρησιάζονται.

XVIII. Διὰ τοῦτο αὐτῶν πολλῷ ἔλαττον οἱ κατ' ἀγρὸν βιοῦντες ἐξαμαρτάνουσιν, οὐκ εἰσηγμένοι[4] πονηρῶς δι' ὧν εἰσήχθησαν οἱ ταῦτα τολμῶντες, ἐκ παιδείας κακῆς ἀσεβεῖν μεμαθηκότες. οἱ γὰρ ἐκ παιδὸς διὰ τῶν τοιούτων μύθων μανθάνοντες γράμματα, ἔτι ἁπαλῇ οὔσῃ τῇ ψυχῇ τὰς τῶν λεγομένων θεῶν ἀσεβεῖς πράξεις εἰς τὸν αὐτῶν συμφύουσι νοῦν. ὅθεν ἐπαυξηθείσης τῆς ἡλικίας ὡς κακὰ σπέρματα καταβληθέντα τῇ ψυχῇ τελεσφοροῦσιν· καὶ τὸ πάντων χαλεπώτατον, ὅτι οὐδὲ[5] ἐκκοπῆναι ῥᾳδίως ἔστι τὰ ἐνερριζωμένα ἀσεβήματα, ὁπόταν[6] ἀνδρωθεῖσιν αὐτοῖς χαλεπὰ εἶναι νοῆται. ἐν οἷς γὰρ ἕκαστος ἐκ παίδων ἐθίζεται, τούτοις ἐμμένειν ἥδεται, καὶ οὕτως, τῆς συνηθείας οὐ πολὺ ἔλαττον πρὸς τὴν φύσιν δυναμένης, δυσμετάβλητοι γίνονται πρὸς τὰ μὴ ἀπ' ἀρχῆς αὐτοῖς καταβληθέντα τῇ ψυχῇ καλά.

innumera impie gessit, ut ab impiis hominibus propter exsuperantem intemperantiam fabulosum dogma de illius divinitate persuasum fuerit.

XVII. Homines quidem indoctos aequum videatur circa has opiniones haud multum indignari. Iis autem, qui in litteris instituti fuerunt, quidnam dicere oportet? qui Grammatici et Sophistae esse gestientes has actiones diis dignas esse affirmant. Cum enim ipsi incontinentes sint, fabularum accepto praetextu, quasi numinum imitatores, libere perpetrant turpia.

XVIII. Quocirca multo minus iis aberrant illi qui ruri degunt, non prave instituti in iis, quibus imbuti sunt qui ista audent, quique a mala eruditione impietatem didicerunt. Nam qui a puero per has fabulas edocti sunt litteras, cum adhuc tener est animus, impias putatorum deorum actiones menti suae inserunt: quare adulta aetate, instar malorum seminum in animam dejectorum, fructum ferunt: et quod est omnium gravissimum, facile non exscinduntur radicatae impietates, quando illi viri facti eas graves noxiasque esse intelligunt. In quibus enim unusquisque a teneris assuescit, iis gestit immorari: sicque, quia consuetudo non multo minus valet quam natura, aegre convertuntur ad ea bona, quae principio in ipsorum animos non fuerunt injecta.

1. γε C.
2. Fortasse θεῖος. S.
3. Ita S O c. Cod. Reg. 804, ὧ τινες C, qui conj. οἵ τινες.
4. εἰσηγούμενοι O.
5. Ita S, οὔτε C O.
6. ὁπότ' ἂν C. Tum νοῆται O c. S, νοεῖται C.

www.libtool.com.cn

XIX. *Διὸ χρὴ καὶ τοὺς νέους μὴ τοῖς διαφθείρουσιν ἀσκεῖσθαι*[1] *μαθήμασιν, καὶ τοὺς ἐπὶ τῆς ἀκμῆς ὄντας ἐπιμελῶς ὑποστέλλεσθαι τῆς Ἑλλήνων ἐπακούειν μυθολογίας. πολὺ γὰρ ἀμαθίας χείρονά ἐστι τὰ παρ' αὐτοῖς μαθήματα, ὡς ἐκ τῶν κατ' ἀγρὸν οἰκούντων, διὰ τὸ μὴ παιδευθῆναι τὰ παρ' Ἕλλησιν ἔλαττον ἁμαρτανόντων, ἀπεδείξαμεν. φευκτέον δὴ τοὺς τοιούτους μύθους αὐτῶν καὶ τὰ θέατρα καὶ τὰ βιβλία· εἴθε δυνατὸν ἦν, καὶ τὰς πόλεις. κακῶν γὰρ μαθημάτων γέμοντες καὶ πνέοντες τοῖς*[2] *συναμιλλωμένοις ὥσπερ λύσσαν*[3] *τοῖς πλησίον μεταδιδόασιν ὧν πεπόνθασιν αὐτοί. τὸ δὲ χαλεπώτατον, ὅστις παρ' αὐτοῖς πλεῖον πεπαίδευται, πολλῷ τοῦ*[4] *κατὰ φύσιν οὗτος*[5] *φρονεῖν ἐκτέτραπται.*

XX. *Τινὲς δὲ τῶν παρ' αὐτοῖς καὶ φιλοσόφοι εἶναι ἀξιοῦντες τὰ τοιαῦτα ἁμαρτήματα ἀδιάφορα*[6] *τίθενται, καὶ τοὺς ἐπὶ ταῖς τοιαύταις πράξεσι χαλεπαίνοντας ἀνοήτους λέγουσιν. οὐ γάρ ἐστιν, φασί, τὰ τοιαῦτα τῇ φύσει ἁμαρτήματα, ὅσα θετοῖς ἀπηγόρευται νόμοις ὑπὸ τῶν κατ' ἀρχὰς γενομένων σοφῶν, διὰ τὸ εἰδέναι, ὅτι οἱ ἄνθρωποι εὐριπίστῳ ψυχῇ ἐπὶ τοῖς τοιούτοις μεγάλως ἀχθόμενοι πρὸς ἀλλήλους πόλεμον αἴρονται. ὧν ἕνεκα νόμον θέντες οἱ σοφοὶ τὰ τοιαῦτα ὡς ἁμαρτήματα ἀπηγόρευσαν. γελοῖον*[7] *δὲ οὕτως ὑπολαμβάνειν. πῶς γὰρ οὐχ ἁμαρτήματά εἰσι τὰ θο-*

XIX. Quare oportet, ut pueri corruptricibus non exerceantur disciplinis, et, qui in flore aetatis sunt, diligenter cohibeantur Graecorum audire fabulas. Multo enim, quam inscitia, pejor est eorum scientia; quemadmodum ex rusticis ostendimus, qui, quod graecam non acceperunt eruditionem, peccant minus. Fugere igitur oportet tales illorum fabulas, et theatra, et libros, et, utinam fieri posset! etiam civitates. Malarum enim institutionum homines pleni et spirantes, congredientibus proximis tanquam rabiem quae ipsi passi sunt tradunt. Et quod est pessimum, quicumque apud eos magis est institutus, plus ab ea, quae secundum naturam est, ratione deflexus est.

XX. Quidam autem inter eos, qui et philosophi esse gloriantur, ista peccata faciunt indifferentia, eosque, qui talibus succensent actionibus, stultos dicunt. Non enim, inquiunt, haec natura sunt peccata, quae per latas leges interdicta sunt a primis sapientibus, scilicet quibus exploratum erat, homines mobili facile animo, circa talia vehementer offensos, bellum in se mutuo suscepturos: quapropter sapientes, lege posita, ista velut delicta prohibuere. Ita vero arbitrari est ridiculum. Qua enim ratione peccata non sunt, quae tumul-

1. *ἀσκεῖσθαι* var. lect. ap. Joan. Dam. ac cedente O, quam lectionem merito commendat C, *ἀρκεῖσθαι* idem in textu.
2. Dele *τοῖς* S.
3. *λύσσας* O. Tum *μεταδιδοῦσιν* C.
4. Ita S, *τῷ* C, *τοι* O. Reponendum puto: *πολλῷ τὸν κατὰ φύσιν οὗτος φρονῶν ἐκτέτραπται.* D.
5. Ita O c. D, *οὕτως* C.
6. Ita et O sec. man. in margine, *καὶ διάφορα* in textu.
7. Inde a verbis *γελοῖον δὲ* Clemens suo nomine refutat eam sententiam, quam antea exposuerat. S.

www.libtool.com.cn

ρύβων καὶ φόνων καὶ ταραχῆς πάσης[1] αἴτια; ἢ γὰρ οὐκ ἐκ μοιχείας ἀνακύπτουσι βίων περιγραφαί, οἴκων ἀναστάσεις, μαγεῖαι, δόλοι, ἀπορίαι[2] καὶ ἄλλα πλείω κακά;

XXI. Ἀλλὰ διά τί, φησίν, ὁ ἀνὴρ ἐὰν ἀγνοῇ τὴν ἑαυτοῦ γυναῖκα μοιχευομένην, οὐ ζηλοῖ, οὐ θυμοῦται, οὐ θορυβεῖ, οὐ πολεμεῖ; οὕτως οὐκ ἔστι τῇ φύσει τὰ τοιαῦτα κακά, ἀλλὰ ἡ ἄλογος ἀνθρώπων δόκησις ταῦτα δεινοποιεῖ. ἐγὼ δέ φημι, ὅτι, κἂν μὴ τὰ δεινὰ ταῦτα συμβαίνῃ, ἐνδέχεται συνηθείᾳ τῇ πρὸς τὸν μοιχὸν ἢ τὸν ἄνδρα ἀπολιπεῖν, ἢ καὶ συνοικοῦσαν ἐπιβουλεῦσαι, ἢ τὰ τοῦ ἀνδρὸς κόπῳ πεπορισμένα τῷ μοιχῷ παρασχεῖν· καὶ ἀποδημιοῦντος τοῦ ἀνδρὸς συλλαβοῦσαν ἐκ τοῦ μοιχοῦ, διὰ τὸ αἰδεῖσθαι τὸν ἔλεγχον, τὸ κατὰ γαστρὸς φθεῖραι θελῆσαι, καὶ γενέσθαι τεκνοκτόνον, ἢ καὶ φθείρουσαν συμφθαρῆναι· εἰ δὲ συνόντος τοῦ ἀνδρὸς ἐκ μοιχοῦ συλλαβοῦσα τέκοι, ἀνατραφεὶς ὁ παῖς τὸν μὲν πατέρα ἀγνοεῖ, τὸν δὲ οὐκ ὄντα νομίζει, καὶ οὕτως ὁ μὴ πατὴρ τελευτῶν ἀλλοτρίῳ παιδὶ τὸν ἑαυτοῦ καταλείπει βίον. πόσα δὲ καὶ ἄλλα κακὰ ἐκ τῆς μοιχείας φυσικῶς ἀνακύπτειν φιλεῖ! καὶ οὐκ ἴσμεν τὰ κρύφια τῶν κακῶν. ὥσπερ γὰρ ὁ λυσσῶν κύων τοὺς ἀναιρεῖ ὧνπερ ἂν ψαύσῃ, τῆς ἀφανεστάτης λύσσης μεταδιδούς, οὕτω[3] καὶ τῆς μοιχείας τὸ κρύφιον κακόν, κἂν ἀγνοῆται, τῆς διαδοχῆς τὴν ἐκκοπὴν ἐξεργάζεται.

tus producunt, et homicidia, omnemque conturbationem? Nonne enim ex adulterio oriuntur festinae mortes, familiarum perturbationes, magiae, fraudes, angustiae, et plura alia mala?

XXI. Sed cur, inquit, vir si ignorat uxorem suam adulterare, zelotypia non effertur, non irascitur, non tumultuatur, non bella ciet? Itaque ista non sunt natura mala, verum iniqua hominum opinio gravia ea facit. Ego autem aio, quod, quamvis illa non accidant incommoda, ex consuetudine cum adultero fit, ut vel maritus deseratur, vel et uxor insidias struat, vel labore viri parta moecho praebeat; utque peregre profecto conjuge, cum illa ex adultero conceperit, metu reprehensionis uteri foetum nitatur labefacere, fiatque infanticida, vel, dum perdit, ipsa simul pereat. Quod si, cum ea manente viro, ex moecho concipiens parit, educatus puer patrem nescit, eum vero qui non est esse putat; sicque moriens, qui pater non est, alieno filio bona sua derelinquit. Quanta autem et alia mala ex adulterii natura oriri solent! Nescimus tamen malorum occulta. Quemadmodum enim rabiosus canis, quos tangit, interimit, occultissimam rabiem communicans, ita et adulterii absconditum malum, etsi ignoretur, posteritatis procurat exscisionem.

1. πάσης παραχῆς C.
2. Vbb. οἴκων ἀναστάσεις, μαγεῖαι, δόλοι, ἀπορίαι accesserunt ex O; var. lect. ap. C post περιγραφαὶ add. οἴκων καταλύσεις, μαγείαι, δόλοι, ἀπορίαι.
3. οὕτως C.

www.libtool.com.cn

XXII. Ἀλλὰ τοῦτο μὲν νῦν ἡμῖν παραλελείφθω. ἐκεῖνο δὲ ἅπαντες[1] ἴσμεν, ὡς ἐπίπαν ἐπὶ τούτῳ τοὺς ἄνδρας ἀνεπισχέτως δυσχεραίνοντας, πολέμους τε[2] ἐπὶ τούτῳ ἐγηγερμένους, καὶ οἴκων γενομένας ἀνατροπάς, καὶ πόλεων ἁλώσεις, καὶ ἄλλα μυρία. διὰ τοῦτο ἐγὼ τῷ ἁγίῳ[3] τῶν Ἰουδαίων Θεῷ καὶ νόμῳ προσέφυγον, ἀποδεδωκὼς τὴν πίστιν ἀσφαλεῖ[4] τῇ κρίσει, ὅτι ἐκ τῆς τοῦ Θεοῦ δικαίας κρίσεως καὶ νόμος ὥρισται, καὶ ἡ ψυχὴ πάντως τὸ κατ' ἀξίαν[5] ὧν ἔπραξεν ὁπουδήποτε ἀπολαμβάνει.

XXIII. Ταῦτά μου εἰπόντος ὁ Ἀππίων ἐπήνεγκε τῷ λόγῳ· τί γάρ, οὐχὶ καὶ οἱ Ἑλλήνων, ἔφη, νόμοι τὰ φαῦλα ἀπαγορεύουσιν, καὶ τοὺς μοιχοὺς κολάζουσιν; κἀγὼ ἔφην· οὐκοῦν οἱ Ἑλλήνων θεοὶ τὰ ἐναντία τοῖς νόμοις πράξαντες κόλασιν ὀφείλουσιν. πῶς δὲ καὶ σωφρονίζειν ἐμαυτὸν δυνήσομαι, ὑπολαμβάνων, ὅτι οἱ θεοὶ αὐτοὶ πρῶτοι ἅμα τῇ μοιχείᾳ τὰ χαλεπὰ πάντα διεπράξαντο, καὶ δίκην οὐ δεδώκασι, ταύτῃ μᾶλλον ὀφείλοντες διδόναι, ὡς μὴ δουλεύοντες ἐπιθυμίᾳ; εἰ δὲ ὑπέκειντο[6], πῶς ἦσαν θεοί; καὶ ὁ Ἀππίων· ἔστωσαν ἡμῖν σκοποὶ μηκέτι θεοί, ἀλλ' οἱ δικασταὶ εἰς οὓς ἀφορῶντες, φοβηθησόμεθα ἁμαρτάνειν. κἀγὼ ἔφην· οὐκ ἔσθ'[7] ὅμοιον, ὦ Ἀππίων. ὁ μὲν γὰρ πρὸς ἄνθρωπον ἔχων τὸν σκοπὸν ἐλπίδι τοῦ λαθεῖν τολμήσει ἁμαρτάνειν, ὁ δὲ Θεὸν παντεπόπτην τῇ ἑαυτοῦ ψυχῇ

XXII. Verum hoc nunc relinquamus. Illud certe scimus omnes; plerumque eam ob causam homines effraenate irasci, propterea bella exorta, factas domorum eversiones, ac urbium expugnationes, aliaque innumera. Quare ego ad sanctum Judaeorum Deum sanctamque eorundem legem confugi; cum fidem certo judicio habuissem, quod ex Dei justo judicio et lex fixa sit ac definita, et anima omnino pro meritis eorum, quae gessit, aliquando recipiet.

XXIII. Haec cum dixissem, Appion orationi subjecit: Quid enim? nonne, inquit, et Graecorum leges mala prohibent, et adulteros puniunt? Ego respondi: Ergo Graecorum dii, quod contraria legibus faciunt, supplicium merentur. Quo modo autem et coercere me potero, dum existimo deos ipsos primos una cum adulterio cuncta flagitia perfecisse, nec poenas dedisse, quas ideo magis dare debebant, quia non serviunt cupiditati? Quod si cupiditati obnoxii fuerunt, quo pacto dii erant? Et Appion: Sint nobis pro scopo non dii sed judices, in quos respiciendo, peccare metuemus. At ego excepi: Non simile est, o Appion. Qui enim ad hominem respicit, spe latendi audebit pec-

1. πάντες O. Tum ἐπὶ τοῦτο var. lect. ap. C. Subsequitur mendum τὰς p. τοὺς in O.
2. τε add. c. O, qui subinde exh. ἐπὶ τούτῳ c. D, ἐπὶ τούτων C.
3. ἀγαθῷ Epit. c. 51. Subinde τῷ ὦ et Ἀππίων expunctum. Ἰουδαίων C.
4. ἀσφαλῇ C.
5. καταξίαν O.
6. ἐπέκειντο O. In eodem desideratur vbb. καὶ ὁ Ἀππίων·
7. οὐκ ἐθ' C. In O est ἅπασι inter

www.libtool.com.cn

ὁρισάμενος, εἰδὼς αὐτὸν λαθεῖν μὴ δύνασθαι, καὶ τὸ λάθρα ἁμαρτεῖν παραιτήσεσθαι.

XXIV. Ταῦτα ὁ Ἀππίων ἀκούσας ἔφη· ἤδειν ἐξ ὅτε ἤκουσα Ἰουδαίοις σε[1] προσομιλοῦντα, ἠλλοιῶσθαι τὴν γνώμην. καλῶς γάρ εἴρηταί τινι· φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. κἀγὼ ἔφην· οὐκοῦν ἐπανορθοῦσιν ἤθη ἄχρηστα ὁμιλίαι καλαί. καὶ ὁ Ἀππίων ἔφη· σήμερον πεπληροφορήμην τὴν σὴν ἐπιγνῶναι ἕνστασιν· διό σοι πρώτῳ εἰπεῖν συνεχωρήσαμεν. αὔριον δὲ ἐνταῦθα, εἴ σοι φίλον ἐστίν, ἐπὶ τῶν αὐτῶν φίλων συνελθόντων ἀποδείξω, ὅτι οἱ θεοὶ ἡμῶν οὔτε μοιχοὶ ὄντες τυγχάνουσιν, οὔτε φονεῖς, οὔτε παίδων φθορεῖς, οὐκ ἀδελφαῖς ἢ θυγατράσι πλησιάσαντες· ἀλλ' οἱ ἀρχαῖοι τὰ μυστήρια μόνους τοὺς φιλομαθεῖς εἰδέναι θέλοντες μύθοις οἷς εἴρηκας αὐτὰ προσκάλυψαν[2]. Ζῆνα γὰρ τὴν ζέουσαν οὐσίαν εἶναι φυσιολογοῦσιν, Κρόνον δὲ τὸν χρόνον, καὶ Ῥέαν τὴν ἀεὶ ῥέουσαν τοῦ[3] ὕδατος φύσιν. πλὴν ὡς ὑπεσχόμην, αὔριον τὸ καθ' ἕκαστον[4] εἶδος ἔωθεν ὑμῖν συνελθοῦσιν ἀλληγορήσας τὴν τῶν ὄντων ἀλήθειαν ἐκφανῶ. κἀγὼ πρὸς ταῦτα ἔφην· αὔριον, ὡς ὑπέσχου, οὕτως ποίησον· ἤδη δὲ ἐντεῦθεν καὶ πρὸς αὐτά, ἃ μέλλεις λέγειν, ἄκουσον.

XXV. Αἱ τῶν θεῶν πράξεις εἰ μὲν ἀγαθαὶ οὖσαι κακοῖς μύθοις προσκαλύφθησαν, πολλὴ τοῦ σκεπάσαντος δείκνυται κακία, ὅτι τὰ σεμνὰ

cafe: qui vero Deum omnium inspectorem metae loco animae suae proposuit, gnarus quod eum latere non possit, clam quoque peccare supersedebit.

XXIV. Quae cum audisset Appion, dixit: Intellexeram, ex quo accepi tibi cum Judaeis esse consuetudinem, te mutavisse sententiam. Praeclare enim a quodam dictum est: *Mores bonos colloquia corrumpunt mala.* Excepi ego: Igitur mores malos colloquia bona corrigunt. Dixit Appion: Hodie abunde mihi sit, tuum certo agnovisse institutum: quare primus ut loquereris permisimus. Cras vero hic, si tibi videtur, iisdem amicis convenientibus ostendam, quod dii nostri neque adulteri sunt, neque interfectores, neque liberorum interemtores, neque sororum vel filiarum vitiatores. At veteres, dum mysteria a solis discendi cupidis volunt intelligi, ea fabulis quas dixisti occultaverunt. Jovem enim ferventem esse substantiam, physica ratione asserunt; Saturnum autem tempus; et Rheam semper fluentem aquae naturam. Verumtamen, ut pollicitus sum, cras vobis mane convenientibus, singulas species allegorice exponens rerum manifestam faciam veritatem. Ad haec ego dixi: Crastina die, ut promisisti, ita facito. Jam vero hinc et adversus ea quae dicturus es audi.

XXV. Deorum gesta si, bona cum essent, malis fabulis obtecta sunt, magna ejus qui texit ostenditur malitia, quod honesta pravis occultarit narra-

1. σε om O.
2. προσκάλυψεν O mendose.
3. τοῦ om. O.
4. καθέκαστον scr. O.

www.libtool.com.cn

ἀπέκρυψε κακοῖς διηγήμασιν, ἵνα μήτις αὐτῶν ζηλωτὴς γένηται. εἰ δὲ ἀληθῶς ἀσεβῆ διεπράξαντο, ἐχρῆν τοὐναντίον ἀγαθοῖς μύθοις [1] αὐτὰ ἐπισκέπειν, ἵνα μὴ οἱ ἄνθρωποι, ὡς εἰς κρείττονας ἀφορῶντες, ἁμαρτάνειν ἐπιχειρῶσιν ἐκείνοις παραπλήσια. ταῦτά μου εἰπόντος οἱ παρόντες φανεροὶ ἦσαν ἀρχὴν λαμβάνοντες τῆς πρὸς τοὺς ὑπ' ἐμοῦ λεχθέντας λόγους ἀγάπης. καὶ γὰρ συνεχῶς καὶ ἐσπουδασμένως ἀξιοῦντες πάντως με τῇ ὑστεραίᾳ ἐλθεῖν ἀπηλλάγησαν.

## ΟΜΙΛΙΑ Ε'

I. Τῇ μὲν οὖν ἐν Τύρῳ ἐπιούσῃ ἡμέρᾳ, καθὰ συνεταξάμεθα, εἰς τὸν ἡσύχιον τόπον [2] ἐλθών, τοὺς μὲν ἑτέρους μετά τινων καὶ ἄλλων ἰδὼν καὶ προσαγορεύσας, Ἀππίωνα δὲ μὴ ἑωρακώς, ἠρόμην τοῦ μὴ παρεῖναι ἐκεῖνον τὴν αἰτίαν. καί τις ἔφη, δυσαρρώστως αὐτὸν ἀπ' αὐτῆς ἑσπέρας ἐσχηκέναι τὸ σωμάτιον. ἐμοῦ δὲ φήσαντος, εὔλογον εἶναι παραχρῆμα ὁρμήσαντας ἐπισκέψασθαι αὐτόν, σχεδὸν οἱ πάντες ἠξίουν πρότερον διαλεχθῆναί με αὐτοῖς, εἶθ' οὕτως κἀκεῖνον ἐπισκέψασθαι δύνασθαι [3] αὐτόν. μιᾶς οὖν πάντων γνώμης γενομένης, λέγειν ἠρξάμην.

II. Ἐχθὲς [4] ἐντεῦθεν ἀπαλλαγείς, ὦ φίλοι, ὁμολογῶ ὅτι πάνυ φροντίζων ὑπὲρ τῆς πρὸς Ἀππίωνα μελλούσης ἔσεσθαι ζητήσεως ὕπνου τυχεῖν

tionibus, ne quis eorum fieret imitator. Quod si dii vere gesserant impia, contra oportebat illa bonis fabulis velare, ne homines, velut qui in numina respicerent, illis consimilia niterentur peccare. Haec me dicente, qui aderant, non obscure videbantur incipere dictos a me sermones amore prosequi. Etenim frequenter et studiose rogantes, ut omnino postridie venirem, digressi sunt.

## HOMILIA QUINTA.

I. Sequente igitur apud Tyrum die, quemadmodum pacti eramus, in quietum locum adveniens, ceteros quidem cum quibusdam et aliis intuitus cum salutassem, Appionem vero non viderem, causam cur ille non adesset rogavi. Et aliquis respondit, illum ex ipsa vespera aegroto jacuisse corpusculo. Cumque ego dixissem, aequum esse ut statim profecti eum visitaremus, fere cuncti deprecati sunt, ut prius eis edissererem; sic enim postea posse fieri ut illum inviseremus. Quia ergo una erat omnium voluntas, loqui coepi.

II. Heri hinc abiens, o amici, multum, fateor, sollicitus de futura adversus Appionem disceptatione somnum capere non potui. Vigilante autem me

1. μύθοις add. c. O. Idem ἐπισκέπτειν p. ἐπισκέπειν.
2. τόπον non est in O.
3. δύνασθαι textui reddidi, postquam omissum erat a Cl et S.
4. χθὲς O.

www.libtool.com.cn

οὐκ ἐδυνάμην. ἀγρυπνοῦντος δέ μου εἰσέδραμεν τὰ ἐν Ῥώμῃ πρὸς αὐτόν μοι μεμηχανημένα. ἦν δὲ τοιαῦτα. ἐκ παιδὸς ἐγὼ Κλήμης ἀληθείας ἐρῶν, καὶ ζητῶν τὰ ψυχῇ διαφέροντα, καὶ εἰς ἀνασκευὰς καὶ κατασκευὰς δαπανῶν τοὺς χρόνους, καὶ μηθὲν τέλειον εὑρεῖν δυνάμενος, ὑπὸ τῆς ἀνοίας ἐξώκειλα [1] εἰς νόσον. καὶ δὴ ἐμοῦ κατακειμένου ὁ Ἄππίων ἐπιδημεῖ τῇ Ῥώμῃ, πατρικὸς ὢν μοι φίλος, καὶ ἐπιξενοῦται ἐμοί, καὶ κλινήρη μαθὼν πρὸς ἐμὲ εἰσέρχεται, ὡς ἰατρικῆς οὐκ ἀμύητος, καὶ πυνθάνεται τῆς κατακλίσεως τὴν αἰτίαν. ἐγὼ δὲ τὸν ἄνδρα οὐκ ἀγνοῶν [2] πάνυ Ἰουδαίους δι' ἀπεχθείας ἔχοντα, ὡς καὶ πολλὰ βιβλία κατ' αὐτῶν συγγεγραφέναι [3]· καὶ αὐτὸν Σίμωνα νῦν οὐ διὰ φιλομάθειαν [4] εἰς φιλίαν προσιέμενον· ἀλλ' ἐπειδὴ Σαμαρέα αὐτὸν οἶδε μισοϊουδαίόν τε ὄντα καὶ κατὰ Ἰουδαίων προεληλυθότα, διὰ τοῦτο αὐτὸν προσοικειώσατο, ἵνα δύναιτο κατὰ Ἰουδαίων τι παρ' αἰτοῦ μανθάνειν.

III. Ταῦτα ἐγὼ προειδὼς [5] περὶ τοῦ Ἄππίωνος, ἅμα τῷ πυθέσθαι αὐτὸν τὴν αἰτίαν τῆς νόσου προσποιητικῶς [6] ἀπεκρινάμην, ὅτι τὰ νέων πάσχω καὶ ἀλγῶ τὴν ψυχήν. ὁ δὲ πρὸς ταῦτα ἔφη· τέκνον, ὡς πατρὶ θαρσήσας λέγε, τίς σου τῆς ψυχῆς ἡ νόσος. ἐμοῦ δὲ προσποιητικῶς [7] πάλιν ἀναστενάξαντος, ὡς δὴ περὶ ἔρωτος εἰπεῖν αἰδουμένου, διά γε τῆς σιωπῆς

occurrerunt, quae Romae contra illum commentus fui. Sunt autem haec. A puero ego Clemens veritatis studiosus, quaerensque animae utilia, et in confutationes ac probationes tempus insumens, nihilque valens veri invenire, in morbum ex mentis impotentia deveni. Cumque decumberem, Romam advenit Appion, paternus amicus, et apud me hospitatur: audiensque in lecto me jacere, ad me ingressus est, tamquam medicae artis non imperitus; atque rogat causam decubitus. Ego vero hominem non ignorabam summo Judaeos prosequi odio, adeo ut et contra eos multos scripserit libros; nunc certe Simonem ipsum in amicitiam admisit non quidem ob discendi studium ac eruditionem: sed quia novit eum esse Samaritanum et Judaeorum hostem, adversus quos etiam sit progressus, ideo eum sibi conciliavit, quo possit aliquid ab illo contra Judaeos discere.

III. Haec ego sciens de Appione, simul ac causam morbi petiit, respondi simulate, me juvenum more affectum dolere animo. Ad haec ille dixit: Fili, tamquam patri confisus narra, quinam sit animi tui morbus. Cumque iterum ficte vehemens ducerem suspirium, quasi veritus fateri amorem, silendo et

1. ἐξώκειον O.
2. D legi vult ἀγνοῶ. ἀνακόλουθος, quum verbo resumatur participium ἀγνοῶν. Alioquin scribendum esset ἠγνόουν. S.
3. ἀναγεγραφέναι C.
4. Ejeci c. O αὐτὴν post φιλομάθειαν. Tum προσιέμενον D, προσέμενεν C O.
5. προειδὼς scripsi ex conject., προϊδὼν C, προϊδὼς O. Tum τῷ O c. D, τοῦ C.
6. προσποιητῶς C.
7. προσποιητῶς C.

καὶ τοῦ κατανεύειν[1], περὶ οὗ ἤθελον ἐνδείκνυσθαι, παρεῖχον τὴν ὑπόνοιαν· ὁ δὲ ἐρᾶν[2] με γυναικὸς ἀληθῶς ἀναπεισθεὶς ἔφη· οὐδέν ἐστιν ἐν τῷ βίῳ, βοηθείας τυχεῖν μὴ δυνάμενον. καὶ γὰρ αὐτὸς ὅτε νέος ἤμην[3], ἐρασθεὶς γυναικὸς ἀξιολογωτάτης οὐ μόνον αὐτῆς[4] τυχεῖν ἡγούμην ἀδύνατον εἶναι, ἀλλ᾽ οὐδὲ προσαγορεῦσαί ποτε ἤλπιζον· καὶ ὅμως περιτυχών τινι Αἰγυπτίῳ, πάνυ τὰ μάγων ἀκριβοῦντι, καὶ φιλωθεὶς ἐκφαίνω μου τὸν ἔρωτα, καὶ οὐ μόνον ἑαυτόν μοι παρεῖχε πρὸς πᾶν ὃ ἐβουλόμην, ἀλλὰ δαψιλέστερον πρός με φιλοτιμούμενος καὶ τὴν ἐπαοιδήν, δι᾽ ἧς ἔτυχον, διδάσκειν οὐκ ἐφθόνησεν. ἐκ δὲ τῆς ἐκείνου λαθραίας ὑποδείξεως, πεισθεὶς τῇ τοῦ διδάξαντος ἀφθονίᾳ, καὶ ἅπαξ ἐπιτυχών, ἐπαυσάμην τοῦ ἔρωτος.

IV. Ὅθεν εἰ καὶ σὺ τοιοῦτόν τι πέπονθας ἀνθρωπίνως, θάρσησον ἡμῖν πρὸς τὸ ἀμέριμνον· ἐντὸς γὰρ ἡμερῶν ἑπτὰ πάντως αὐτῆς ἐπιτυχεῖν σε ποιήσω. ταῦτα ἀκούσας ἐγώ, εἰς τὸν ἐμὸν[5] σκοπὸν ἀποβλέπων ἔφην· σύγγνωθί μοι μὴ πάνυ πιστεύοντι μαγείαν ὑφεστᾶναι· πολλῶν γὰρ πολλὰ ἐπαγγελλομένων καὶ διαψευσαμένων ἤδη πεπείραμαι. πλὴν δυσωπεῖ[6] με καὶ εἰς ἐλπίδας ἄγει ἡ σὴ ὑπόσχεσις. δέδοικα δὲ ἐνθυμούμενος, μὴ ἄρα οἱ δαίμονες τοῖς μάγοις ἐνίοτε πρὸς τὰ κελευόμενα οὐχ ὑπείκουσιν.

V. Καὶ ὁ Ἀππίων ἔφη· ταῦτα ἐμοί σου μᾶλλον συγχώρει εἰδέναι.

contemplando suspicionem dedi ejus quod indicari volebam. At ille re vera me mulierem deperire persuasus dixit: Nihil in vita est, cui non possit adhiberi remedium. Ipse enim ego, adhuc juvenis, cum in amorem incidissem elegantissimae mulieris, non modo impossibile judicabam illa frui, verum neque salutare umquam sperabam: et tamen nactus aliquem Aegyptium, magicis in artibus peritissimum, et contracta cum eo amicitia, amorem meum declaro: ac non solum ille se mihi ad cupita omnia tradidit; sed largissime mihi gratificans, etiam carminis per quod potitus fui scientiam non invidit: atque per illius hominis occultam demonstrationem, persuasus magistri munificentia, et semel potitus, amare cessavi.

IV. Unde si et tu tale quid hominum more pateris, mihi confisus depone curas. Intra enim septem dies omnino te mulieris faciam compotem. His ego auditis, meum respiciens ad scopum, aio: ignosce mihi non penitus credenti magiam exstare: multos quippe jam expertus sum, multa pollicitos ac mentitos. Attamen movet me ac in spem adducit promissio tua. Vereor autem, dum cogito, forte daemones interdum magis ad mandata non obedire.

V. Respondit Appion: mihi concede, ut haec plus quam tu cognoscam.

1. *κάτω νεύειν* C.
2. Ita O et ex conject. C, qui *ἐρῶν* in textu. Vbb. „Nihil in vita est — umquam spe“ (rabam) Cotelerianae versioni reddidi, cum excidissent ap. S.
3. Ita O in marg., *ἦμιν* in textu. Idem *ἀξιολογώτατος*.
4. *αὐτὴν* S invita grammatica.
5. *ἐμοῦ* C.
6. Ita O c. S, *δυσωπεῖ* C.

www.libtool.com.cn

πλὴν ἵνα μὴ σοκῇς, πρὸς ὃ ἔφης, μηδὲν ἀκηκοέναι παρ' ἐμοῦ, μάθε πῶς ἀνάγκην ἔχουσιν οἱ δαίμονες τοῖς μάγοις ὑπείκειν περὶ ὧν κελεύονται. ὡς γὰρ ἀδύνατόν ἐστι στρατιώτην ἀντειπεῖν τῷ ἡγουμένῳ, αὐτοῖς τε τοῖς ἡγουμένοις οὐχ οἷόν τε παρακοῦσαι βασιλέως· εἰ γάρ τις ἀντερεῖ τοῖς ἐφεστηκόσιν, πάντως τιμωρίας ἀξιοῦται· οὕτως ἀδύνατόν ἐστι τοὺς δαίμονας μὴ ὑπουργεῖν[1] τοῖς αὐτῶν ἡγουμένοις ἀγγέλοις, καθ' ὧν ὁρκιζόμενοι φρίττοντες εἴκουσιν, εὖ εἰδότες ὅτι ἀπειθήσαντες[2] πάντως κολάζονται. ἀλλὰ καὶ αὐτοὶ οἱ ἄγγελοι κατὰ τοῦ κρείττονος ὑπὸ μάγων ὁρκιζόμενοι ὑπείκουσιν, μήπως ἀπειθείας κριθέντες ἀπόλωνται. εἰ γὰρ μὴ πάντα ἔμψυχα ὄντα καὶ λογισμένα προεώρα τὴν ἐκ τοῦ κρείττονος δίκην, σύγχυσις ἂν ἐγεγόνει, τῶν πάντων στασιαζόντων πρὸς ἄλληλα.

VI. Κἀγὼ ἔφην· οὐκοῦν ὀρθῶς ἔχει τὰ ὑπὸ ποιητῶν καὶ φιλοσόφων λεγόμενα[3], ὡς ἐν ᾅδου αἱ ψυχαὶ τῶν ἀσεβῶν κριθεῖσαι ἐφ' οἷς ἐτόλμησαν κολάζονται, οἷον Ἰξίωνος καὶ Ταντάλου Τιτυοῦ τε καὶ Σισύφου καὶ τῶν Δαναοῦ θυγατέρων καὶ ὅσοι ποτὲ ἄλλοι ἐνταῦθα ἠσέβησαν; καὶ πῶς, εἴγε ταῦθ' οὕτως μὴ ἔχῃ[4], δυνατὸν ἂν μαγείαν ὑφεστᾶναι[5]; τοῦ δὲ εἰπόντος, οὕτω τὰ ἐν ᾅδου ἔχειν, ἐγὼ ἐπυθόμην· διὰ τί δὴ καὶ αὐτοὶ μαγεύειν[6] οὐ πεφοβήμεθα, ἐπὶ μοιχείᾳ πεπεισμένοι τὴν ἐν ᾅδου δίκην; μοιχεία[7] γὰρ βιάσασθαι τὴν μὴ θέλουσαν οὐ συντίθεμαι εἶναι δίκαιον. εἰ δέ τις αὖ-

Ne tamen nihil videaris ex me audivisse de eo quod dixisti, disce, qua ratione cogantur daemones obsequi mandatis magorum. Nam sicut fieri non potest, ut miles duci contradicat, et sicut ipsi duces non possunt imperatori non obtemperare (si quis enim praepositis resistat, omnino poenas solvet), ita fieri nequit, ut daemones angelis ducibus suis non subserviant; per quos adjurati cedunt trementes, ut qui bene noverint se non obsecutos omnino puniri. Ipsi quoque angeli, per Deum ab magis adjurati, obediunt, ne inobsequentiae rei pereant. Nisi enim cuncta anima et ratione praedita justitiam Numinis praevideret, oriretur confusio, omnibus nempe mutua seditione laborantibus.

VI. Et ego dixi: vera itaque sunt quae a poetis et philosophis narrantur, in inferis animas impiorum judicari, et pro facinoribus puniri? Exempli gratia animas Ixionis, Tantali, Tityi, Sisyphi, et Danai filiarum, nec non alios omnes quicumque hic vixerunt impie. Ac quo modo, si haec non ita se habent, poterit magia subsistere? Cumque ille respondisset, ita esse de inferis, ego interrogavi: et cur ipsi magiam exercere non timemus, qui certi sumus de poenis adulterii apud inferos? Stupro siquidem nolentem feminam comprimere,

1. *ὑποργεῖν* O.
2. *ἀπειθήσαντες* Cl; Ottoboniani *ἀπειθείσαντες* idem valet, *ἀπελθήσαντες* C.
3. *φλεγόμενα* O mendose.
4. *ἔχει* O.
5. *ὑφεστάναι* O.
6. *μαγείαν* C. Tum *ἐπὶ μοιχείᾳ* O.
7. Leg. *μαγείᾳ* c. D, cl. capp. 7 et 8.

www.libtool.com.cn

τὴν πεῖθειν ἐπαγγέλλεται, πρὸς τοῦτο, μετὰ τοῦ καὶ χάριν ὁμολογεῖν, ἕτοιμος ἔχω.

VII. Καὶ ὁ Ἀππίων ἔφη· οὐ δοκεῖ σοι ταὐτὸν εἶναι, εἴτε μαγείᾳ αὐτῆς ἐπιτύχοις [1], εἴτε πείσας λόγοις; κἀγὼ ἔφην· οὐ πάντως ὅμοιον· πολὺ γὰρ ἀφέστηκεν ἀλλήλων ἑκάτερον· ὁ μὲν γὰρ ἄπουσαν γυναῖκα τῇ τῆς μαγείας βίᾳ ἐπαναγκάσας, ὡς ἐπιβουλεύσας σώφρονι, χαλεπωτάτην ὑπέχει τὴν δίκην, ὁ δὲ λόγῳ πείσας, καὶ ἐπὶ τῇ αὐτῆς ἐξουσίᾳ καὶ βουλῇ ποιησάμενος τὴν αἵρεσιν, οὐκ ἐβιάσατο. ἧττον δὲ οἶμαι κολασθήσεσθαι τὸν πεπεικότα τοῦ βιασαμένου· τοιγαροῦν εἰ μὲν πεῖσαι δύνασαι, χάριν ἕξω ἐπιτυχών, ἄλλως δὲ ἡδιόν [2] μοι τεθνάναι μᾶλλον, ἢ τὴν μὴ βουλομένην βιαίως ἐπαναγκάσαι.

VIII. Καὶ ὁ Ἀππίων ἀληθῶς διαπορῶν ἔφη· τί με χρὴ πρός σε λέγειν; ποτὲ μὲν γὰρ ὡς ὑπὸ ἔρωτος ἐνοχλούμενος εὔχῃ ἐπιτυχεῖν, ποτὲ δὲ ὡς οὐκ ἐρῶν [3] τῆς ἐπιθυμίας προτιμᾷς τὸν φόβον, καὶ οἴει πείσας μὲν ὡς ἀναμάρτητος ἔσεσθαι ἀνεύθυνος, βίᾳ δὲ τῇ τῆς μαγείας ἐπιτυχὼν ὑφέξειν [4] δίκην. ἀλλ' ἀγνοεῖς ὡς τὸ τέλος παντὸς πράγματος κρίνεται, ὅτι γέγονεν, οὐ τὸ πῶς γέγονε δοκιμάζεται. καὶ σὺ δὲ ἐὰν μοιχεύσῃς οὐδήπου μαγείᾳ μὲν δυνηθείς, ὡς ἀσεβὴς [5] κριθήσῃ, πείσας δὲ τῆς κατὰ τὴν μοιχείαν ἁμαρτίας ἀπολυθήσῃ; κἀγὼ ἔφην· διὰ τὸ ἐρᾶν πάντως μοι προκει-

justum esse non assentior. Sed si quis persuasurum se illam pollicetur, ad id ego sum paratus, insuperque habebo gratiam.

VII. Excepit Appion: nonne tibi videtur idem esse, sive per magiam ea potiaris, sive per verborum suadelam? Respondi ego: non omnino par est: multum quippe distat unum ab altero. Qui enim invitam mulierem per vim magiae cogit, tamquam insidiator pudicae gravissimas dabit poenas: qui vero sermone persuasit, atque in ejus arbitrio ac voluntate posuit electionem, is non intulit vim. Minus autem, opinor, punietur qui suasit, quam qui coegit. Quocirca si quidem persuadere potes, gratiam habebo compos factus: aliter vero dulcius mihi mori quam nolentem vi adigere.

VIII. Et Appion vere dubius animi dixit: quid me tibi effari oportet? Interdum enim quasi amoris impatiens frui desideras; interdum vero, quasi non ames, metum anteponis cupidini, et existimas, quod, si persuaseris, impune tamquam qui non peccaveris evades, sin vero per magicam vim compos voti fias, poenas dabis. Sed ignoras, cujuscumque negotii finem judicari, et factum, non facti modum expendi. Et vero tu si adulterium commiseris, numquid, per magiam compos, tamquam impius condemnaberis, per suasionem vero, ab adulterii peccato absolveris? Et ego respondi, cum amem: omninoque mihi

1. ἐπιτυχάν C. Verum jam vidit S. Idem παίσας mendose.
2. ἥδιόν S O, ἥδειόν C.
3. αἰρῶν O.
4. ὑφέξιν O.
5. ἀσεβήσας C.

www.libtool.com.cn

μένου τυχεῖν τῆς ἐρωμένης, ἀνάγκη μέν μοι ἑλέσθαι θάτερον, αἱρήσομαι δέ, εἰ[1] οἷόν τε, κολακεῦσαι μᾶλλον, ἢ μαγεῦσαι. ἀλλ' οὐδὲ κολακείᾳ πείθειν αὐτὴν ῥᾴδιον· πάνυ γάρ ἐστιν ἡ γυνὴ φιλόσοφος.

IX. Καὶ ὁ Ἀππίων ἔφη· ταύτῃ μᾶλλον εὐέλπίς εἰμι πείθειν[2] αὐτὴν δυνήσεσθαι, ὡς αὐτὸς θέλεις, εἴ περ γε προσομιλήσαι αὐτῇ δυνάμεθα. κἀγὼ ἀπεκρινάμην· ἀδύνατον. καὶ ὁ Ἀππίων ἐπύθετο, εἰ ἐπιστεῖλαι αὐτῇ δυνατόν ἐστιν. κἀγὼ ἔφην· δυνατὸν τοῦτό γε. καὶ ὁ Ἀππίων ἔφη· ἔτι[3] τῇ νυκτὶ ταύτῃ συγγράψω βιβλίον, μοιχείας ἐγκώμιον, ὅπερ σὺ παρ' ἐμοῦ λαβὼν διαπέμψεις αὐτῇ, καὶ ἐλπίζω ὅτι πεισθεῖσα συνθήσεται. καὶ[4] συγγράψας ὁ Ἀππίων ἐκεῖνο τὸ βιβλίον ἐδίδου ἐμοί, περὶ οὗ καὶ ἐν τῇ νυκτὶ ταύτῃ ἐνενόησα, καὶ εὐκαίρως[5] ἔχειν αὐτὸ ὑπεμνήσθην, σὺν ἄλλοις βιβλίοις οἷς μετ' ἐμαυτοῦ[6] ἐπιφέρομαι. διηγησάμενος δὲ ταῦτα ἔδειξα τοῖς παροῦσι τὸ βιβλίον, καὶ βουλομένοις ἐπακοῦσαι ἀνέγνων, καὶ δὴ ἀναγνοὺς ἔφην· αὕτη ἐστίν, ἄνδρες, ἡ τῶν Ἑλλήνων παιδεία, γενναίαν ὑπόθεσιν ἔχουσα πρὸς τὸ ἀδεῶς ἐξαμαρτάνειν. τὸ δὲ βιβλίον ἦν οὕτως ἔχον.

X. Ὁ ἐρῶν τῇ ἐρωμένῃ (ἀνωνύμως διὰ τοὺς ἐκ τῶν ἀνοήτων ἀνθρώπων νόμους) ἐπιταγαῖς Ἔρωτος τοῦ πάντων πρεσβυτάτου παιδὸς χάριν[7].

proponam frui amata, necesse quidem est ut alterum eligam, malim vero, si facultas est, adulatione uti, quam magia. Sed nec blanditiis facile erit mulierem ad consensum adducere, valde enim sapientiae studiosa est.

IX. Et Appion: eo magis, inquit, bona me spes habet, posse ei persuaderi, quemadmodum cupis, si cum ea colloqui detur. Ego respondi, fieri nequit. Appion autem sciscitatus est, num posset ad eam scribi. Et ego dixi, id quidem fieri posse. Tum Appion: jam nocte hac conscribam libellum, moechiae laudem; quem tu a me acceptum ad eam mittes; et spero quod flexa consentiet. Atque Appion compositam eam epistolam mihi dedit, de qua nocte ista cogitavi quamque opportune recordatus sum me habere una cum aliis libellis, quos mecum defero. Haec cum narrassem, adstantibus ostendi epistolam, cupidisque audire recitavi. Legens autem dixi, haec est, o viri, Graecorum disciplina, quae largam praebet ad audaciter peccandum occasionem. Epistola vero ita habebat.

X. Amator amatae (absque nominibus propter leges a stultis hominibus

1. *εἰ* addidi c. O: quam particulam deesse jam suspicatus est S.
2. Ita S, *πείσειν* C O.
3. *ἐπὶ* conj. D.
4. *καὶ* omittere non debebat S c. Cl.
5. Hanc Ci conjecturam confirmat O, *εὔκαιρος* C in textu.
6. Ita S, *μεθ' ἑαυτοῦ* C O.
7. Leg. *χαίρειν*. S.

www.libtool.com.cn

ἄγνων σε φιλοσοφίᾳ[1] προσανέχουσαν, καὶ ἀρετῆς ἕνεκα τὸν τῶν κρειττόνων ζηλοῦσαν βίον. τίνες δὲ ἂν εἶεν κρείττονες, ἢ θεοὶ μὲν ἁπάντων, ἀνθρώπων δὲ οἱ φιλόσοφοι; οὗτοι γὰρ μόνοι ἴσασιν, τῶν ἔργων ποῖα μέν ἐστιν φύσει καπὰ ἢ καλά, ποῖα δὲ τῇ τῶν νόμων θέσει οὐκ ὄντα νομίζεται. αὐτίκα γοῦν τὴν λεγομένην μοιχείαν πρᾶξίν τινες ὑπειλήφασιν εἶναι κακήν, καίτοι καλὴν κατὰ πάντα ὑπάρχουσαν. εἰς γὰρ τὴν τοῦ βίου πολυγονίαν ἐπιταγαῖς Ἔρωτος γίνεται. Ἔρως δέ ἐστιν ὁ πάντων θεῶν πρεσβύτατος. ἄνευ γὰρ δὴ Ἔρωτος οἱ στοιχείων, οὐ θεῶν, οὐκ ἀνθρώπων, οὐ ζώων ἀλόγων, οὐ τῶν λοιπῶν ἁπάντων μῖξις ἢ γένεσις[2] γενέσθαι δύναται. πάντες γάρ τοι ὄργανά ἐσμεν τοῦ Ἔρωτος. αὐτὸς δὲ[3] ὁ δι' ἡμῶν τεχνίτης, παντὸς τοῦ γεννωμένου ψυχαῖς ἐπιθημῶν ἐστι νοῦς. ὅθεν οὐκ αὐτοὶ θέλοντες, ἀλλ' ὅταν ὑπ' αὐτοῦ κελευσθῶμεν, τὸ ἐκείνου βούλημα ποιεῖν ἐπιθυμοῦμεν. οἱ δὲ[4] ἐκείνου βουλῇ ἐπιθυμοῦντες, χάριν τῆς λεγομένης σωφροσύνης κρατεῖν τῆς ἐπιθυμίας ἐπιχειρήσωμεν[5], πῶς τῷ πάντων πρεσβυτάτῳ θεῶν τε καὶ ἀνθρώπων ἀντιπράττοντες[6] οὐ τὰ μέγιστα ἀσεβήσωμεν;

XI. Ἀλλὰ πᾶσαι μὲν ἀνεῴχθωσαν[7] αὐτῷ θύραι, πάντες δὲ μοχθηροὶ

sancitas) jussu amoris, antiquissimi omnium pueri, salutem dicit. Cognovi te animum ad studium sapientiae applicare, et ob virtutem aemulari meliorum vitam. Quinam vero meliores sint, quam inter omnia dii, et inter homines philosophi? Illi namque soli sciunt, quaenam ex actionibus natura sint malae aut bonae, et quaenam per legum decreta tales, cum non sint, habeantur. Jam ergo adulterium, quod dicitur, nonnulli actionem malam esse crediderunt, licet omnimode bona sit. Nam ad generis multiplicationem jussu Cupidinis exercetur. Est autem Cupido deorum omnium antiquissimus. Absque enim Cupidine non elementorum, non deorum, non hominum, non brutarum animantium, non ceterorum omnium congressus vel generatio fieri potest. Omnes etenim amoris sumus instrumenta. Sed ipse mens per nos opifex, ad cunctorum quae gignuntur animas adveniens. Unde non quando ipsi volumus, sed quando ab eo jubemur, illius voluntatem facere desideramus. Quod si, qui ejus voluntate cupimus, cupiditatem propter id quod vocatur pudicitia nitamur comprimere, quo modo dum omnium deorum hominumque antiquissimo refragamur, non maximam impietatem admittemus?

XI. Universa itaque ipsi aperta sint ostia, et omnes molestae ac adsciti-

1. Ita O et ex conject. C, φιλοσοφίαν id. in textu.
2. γέννησις C.
3. δὲ add. c. O.
4. δ' C.
5. ἐπιχειρήσομεν O.
6. Post ἀντιπράττοντες in O legitur ἀνεώχθωσαν, quod ex sequentibus perperam irrepsit.
7. ἀνεῴχθωσαν O, ut jam proposuit S; ἀνεῴχθησαν C.

www.libtool.com.cn

καὶ θετοὶ λυέσθωσαν νόμοι, ζηλοτύποις ἀνθρώποις κείμενοι, οἵ τινες ὑπὸ ἀγνοίας κρατούμενοι καὶ τὸ εὔλογον νοεῖν μὴ βουλόμενοι, προσέτι δὲ καὶ τοὺς λεγομένους μοιχοὺς ὑφορώμενοι, ὑπ' αὐτοῦ τοῦ Διὸς διά γε τοῦ Μίνω καὶ τοῦ Ῥαδαμάνθυος [1] εὐλόγως θετοῖς παίζονται [2] νόμοις. Ἔρωτα γὰρ ἐπιδημήσαντα ψυχαῖς οὐκ ἔστιν ἐπισχεῖν. οὐ γάρ ἐστιν ἑκούσιον τὸ τῶν ἐρώντων πάθος. αὐτίκα γοῦν ὁ Ζεὺς αὐτὸς ὁ τούτων νομοθέτης μυρίαις συνήλυθεν γυναιξίν, καὶ ὑπ' ἐνίων μὲν σοφῶν εὐεργέτης πρὸς τεκνοποιΐαν, ἐνίοτε τὴν αὐτοῦ [3] μῖξιν ἀνθρώπους δωρούμενος. παρ' οἷς δὲ ἐπὶ τῇ χάριτι ἠπίστατο [4], ἀγνοούμενος μετεμορφοῦτο τὴν ἰδέαν, ἵνα μήτε αὐτοῖς λυπῇ, μήτε τοῖς ὑπ' αὐτοῦ τεθεῖσι νόμοις ἀντιπράττειν δοκῇ. δεῖ οὖν τῇ φιλοσοφίᾳ προσανέχουσαν, καλοῦ βίου χάριν μιμεῖσθαι τοὺς ὁμολογουμένους κρείττονας· ὧν αἱ μῖξεις μυρίαι γεγόνασιν.

XII. Καὶ ὑπὲρ τοῦ μὴ τὸν χρόνον παραναλίσκειν μάτην εἰς τὰς ἀποδείξεις τὰς πλείονας, ἀπ' αὐτοῦ τοῦ Διὸς, τοῦ πατρὸς θεῶν τε καὶ ἀνθρώπων, ἄρξομαι τὰς ἐνίων μιηνύειν κοινωνίας· πασῶν γὰρ ὑπομνησθῆναι διὰ τὸ πλῆθος ἀδύνατον. ἄκουε τοίνυν αὐτοῦ τοῦ μεγάλου Διὸς, διὰ τὴν τῶν ἀνοήτων ἀνδρῶν ζηλοτυπίαν, τὰς διὰ τῆς μεταμορφώσεως λανθανούσας κοινωνίας. ἐν πρώτοις γὰρ τῆς διαφόρου μίξεως τὴν ὑπονοου-

tiae solvantur leges, zelotypis hominibus positae, qui mente capti, nec volentes aequum intelligere, insuperque et dictos adulteros suspicati, a Jove ipso per Minoem et Rhadamanthum juste illuduntur latis legibus. Nam Amorem animis accedentem coercere non possumus. Neque enim voluntarius est amantium affectus. Ipse itaque Juppiter, harum legum lator, innumeris concubuit cum mulieribus; et quidem propter quosdam sapientes viros beneficus in liberorum procreatione factus nonnumquam congressum suum hominibus donavit, apud eos vero, qui gratiam non intelligebant, clam mutabat formam, ut nec illos contristaret, nec a se positis legibus videretur derogare. Quae ergo philosophiae incumbis, praeclarae vitae gratia imitari debes eos qui ex confesso optimi sunt; quorum infiniti exstiterunt concubitus.

XII. Et ne tempus frustra impendam in plures demonstrationes, ab ipso Jove, deorum ac hominum parente, incipiam quorundam indicare complexus: cunctos enim memorare, ob multitudinem impossibile est. Audi ergo magni ipsius Jovis ob stolidorum hominum zelotypiam clancularios per transformationem coitus. In primis enim variae mixtionis sive moechiae subdolum peccatum

1. ῥαδαμάνθου O.
2. Ita O c. S, παίσονται C.
3. πρὸς τεκνοποιΐαν ἐνοήθη, τὴν αὐτοῦ μῖξιν legendum censet D.
4. Ita O c. S, ἐπίστατο C. Ceterum totus locus corruptus est. D eum sic vult restitui: ἠπίστατο ἀχθομένοις, μετεμορφοῦτο κτλ., quod interpretatur „apud eos vero, quos hocce beneficium moleste ferre novit, formam mutavit.“ Ci versio, quam ego retinui, constare cum graecis verbis nullo modo potest. Quae sit loci sententia, apparet ex seqq. S.

μένην[1] τῆς μοιχείας ἁμαρτίαν σοφοῖς λῦσαι θέλων, ὁπότε ἔμελλε γαμεῖν καὶ ὡς ἐπὶ πρώτῃ εὐνῇ κατὸ τοὺς πολλοὺς μοιχοὺς εἰθώς, οὐ γινόμενος[2], διὰ τῆς δοκούσης, ὡς ἔφην, ἁμαρτίας τὸν ἀναμάρτητον γάμον ἐπορίσατο. ἀδελφὴν γὰρ αὐτοῦ Ἥραν οὖσαν γαμεῖ, ὁμοιωθεὶς[3] κόκκυγος[4] πτερῷ, ἐξ ἧς Ἥβη τε καὶ Εἰλείθυια ἐγένετο. τὴν Μῆτιν γὰρ χωρὶς τῆς πρός τινα μίξεως ἀποκυίσκει, ὡς καὶ Ἥρα τὸν Ἥφαιστον.

XIII. Ἔτι δὲ μίγνυται ἀδελφῇ τῇ ἐξ Οὐρανοῦ καὶ Θαλάσσης αὐτῷ γενομένῃ[5] ἀπὸ τῆς Κρόνου ἐκτομῆς, Ἔρως καὶ Κύπρις, ἣν καὶ Δωδώνην[6] λέγουσιν· μίγνυται δὲ καὶ Ἀντιόπῃ τῇ Νυκτέως, σατύρῳ παρεικα-

dum sapientibus solvere vult, quando uxorem ducturus fuit, et ut in primo concupitu juxta plures moechos sentiens, ibi cum fuit, per creditum (ut dixi) peccatum contraxit inculpatum matrimonium. Nam Junonem sororem suam in uxorem accepit, assimilatus avi cuculo, ex qua natae sunt Hebe et Ilithya. Metin namque absque ulla penitus mistione peperit, sicut et Juno Vulcanum.

XIII. Adhuc vero cum sorore miscetur, progenita ex Coelo et Mari, vel ex Saturni virilibus exsectis (unde Cupido et Cypris), quam et Dodonam vocant. Miscetur etiam cum Antiope Nyctei filia, similis factus Satyro; ex qua orti

1. Vbb. τῆς διαφόρου μίξεως τὴν ὑποννοουμένην largitus est exemplar Ott.

2. Retinui Ci textum et versionem, etsi ille corruptelae manifestus, haec perversa et ne graecis quidem verbis consentanea sit. At ego nihil video medelae ex conjectura. Haud enim acquiescere possum in ea emendatione, quam D proposuit, dum scribi jubet κατὰ τ. π. μοιχοῖς ἐοικώς, οὐ γινόμενος, quod vertit „ut multi censent, moechis similis, non revera tamen moechus factus.“ Malim scribere μοιχοὺς τὸ εἶδος οὐ γινόμενος. S.

3. ὁμοιωθεῖσαν O.

4. Ita O c. marg. Ci, cujus textus κόκκυτος. Deinde Ἰλιθῆα C in textu, lectionem Oi in marg.

5. Ita O c. marg. Ci et D, γενομένης C in textu. Qui quidem annotat: „non repugnabo, si quis intelligere voluerit exsectionem, quam fecisse, non quam passus esse dicitur Saturnus. Utrumque enim tradunt fabulae, Saturnum et genitalia patri Urano seu Coelo abscidisse, et genitalibus privatum fuisse per Jovem filium. Schol. Apoll. Rhod. IV, 985: Τίμαιος δὲ ἐκ τοῦ δρεπάνου, ᾧ ἐξέτεμεν τοῦ Οὐρανοῦ τὰ αἰδοῖα ὁ Κρόνος, ἢ ὁ Ζεὺς τὰ τοῦ Κρόνου.“ Tum ἐκτομῆς (ἐξ ἧς Ἔρως καὶ Κύπρις) ἣν scribi vult D. Recte. Idem verba ἐξ Οὐρανοῦ mutanda esse putat in ἐκ Κρόνου. Licet enim, ait, ex demessis Coeli viribus et in mare projectis orta ferretur Venus, quemadmodum docet Noster Hom. VI, 2 (ἐκ τῆς ἀποτομῆς τοῦ Οὐρανοῦ — ἡ Ἀφροδίτη ἐγένετο), ea tamen Jovis non soror, sed amita censeretur, nisi scriberetur ἐκ Κρόνου. Confirmat hanc scripturam auctor Recogn. X, 20: Jupiter desecta Saturni genitalia in mare projecit.“ Mirari aliquis possit, Cypriam loco nostro venditari pro filia Aphrodites: at idem legitur Recogn. l. c.: „— Aphroditen, quam apud nos Venerem appellant, ex cujus concubitu, quae erat utique soror, hunc ipsum Jovem ferunt genuisse Cyprin, ex qua ajunt et Cupidinem natum.“ S.

6. Nemo unquam Venerem aut Cyprin Dodonam vocavit, sed multi Dionae filiam dixerunt. Itaque legerim Διώνης sc. θυγατέρα. Cl. Cfr. Hom. IV, 16.

www.libtool.com.cn

σράνος, ἐξ ἧς Ἀμφίων καὶ Ζῆθος γεγόνασιν. Ἀλκμήνῃ τε[1] τῇ Ἀμφιτρύωνος γυναικὶ συνέρχεται, ὁμοιωθεὶς τῷ Ἀμφιτρύωνι τῷ γεγαμηκότι, ἐξ ἧς Ἡρακλῆς ἐγένετο. καὶ Αἰγίνῃ τῇ Ἀσωποῦ[2] πλησιάζει, γενόμενος ἀετός, ἐξ ἧς[3] Αἰακὸς τίκτεται. Ἀμαλθείᾳ δὲ τῇ Φώκου ὁμοιωθεὶς ἄρκτῳ συνευνάζεται. καὶ Δανάῃ τῇ Ἀκρισίου χρυσὸς ἐπερρύη, ἐξ ἧς Πέρσευς ἀνέπτη[4]. Καλλιστοῖ τῇ Λυκάονος ἠγριώθη λέων, καὶ ἄλλον τίκτει Ἀρκάδα. Εὐρώπῃ τῇ Φοίνικος διὰ ταύρου συνῆλθεν, ἐξ ἧς Μίνως καὶ Ῥαδάμανθυς καὶ Σαρπηδών[5] ἐξέφυσαν[6]. Εὐρυμεδούσῃ τῇ Ἀχελῴου, μύρμηξ γενόμενος, ἐξ ἧς Μυρμιδόν[7]. Ἑρσαίου νύμφῃ, γενόμενος γύψ, ἐξ ἧς οἱ ἐν Σικελίᾳ πάλαι σοφοί. Εἴμιᾳ τῇ[8] γηγενεῖ ἐν Ῥόδῳ διὰ ὄμβρου συνῆλθεν, ἐξ ἧς Παργαῖος, Κρόνιος, Κύτος. καὶ Κασσιόπειαν[9] ἐνύμφευσεν, ὁμοιωθεὶς τῷ γήμαντι Φοίνικι, ἐξ ἧς Ἀγχίνιος[10] αὐτῷ ἐξέφυ· Νεμέσει τῇ

Amphion et Zethus. Congreditur cum Alcmena Amphitryonis uxore, specie Amphitryonis mariti sumta: unde genitus Hercules. Et cum Aegina filia Asopi consuescit, mutatus in aquilam; ex qua nascitur Aeacus. Cum Amalthea vero Phoci concumbit, speciem ursi referens. Et in Acrisii Danaen forma auri influxit; ex qua exortus evolavit Perseus. Propter Callistonem Lycaonis filiam in ferum leonem versus est, aliumque peperit Arcadem. Europam Phoenicis per taurum inivit; ex qua procreati sunt Minos et Rhadamanthys et Sarpedon. Eurymedusam Acheloi, formica factus; ex qua Myrmidon. Hersaei nympham, mutatus in vulturem, ex qua veteres illi sapientes qui in Sicilia. Imam terrigenam apud Rhodum in imbrem transformatus vitiavit; e qua suscepit Pargaeum, Cronium, Cytum. Cum Cassiopeia se junxit, assimilatus marito ejus Phoenici; de qua illi natus est Anchinius. Ex Nemesi Thestii filia, quae et Leda puta-

1. τε inserui c. O. Idem om. τῷ ante Ἀμφιτρύωνι.

2. Ita O et C ex conjectura, Ἀσκληπιοῦ in textu. Vulgo enim Aeginae pater Asopus, non Aesculapius perhibetur.

3. ὧς O mendose. Deinde Ἀμαλθείᾳ O et ex conject. C, cujus textus Ἀμαλθαιᾷς. At ex quibus fontibus sua hauserit auctor Homiliarum, nescire me fateor. Magis etiam mireris ea, quae tradit auctor Recogn. X, 22: „Mantheam Phoci (stuprat) mutatus in ursum, ex qua nascitur Arctos.“ S.

4. Ita scripsi cum O. Emendationem ἀνέπτη prius vidit D, Καλλιστοῖ S; ἀνείπη et καλλιστῷ C. Tum λυκάωνος O.

5. σαρπιδών O.

6. ἐξέφυ O.

7. μυρμηδών O. Recte C Ἑρσαίου mutari vult in Αἴτνῃ (cfr. Recogn. X, 22: „Thaliam Aetnam Nympham, mutatus in vulturem, ex qua nascuntur apud Siciliam Paliscii“), et πάλαι σοφοὶ in Παλικοί. Conferas, quae dederunt Servius et Heynius ad Virg. Aen. IX, 584. S.

8. εἰμάτῃ O. Leg. Ἰμαλίᾳ, cl. Diod. Sic. V, 55: ὅτε δὴ Ζεὺς λέγεται ἐρασθῆναι μιᾶς τῶν Νυμφῶν, Ἰμαλίας ὀνομαζομένης, καὶ τρεῖς ἐξ αὐτῆς τεκνῶσαι παῖδας, Σπαρταῖον (al. Παρταῖον), Κρόνιον, Κύτον. S.

9. Ita conjecit C, qui exh. Ὀσπίαν in textu; κασπίαν O.

10. Commutavi Ottoboniani ἀγχίτιο in Ἀγχίνιος. Apud C Ἀγχίνοος. S proponit Ἀνύμνιος.

τοῦ[1] Θεστίου τῇ καὶ Λήδᾳ νομισθείσῃ, κύκνος ἢ χηὴ γενόμενος Ἑλένην ἐτεκνώσατο, καὶ αὖθις ἀστὴρ γενόμενος Κάστορα καὶ Πολυδεύκην ἐξέφηνεν[2]. Λαμίᾳ ἐπεμορφώθη ἔποψ.

XIV. Μνημοσύνην, αὐτὸς εἰκασθεὶς ποιμένι, Μουσῶν ἀποφαίνει μητέρα· Σεμέλην τὴν Κάδμου πυρσαίνων[3] γαμεῖ, ἐξ ἧς Διόνυσον τελεῖ. Περσεφόνην αὐτὸς ἐκνυμφεύει τὴν θυγατέρα, αὐτὸς[4] ὁμοιωθεὶς δράκοντι, καὶ τῇ[5] γυναικὶ τοῦ ἀδελφοῦ αὐτοῦ Πλούτωνος εἶναι νομισθείσῃ. καὶ ἄλλαις πολλαῖς καὶ δίχα μεταμορφώσεως μίγνυται, ζῆλον τῶν ἀνδρῶν οὐκ ἐχόντων ὡς ἐφ' ἁμαρτίᾳ, ἀλλ' εὖ εἰδότων ὅτι ἀφθόνως ταῖς γυναιξὶν αὐτῶν κοινωνῶν γεννᾷ, χαριζόμενος αὐτοῖς Ἑρμεῖς, Ἀπόλλωνας, Διονύσους, Ἐνδυμίωνας καὶ ὅσους ἄλλους εἰρήκαμεν, ἐκ μίξεως αὐτοῦ κάλλει διαπρεπεστάτους.

XV. Καί ἵνα μὴ εἰς ἄπειρον[6] ἐξήγησιν τὸν χρόνον δαπανῶ, πάντων μετὰ Διὸς θεῶν ἀφθόνους εὑρήσεις κοινωνίας· οἱ ἀνόητοι δὲ μοιχείας λέγουσι τῶν θεῶν, μηδὲ τῶν ἀρρένων τὰς μίξεις φυλασσομένων ὡς αἰσχράς, ἀλλὰ ἐπιτηδευόντων καὶ τοῦτο ὡς εὐπρεπές. αὐτίκα γοῦν αὐτὸς ὁ Ζεὺς Γανυμήδους[7] ἐρᾷ· Ποσειδῶν Πέλοπος· Ἀπόλλων Κινύρου[8], Ζακύνθου,

tur, in cycnum seu anserem mutatus genuit Helenam, et iterum in stellam conversus Castorem et Pollucem produxit. Utque Lamia potiretur, transformatus est in upupam.

XIV. Idem Mnemosynen, pastori similis factus, matrem facit Musarum. Semelen Cadmi filiam, mutatus in ignem, ducit; ex qua Bacchum procreat. Ipse, forma draconis accepta, Proserpinam filiam comprimit, quae et uxor fratris sui Plutonis esse existimatur. Et cum aliis pluribus etiam non mutata forma concumbit; hominibus, qui zetotypiam quasi de peccato non habent, sed probe sciunt quod saepe ac honorifice cum mulieribus eorum mistus generet, iis inquam hominibus donans Mercurios, Apollines, Bacchos, Endymiones et alios, quorum mentionem fecimus, ex ejus concubitu forma praestantissimos.

XV. Sed ne tempus in narrationem infinitam et inexplicabilem impendam: omnium cum Jove deorum multos munificosque invenies concubitus. At stulti homines adulteria deorum vocant: qui tamen dii ne quidem a consuetudine cum masculis tamquam turpi abstinuerunt, sed et illam ut honestam consectati sunt. Ipse etenim Juppiter Ganymedes amore ducitur; Neptunus Pelopis;

1. τοῦ adjunxi c. O, qui exh. θεσπίου ut Cod. Hom. Parisin., Θεστίου conj. C. Tum ὀνομασθείσῃ p. νομισθείσῃ mavult Valckenarus Diatr. in Eurip. reliq. p. 68. Ed. Lips.

2. Leg. ἐξέφυσεν. S. Deinde Λαμίᾳ conj. C, cujus textus Δαμίᾳ, in O δαμσίᾳ.

3. πυρσαίνων dedi ex conjectura, πυρσέων C, πυρσεύων S, πυρσένων O. Tum in eodem vox τελεῖ bis exarata apparet.

4. Fortasse αὖθις. S.

5. Verba καὶ τῇ κτλ. ad sequentem periodum trahere voluerat Cotelerius; at scribendum auctore Davisio καὶ τὴν (sc. Περσεφόνην) γυναῖκα — νομισθεῖσαν. S.

6. Ita marg. Ci, qui in textu ἄπορον, ut O.

7. γανυμήδους O.

8. κιννύρου O.

Ταινάρου, Φόρβαντος, Ὕλα, Ἀδμήτου, Κυπαρίσσου[1], Ἀμύκλα, Τρωίλου, Βράγχου Τυμναίου, Πάρου Ποτνιέως, Ὀρφέως· Διόνυσος δὲ Λαόνιδος, Ἀμπέλου, Ὑμεναίου[2], Ἑρμαφροδίτου, Ἀχιλλέως[3]· ὁ δὲ Ἀσκληπιὸς Ἱππολύτου· καὶ Ἥφαιστος Πηλέως· Πὰν δὲ Δάφνιδος[4]· ὁ δὲ Ἑρμῆς Περσέως, Χρύσου, Θέρσου, Ὀδρύσου· Ἡρακλῆς δὲ Ἀβδήρου, Δρύοπος, Ἰοκάστου, Φιλοκτήτου, Ὕλα, Πολυφήμου, Αἵμονος, Χώνου, Εὐρυσθέως[5].

XVI. Πάντων οὖν σοι τῶν ἐπισημοτέρων θεῶν ἐκ μέρους τοὺς ἔρωτας παρεθέμην, φιλτάτη, ἵν'[6] εἰδῇς, ὅτι μόνοις ἀνθρώποις τοῖς ἀνοήτοις περὶ τούτο γίνεται ζηλοτυπία. διὸ καὶ θνητοὶ τυγχάνουσιν, καὶ λυπηρῶς τὸν βίον διατελοῦσιν, ὅτι τὰ δόξαντα τοῖς θεοῖς καλὰ αὐτοὶ διὰ τὸν αὐτῶν ζῆλον κακὰ εἶναι ἀπεφήναντο. μακαρία οὖν ἔσῃ τοῦ λοιποῦ, μιμουμένη θεοὺς καὶ οὐκ ἀνθρώπους. ἄνθρωποι γὰρ τὴν νομιζομένην σωφροσύνην ἰδόντες[7] σε διαφυλάσσουσαν, διὰ τὸ ἴδιον πάθος ἐπαινοῦσι μέν, οὐκ ὠφελοῦσι δέ· θεοὶ[8] δὲ ἐξομοιουμένην σε ἑαυτοῖς ὁρῶντες καὶ ἐπαινέσουσι καὶ ὠφελήσουσιν.

XVII. Λόγισαι γάρ μοι, πόσας ἠμείψαντο ἐρωμένας, ὧν τὰς μὲν κατηστέρισαν, τινῶν δὲ καὶ τέκνα καὶ συνεργοὺς εὐηργέτησαν. αὐτίκα γοῦν Ζεὺς κατηστέρισεν Καλλιστώ, τὴν λεγομένην ἄρκτον μικράν, ἣν καὶ κυνό-

Apollo Cinyrae, Zacynthi, Hyacinthi, Phorbantis, Hylae, Admeti, Cyparissi, Amyclae, Troili, Branchi Tymnaei, Pari Potniensis, Orphei: Bacchus vero Laonidis, Ampeli, Hymenaei, Hermaphroditi, Achillis: Aesculapius autem Hippolyti: Vulcanus Pelei: Pan Daphnidis: at Mercurius Persei, Chrysae, Thersi, Odrysi: Hercules denique Abderi, Dryopis, Iocasti, Philoctetis, Hylae, Polyphemi, Haemonis, Choni atque Eurysthei.

XVI. Omnium itaque illustriorum deorum tibi amores ex parte proposui, carissima, ut agnosceres, apud solos homines stolidos oriri ea ex re zelotypiam. Quare et mortales sunt, vitamque in tristitia transigunt: quia quae a diis judicantur bona, ipsi zelo suo ducti mala esse censent. Igitur deinceps eris beata, si deos imiteris, non homines. Nam homines, intuiti te servare quam putant castitatem, propter affectum proprium laudant quidem, at non adjuvant: dii vero, cum te spectabunt sibi similem, simul laudabunt ac opem ferent.

XVII. Cogita enim mihi, quam multas remunerati fuerint amicas: ex quibus alias quidem retulerunt in numerum stellarum, aliarum vero et liberos et adjutores beneficiis affecerunt. Jam ergo Juppiter Callistonem stellam fecit,

1. κυπαρίσσου O. Deinceps scripsi Τυμναίου (τιμναίου O), Τυμνίου ex conject. C, cujus Cod. Τυμναίο.
2. Ita O c. marg. Ci, cujus textus Ὑμαινέου.
3. ἀγχιλέως O.
4. δάφνι O.
5. Ita S, Ἐυρυστέως C, εὐρυθέως O.
6. ἵνα C.
7. ἰδότες O. Idem διαφυλάττουσαν.
8. Ita O et ex conject. C, in cujus textu θεοῖς.

www.libtool.com.cn

σουραν[9] προσαγορεύουσί τινες. Ποσειδῶν δελφῖνα διὰ τὴν Ἀμφιτρίτην ἐνέταξε τῷ οὐρανῷ. καὶ Ὠρίωνα, τὸν Εὐρυάλης τῆς Μίνω, δι' Εὐρυάλην τὴν μητέρα τῶν ἄστρων κατηξίωσεν. Διόνυσος τὸν Ἀριάδνης στέφανον. Ζεὺς τὸν ἀετὸν συνεργήσαντα ἐπὶ τῇ Γανυμήδους ἁρπαγῇ, καὶ αὐτὸν τὸν Γανυμήδην ἐν Ὑδροχόου τιμῇ ἔταξεν· καὶ ταῦρον δι' Εὐρώπην ἐτίμησεν. ἀλλὰ καὶ Κάστορα καὶ Πολωδεύκην καὶ Ἑλένην Λήδᾳ χαριζόμενος ἐποίησεν ἀστέρας· καὶ Περσέα διὰ Δανάην· καὶ Ἀρκάδα[2] διὰ Καλλιστώ· παρθένον, τὴν καὶ Δίκην, διὰ Θέμιν· Ἡρακλέα διὰ Ἀλκμήνην. καὶ οὐκέτι μηκύνω πλέον· μακρὸν δὲ τὸ κατ' εἶδος λέγειν, ὅσους διὰ πολλὰς ἐρωμένας εὐεργετήκασιν οἱ θεοὶ ταῖς πρὸς ἀνθρώπους κοινωνίαις, ἃς οἱ ἀνόητοι ὡς κακὰς πράξεις ἀπαγορεύουσιν, οὐκ εἰδότες ὅτι ἡδονή ἐστιν ἡ μεγάλη ἐν ἀνθρώποις ἀπόλαυσις.

XVIII. Τί δέ; καὶ τῶν σοφῶν οἱ περιβόητοι οὐχ ἡδονὴν προκρίνουσιν, καὶ αἷς ἐβουλήθησαν ἐμίγησαν; ὧν πρῶτος[3] ὁ τῆς Ἑλλάδος διδάσκαλος, περὶ οὗ αὐτὸς ὁ Φοῖβος ἔφη· ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος· οὐκ ἐν τῇ εὐνομωτάτῃ πόλει, τῇ Λακεδαίμονι[4], κοινὰς προτίθησι τὰς γυναῖκας,

quae vocatur Ursa minor, quamque Cynosuram appellant nonnulli. Neptunus in caelo collocavit delphinum, Amphitrites gratia: et Orionem ex Euryale, Minois filia, natum propter matrem Euryalen astris donavit. Bacchus coronam Ariadnae. Juppiter aquilam, qua in rapiendo Ganymede usus fuerat: ipsumque Ganymedem in Aquarii honore constituit: ac taurum honoravit ob Europam. Quin et Castorem, Pollucem ac Helenam, Ledae gratificans, stellas fecit: et Perseum, propter Danaen: et Arcadem, propter Callistonem: virginem, quae et Dice, ob Themin: Herculem, propter Alcmenam. Et ne adhuc magis producam sermonem; longum enim est singula referre, in quot alios, multarum amicarum ergo, benefici exstiterint dii, per humanos complexus; quos stulti ut mala opera prohibent, ignari voluptatem maximum esse inter homines commodum.

XVIII. Quid vero? Nonne et sapientium celeberrimi voluptatem maximi fecerunt, et cum quibus placuit mulieribus commisti sunt? Inter quos primus ille Graeciae magister, de quo ipse Apollo pronuntiavit: *omnium hominum Socrates sapientissimus;* nonne in civitate optimis legibus gubernata, Lacedae-

1. κυνὸς οὐρὰν C.

2. Ita O et C ex conject., Ἄρκα Cod. Hom. Parisiensis. Dein τὴν O et ex conject. C, qui τῇ in textu, τε in marg.

3. πρῶτον O.

4. S: Verba τῇ Λακεδαίμονι, quae scioli cujusdam manum redolent, expungenda esse censeo c. D: ἡ εὐνομωτάτη πόλις haud dubie significat Platonis Rempublicam, in qua Socrates disputationi praeest. Ita saepe legitur apud Aristotelem ὁ Σωκράτης ἐν τῇ πολιτείᾳ, cfr. Polit. II, 1, 2 (ὥσπερ ἐν τῇ πολιτείᾳ τῇ Πλάτωνος, ἐκεῖ γὰρ ὁ Σωκράτης φησὶ δεῖν κοινὰ τὰ τέκνα καὶ τὰς γυναῖκας εἶναι). II, 2, 14. II, 3, 1 (ἐν τῇ πολιτείᾳ διώρικεν ὁ Σωκράτης περὶ γυναικῶν κοινωνίας). IV, 3, 12. V, 10, 1. VIII, 7, 8. Stahr. Minus bene suspicatur Cl. excidisse aliqua, atque totum locum sic esse resti-

www.libtool.com.cn

καὶ ὑπὸ τῷ τρίβωνι τὸν καλὸν Ἀλκιβιάδην καλύπτει; καὶ ὁ Σωκρατικὸς δὲ Ἀντισθένης περὶ τοῦ δεῖν τὴν λεγομένην μοιχείαν μὴ ἀποσείεσθαι [1] γράφει. ἀλλὰ καὶ ὁ τούτου μαθητὴς Διογένης Λαΐδι [2] οὐκ ἐπὶ μισθῷ τῷ φέρειν αὐτὴν ἐπ' ὤμων δημοσίᾳ κοινωνεῖ μετὰ παρρησίας; οὐκ Ἐπίκουρος ἡδονὴν προκρίνει; οὐκ Ἀρίστιππος μυρισθεὶς ὅλον αὑτὸν Ἀφροδίτῃ χαρίζεται; οὐ Ζήνων ἀδιαφορεῖν αἰνισσόμενος διὰ πάντων τὸ θεῖον εἶναι [3] λέγει, ἵνα γνώριμον τοῖς συνετοῖς γένηται, ἵνα ᾧ [4] ἄν τις μιγῇ, ὡς ἑαυτῷ μίγνυται, καὶ περισσὸν τὸ ἀπαγορεύειν τὰς λεγομένας μοιχείας, ἢ μίξεις μητρὸς ἢ θυγατρὸς ἢ ἀδελφῆς ἢ παίδων; Χρύσιππος δὲ ἐν ταῖς ἐρωτικαῖς ἐπιστολαῖς καὶ τῆς ἐν Ἄργει εἰκόνος μέμνηται, πρὸς τῷ τοῦ Διὸς αἰδοίῳ φέρων τῆς Ἥρας τὸ πρόσωπον [5].

XIX. Οἶδα ὅτι ταῦτα τοῖς [6] ἀληθείας ἀμυήτοις φοβερὰ καὶ αἴσχιστα καταφαίνεται, ἀλλ' οὐ τοῖς [7] Ἑλλήνων θεοῖς καὶ φιλοσόφοις, οὐ τοῖς Διονύσου καὶ Δήμητρος [8] μυστηρίοις. ἀλλ' ἐφ' ἅπασι τούτοις, ἵνα μὴ πάντων θεῶν καὶ φιλοσόφων τοὺς βίους λέγων παραναλίσκω τοὺς χρόνους, δύο ἔστωσάν σοι μέγιστοι σκοποί, θεῶν μὲν Ζεύς, ἀνδρῶν δὲ φιλοσόφων Σωκράτης. τὰ δὲ λοιπά, ὧν σοι γράψας ὑπέμνησα, συνεῖσα ἔπεχε, μήποτε ἐραστήν σου

mone, communes uxores proponit? et sub pallio pulcrum occultat Alcibiadem? Et vero Socraticus Antisthenes de moechia quae dicitur non repellenda scribit. Sed et hujus discipulus Diogenes, an non palam ac libere cum Laide concumbit, ea mercede, ut illam ferat humeris? Nonne Epicurus effert voluptatem? Nonne Aristippus unguentis delibutus totum se Veneri addicit? Nonne Zeno promiscuum innuens coitum, dicit deum esse im omnibus, ut intelligentibus exploratum sit, cum quovis misceatur aliquis, cum ipso numine misceri, frustraque prohiberi vocata adulteria, vel concubitus cum matre aut filia aut sorore aut liberis? Chrysippus autem in amatoriis epistolis et Argivae imaginis meminit, apponens ad Jovis pudenda os Junonis.

XIX. Scio, haec veritatis ignaris terribilia et turpissima videri, at non Graecorum diis ac philosophis, non Bacchi et Cereris mysteriis. Verum super his omnibus, ne cunctorum deorum et philosophorum vitis referendis tempus insumam, duo tibi sint maximi scopi, inter deos quidem Juppiter, inter homines autem philosophos Socrates. Reliqua vero ex iis, quorum his litteris men-

tuendum: ὥςπερ Λυκοῦργος ἐν τῇ Λακεδαίμονι τὰς παρθένους γυμνάς, ὡσαύτως κοινὰς προτίθησι τὰς γυναῖκας.

1. Ita O c. marg. Ci, cuj. textus ἀποσίεσθαι.

2. Λαΐδι om. O. Dedi ἐπὶ μισθῷ τῷ c. eodem, ἐπί τε μισθῷ τὸ C, ἐπὶ τῷ μισθῷ τοῦ D.

3. εἶναι conj. C.

4. Leg. ὅτι ᾧ S.

5. C refert ad Theoph. ad Autol. III, p. 122.

6. τῆς C.

7. τῆς O.

8. Δημήτρας C. Subinde μύσταις conj. S, qui et lectionem Ottob. Δήμητρος proposuit.

λυπήσῃς. ἐπεὶ ὡς θεοῖς καὶ ἥρωσιν [1] τὰ ἐναντία πράξασα, ἀσεβὴς κριθεῖσα τὴν προσήκουσαν ὑφέξεις τιμωρίαν. ἐὰν δὲ παντὶ ἐραστῇ ἑαυτὴν παράσχῃς, ὡς θεοὺς μιμουμένη τῆς παρ' αὐτῶν τεύξῃ εὐεργεσίας. τὰ δὲ λοιπά, φιλτάτη, μεμνημένη περὶ ὧν σοι ἐξέφηνα μυστηρίων, διὰ γραμμάτων μοι τὴν σὴν δεῖξον προαίρεσιν. ἔρρωσό μοι.

XX. Ἐγὼ τοίνυν τότε [2] λαβὼν τὸ βιβλίον τοῦτο παρὰ τοῦ Ἀππίωνος, ὡς ὄντως διαπέμψων αὐτὸ τῇ ἐρωμένῃ, ἐπλασάμην ὡς ἐκείνης πρὸς ταῦτα ἀντιγραψάσης, καὶ τῇ ὑστεραίᾳ [3] ἐλθόντι αὐτῷ ἐπέδωκα τῷ Ἀππίωνι ὡς δῆθεν τὴν παρ' ἐκείνης ἀντιγραφήν, οὕτως ἔχουσαν.

## ΑΝΤΙΓΡΑΦΟΝ ΕΠΙΣΤΟΛΗΣ [4]

πρὸς Ἀππίωνα ὡς παρὰ τῆς ἐρωμένης.

XXI. Θαυμάζω πῶς ἐπὶ σοφίᾳ με ἐπαινέσας ὡς ἀνοήτῳ γράφεις. εἰς γὰρ σὸν πάθος [5] πεῖσαί με θελήσας ἐκ τῶν περὶ τοὺς θεοὺς μυθολογημάτων ἐποιήσω τὰ παραδείγματα, ἔρωτα τὸν πάντων [6] πρεσβύτατον, ὡς ἔφης [7], ἐπὶ πάντων θεῶν καὶ ἀνθρώπων, βλασφημῆσαι μὴ φοβηθείς, ὅπως τὴν ἐμὴν φθείρῃς ψυχήν, καὶ τὸ ἐμὸν σῶμα περιυβρίσῃς. ἔρως γὰρ θεῶν οὐκ ἔστιν ἀρχηγέτης, ὁ ἐν ταῖς ἐπιθυμίαις. εἰ γὰρ ἑκὼν ἐπιθυμεῖ, αὐτὸς

tionem feci, intelligens, cave ne amatorem tuum contristes: quoniam sicut quae diis et heroibus feceris contraria, impietatis damnaberis, congruensque feres supplicium. Si vero omni te praebueris amatori, tamquam deos imitata ab iis beneficium reportabis. Ceterum, carissima, memor a me relatorum mysteriorum mihi per litteras tuam indica voluntatem. Vale.

XX. Ego igitur hoc libello ab Appione tum accepto, quasi vere missurus ad amatam, tamquam illa rescripsisset confinxi, et postridie venienti tradidi Appioni velut mulieris rescriptum, quod ita habet.

## RESCRIPTUM AD EPISTOLAM

ad Appionem tamquam ab adamata.

XXI. Miror qua ratione, cum me de sapientia laudes, tamquam stultam compellas. Nam dum cupis me ad tuum adducere affectum, ex deorum fabulis sumsisti exempla, Amorem, (quem omnium antiquissimum dixisti, et supra cunctos deos et homines) non veritus infamare, quo meum corrumperes animum, meumque contumelia afficeres corpus. Amor enim non est deorum

1. ἐρῶσιν O, ἥρωσιν D.
2. τότε adjunxi c. O.
3. Ita O c. marg. Ci, in cuj. textu ὑστερέᾳ.
4. ἐπιστολὴ O.
5. πάθος om. O.
6. παίδων O.
7. Vbb. ὡς ἔφης des. in O. Subinde ἐπὶ τῆς C, ἐπιθεὶς in marg.

www.libtool.com.cn

ἐστιν ἑαυτοῦ πάθος καὶ κόλασις, καὶ θεὸς οὐκ ἂν εἴη ὁ πάσχων ἑκών· εἰ δὲ ἄκων ἐρᾷ τῆς μίξεως, καὶ τὰς ἡμετέρας διερχόμενος ψυχὰς ὥσπερ διὰ ὀργάνων τῶν ἡμετέρων σωμάτων εἰς τὰς τῶν νοητῶν φέρεται συνουσίας, ὁ τοῦτον ἐρᾶν ποιῶν καὶ φέρων μείζων αὐτοῦ τυγχάνει· καὶ πάλιν αὐτοῦ ἐκείνου τοῦ φέροντος ἑτέρῳ πόθῳ φερομένου, μείζων ἄλλος ὁ φέρων ἐκείνον εὑρίσκεται· καὶ εἰς ἀπέραντον ἐπαναφορὰν[1] τῶν ἐρώντων γίνεται, ὃ ἐστιν ἀδύνατον. οὕτως οὐκ ἔστιν οὔτε ὁ φέρων, οὔτε ὁ φερόμενος, ἀλλ' αὐτοῦ τοῦ ἐρῶντος τὸ ἐπιθυμητικόν ἐστι πάθος, ἐλπίδι αὐξόμενον καὶ ἀπογνώσει μειούμενον.

XXII. Οἱ δὲ κρατεῖν αἰσχρᾶς ἐπιθυμίας μὴ βουλόμενοι τῶν θεῶν καταψεύδονται, ἵνα περὶ ὧν πράττουσιν, τοὺς θεοὺς ὡς προτέρους δράσαντας ὑποδεικνύντες ἀπαλλάσσωνται[2] τῆς μέμψεως. εἰ γὰρ παιδοποιΐας ἕνεκεν, καὶ οὐκ ἀσελγείας, οἱ λεγόμενοι θεοὶ τὰς μοιχείας ἐπετέλουν, τί καὶ τοῖς ἄρσεσιν ἐμίγνυντο[3]; ἀλλὰ χαριζόμενοι, φησίν, ταῖς ἐρωμέναις κατηστέριζον[4] αὐτάς. οὐκοῦν πρὸ τούτου οὐκ ἦσαν ἀστέρες, μέχρις ὅτε ἀσελγείας προφάσει ὑπὸ μοιχῶν ὁ οὐρανὸς ἄστροις ἐκοσμήθη; πῶς δὲ καὶ οἱ τῶν κατηστερισμένων[5] ἔγγονοι ἐν ᾅδου κολάζονται, ὅ τε Ἄτλας βαρούμενος, καὶ ὁ Τάνταλος δίψῃ[6] ἀνιώμενος, καὶ ὁ Σίσυφος ἐρείδων πέτραν, Τιτυὸς τὰ σπλάγχνα διορυττόμενος, Ἰξίων περὶ τροχὸν ἀπαύστως κυλιν-

princeps ac ductor, is qui in cupiditatibus versatur. Nam si sponte cupit, ipse est sui perpessio et supplicium, nec deus est, qui voluntarie patitur: sin vero invitus appetit concubitum, et nostras pervadens animas tamquam per corporum nostrorum instrumenta fertur ad congressum eorum quae sub intelligentiam cadunt, qui eum inducit ad amandum, major est eo: iterumque cum hic qui inducit in alium inducatur amorem, major alius qui hunc inducit reperitur, et in infinitum amantium numerum fit progressus; quod fieri non potest. Igitur neque est qui inducit, neque qui inducitur; sed est ipsius amantis affectus concupiscens, qui spe augetur et desperatione minuitur.

XXII. Qui vero turpem nolunt cupiditatem coercere, de diis mendaciter fingunt; ut in iis quae perpetrant deos primos esse auctores ostendendo culpa liberentur. Si enim suscipiendae sobolis gratia et non libidinis ergo, qui dii vocantur, adulteria commiserunt, cur cum masculis quoque miscebantur? Sed ut gratificarentur, inquit, mulieribus adamatis, illas in astra converterunt. Igitur antea astra non erant, usque dum lasciviae occasione caelum stellis exornaretur? Et quo modo in stellas relatarum liberi ac nepotes apud inferos puniuntur? Atlas gravatus pondere, Tantalus enectus siti, Sisyphus petram retinens, Tityus pertusus viscera, Ixion circa rotam indesinenter volutatus. Quomodo

1. ἐπαναφορὰ conj. Cl.
2. Ita O c. S, ἀπαλλάσσονται C.
3. ἐμίγνυντο O c. S, ἐμιγνοῖντο C.
4. κατηστήριζον C.
5. κατεστηρισμένων C.
6. δίψει O.

www.libtool.com.cn

δούμενος; πῶς δὲ καὶ οἱ ἐρασταὶ θεοὶ ὄντες, οὓς ἐμίαναν, κατηστέριζον[1], ἑαυτοῖς[2] τοῦτο μὴ χαρισάμενοι;

XXIII. Οὐκ ἄρα ἦσαν θεοί, ἀλλὰ τυράννων αἰνίγματα. Κρόνου γὰρ ἐν τοῖς Καυκασίοις ὄρεσιν, οὐκ ἐν οὐρανῷ, ἀλλ' ἐν γῇ τάφος τις δείκνυται, ἀνδρὸς ἀγρίου καὶ τεκνοβόρου. ἀλλὰ καὶ τοῦ ἀσελγοῦς Διός, τοῦ μυθικοῦ[3], τοῦ ὁμοίως τὴν θυγατέρα Μῆτιν καταπιόντος, ἐν Κρήτῃ θεωρεῖται τάφος· καὶ ἐν τῇ Ἀχερουσίᾳ δὲ λίμνῃ Πλούτωνος καὶ Ποσειδῶνος[4]· Ἡλίου δὲ ἐν Ἄστροις καὶ Σελήνης ἐν Καρκοῖς· Ἑρμοῦ δὲ ἐν Ἑρμουπόλει· Ἄρεως[5] ἐν Θρᾴκῃ· Ἀφροδίτης ἐν Κύπρῳ· Διονύσου ἐν Θήβαις· καὶ τῶν ἄλλων ἐν ἄλλοις τόποις. πλὴν φαίνονται αὐτῶν τῶν λεχθέντων οἱ τάφοι. ἄνθρωποι γὰρ ἦσαν, καὶ ταῦτα μοχθηροὶ καὶ μάγοι. οὐδὲ γὰρ ἄλλως μονοκράτορες ἐγεγόνεισαν, Ζεὺς λέγω ὁ μυθικὸς καὶ Διόνυσος, εἰ μὴ τῇ μεταμορφώσει ὧν ἤθελον ἐπεκράτουν[6] εἰς ὅπερ αὐτοὶ ἤθελον.

XXIV. Εἰ δὲ τούτων δεῖ ζηλοῦν τοὺς βίους, μὴ μόνον τὰς μοιχείας,

vero ut amatores dii eos, quos polluerant, inter astra retulerunt, sibi autem id muneris non sunt largiti?

XXIII. Non ergo erant dii, sed tyrannorum velamina. Saturni namque in Caucasiis montibus, non in caelo, sed in terra, sepulcrum ostenditur, hominis feri ac liberorum voratoris. Item lascivi Jovis, fabulosi, quique similiter Metin filiam deglutivit, in Creta cernitur sepulcrum: et in Acherusia palude Plutonis ac Neptuni: Solis vero Astris, et Lunae Carris: Mercurii apud Hermopolin: Martis in Thracia: Veneris apud Cyprum: Liberi apud Thebas: aliorumque aliis in locis. Itaque eorum, qui dii vocantur, sepulcra comparent. Homines enim erant, iique improbi et magi. Aliter siquidem non facti fuissent Monarchae ac Domini, Juppiter, inquam, fabulosus et Bacchus, nisi per transformationem, quos et quas volebant, ad id quod volebant compulissent.

XXIV. Quod si eorum aemulanda est vita, non modo illorum adulteria,

1. κατεστήριζον C.

2. Leg. αὐτοῖς, sc. τοῖς ἐρωμένοις. Cur, inquit, Dii mulieribus a se adamatis, quas inter astra retulerunt, non id quoque largiti suut, ut eorum posteros (ἐκγόνους) a poenis infernis liberarent. S.

3. μυθού O.

4. Post καὶ Ποσειδῶνος Lobeckius Aglaoph. p. 576 excidisse censet ἐν Τήνῳ. S. In Hom. VI, 21 ἐν Πάτραις p. ἐν Ἄστροις. Et τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐν Πάτραις memorat Pausanias in Achaicis. Ad lectionem Ἄστροις propius accedit Ἄτροις. Τὰ Ἄτρα autem seu αἱ Ἄτραι oppidum est inter Euphratem ac Tigrim. Legi quoque posset Πατάροις, ob Apollinem Patareum. Sed Ἄστροις certa lectio est, quia Hom. VI, 21. Sol jacere dicitur in Mesopotamia, hoc est inter duos memoratos fluvios. C. Ἄτροις probat Lobeck. l. c. S. Ad oram Codicis nostri posita est manu recentiori emendatio his verbis ὡς οἶμαι χαρκίνοις. Ego tamen legerim Κάρραις, ex Hom. VI, 21 ubi habetur ἐν Κάραις. Certe ad Carras Deus Lunus colebatur, testantibus Herodiano et Spartiano in Anton. Caracalla Luna, testante Ammiano l. XXIII. Κάρραι autem Theodoreto H. E. III, 21 et Sozomeno VI, 33 sunt Κάραι. C.

5. ἄρεος O.

6. Ita O c, S, ἀπεκράτουν C.

www.libtool.com.cn

ἀλλὰ καὶ τὰς [1] τραπέζας αὐτῶν μιμώμεθα. ὁ γὰρ Κρόνος τὰ αὑτοῦ τέκνα κατέπιεν, καὶ Ζεὺς ὁμοίως τὴν αὑτοῦ θυγατέρα. καὶ τί δεῖ λέγειν; Πέλοψ πάντων θεῶν δεῖπνον ἐγένετο. ὅθεν καὶ ἡμεῖς πρὸ τῶν ἀθεμίτων γάμων ὅμοιον δεῖπνον τοῖς θεοῖς ἐπιτελέσωμεν. οὕτω γὰρ ἂν εἴη τὸ δεῖπνον τῶν γάμων ἄξιον. ἀλλὰ τοῦτο οὐκ ἂν ὑποσταίη [2] ποτε, ὡς οὐδὲ ἐγὼ τὸ μοιχήσασθαι. πρὸς τούτοις δέ μοι ἔρωτος ὡς δυνατοῦ θεοῦ ἀπειλεῖς χόλον. ἔρως θεὸς οὐκ ἔστιν, οἷος δοκεῖ, ἀλλ' ἐκ τῆς τοῦ ζώου κράσεως πρὸς διαδοχὴν τοῦ βίου, κατὰ πρόνοιαν τοῦ τὰ πάντα ἐνεργήσαντος, συμβαίνουσα ἐπιθυμία, ἵνα τὸ πᾶν γένος μηδεπώποτε ἐπιλείπῃ [3], ἀλλὰ προφάσει ἡδονῆς ἐκ τῆς τοῦ μέλλοντος τελευτᾶν οὐσίας πάλιν ἄλλος γένηται, νομίμῳ προεκπεφυκὼς [4] γάμῳ, ὅπως τὸ [5] γηροτροφεῖν τὸν αὑτοῦ πατέρα γνώσῃ· ὅπερ ποιεῖν οἱ ἐκ μοιχείας γεγονότες οὐκ ἂν ἐδύναντο, φύσιν στοργῆς πρὸς τοὺς γεννήσαντας οὐκ ἔχοντες.

XXV. Ἐπεὶ οὖν διαδοχῆς ἕνεκεν καὶ [6] γνησίας ἐπαυξήσεως, ὡς ἔφην, ἡ ἐπιθυμία συμβαίνει ἡ ἐρωτική, χρὴ τοὺς γονεῖς, σωφροσύνης προνοουμένους, τοὺς αὑτῶν παῖδας πρὸ τῆς ἐπιθυμίας διὰ τῶν σωφρονιζόντων βιβλίων προπαιδεύειν [7], καὶ τοῖς κρείττοσιν αὐτοὺς προεθίζειν λόγοις· ὅτι δευτέρα φύσις ἡ συνήθεια· πρὸς τούτοις δὲ πυκνῶς αὐτοὺς τὰς κολάσεις

sed et mensas imitemur. Nam Saturnus liberos suos absorpsit, pariterque Juppiter suam filiam. Et quid opus est verbis? Pelops omnium deorum epulum fuit. Unde et nos ante nefarium conjugium deorum peragamus epulum simile. Sic enim dignum fuerit conjugio epulum. Verum id nemo facere sustinuerit, ut nec ego moechari. Ad haec vero mihi amoris velut potentis dei minaris indignationem. Amor deus non est, qualis videtur; sed est cupiditas, quae ex temperamento animalis, propter successionem vitae, accidit per omnium opificis providentiam, ne universum genus aliquando deficiat, sed ut occasione voluptatis ex morituri hominis substantia iterum alius nascatur, legitimo productus matrimonio: quo patrem suum cognoscat, quem in senectute nutriat: quod facere nequeunt qui ex adulterio geniti sunt, cum naturalem non habeant erga genitores benevolentiam.

XXV. Quandoquidem igitur et propter legitimum progeniei incrementum, sicut dixi, amoris oritur cupiditas, oportet ut parentes, de castitate solliciti, liberos suos, ante quam veniat cupiditas, erudiant in libris, qui bonam mentem ingenerare valeant, eosque probis praeassuefaciant sermonibus: quia con-

1. Vbb. τὰς μοιχείας, ἀλλὰ καὶ repetuntur in O post ἀλλὰ καί.
2. ὑποσταίη dedi ex conject., ὑποστέῃ C, ὑποστῇ S, qui legi vult ὑποστῇς, ὑποσταῖ O.
3. μὴ δὲ πώποτε ἐπιλίπῃ O.
4. Ita O c. S, προεκφυκὼς C.
5. τὸ O et C ex conjectura, τὸ μὴ in textu.
6. καὶ add. c. O.
7. Ita O c. S, προσπαιδεύειν C.

www.libtool.com.cn

ὑπομιμνήσκειν τὰς ἐκ τῶν νόμων, ἵνα ὥσπερ χαλινῷ τῷ φόβῳ χρώμενοι ταῖς ἀτόποις μὴ συντρέχωσιν ἡδοναῖς[1]. προσήκει δὲ καὶ πρὸ τοῦ τὴν ἐπιθυμίαν ἐπαμμάσαι γάμῳ τὸ φυσικὸν τῆς ἡλικίας πληροφορεῖν πάθος, πρότερον πείσαντας εἰς εἶδος ἑτέρας γυναικὸς μὴ ἀτενίζειν.

XXVI. Ὁ γὰρ νοῦς ἡμῶν ὁπόταν[2] τὰ πρῶτα τῇ τέρψει τὸ εἶδος τῆς ἐρωμένης ἀπομάξηται, ὥσπερ ἐν κατόπτρῳ ἐνορῶν ἀεὶ τὴν μορφήν, διὰ τῆς μνήμης βασανίζεται· καὶ μὴ τυγχάνων μὲν τῆς ἐπιθυμίας, τῆς ἐπιτυχίας μελετᾷ τὰς ὁδούς, ἐπιτυχὼν δὲ μᾶλλον αὔξεται, ὥσπερ τὸ πῦρ τῆς ὕλης εὐποροῦν, καὶ μάλισθ' ὅτ' ἂν τῇ ψυχῇ τοῦ ἐρῶντος πρὸ τοῦ πάθους προσεντετυπωμένος μὴ προϋπάρξῃ φόβος. ὡς γὰρ ὕδωρ πῦρ κατασβέννυσιν, οὕτως καὶ φόβος τῆς ἀλόγου ἐπιθυμίας ἐστὶ σβεστήριος. ὅθεν ἐγὼ ἔκ τινος Ἰουδαίου τὰ Θεῷ πρέποντα καὶ[3] νοεῖν καὶ ποιεῖν ἐκμαθοῦσα, εὐάλωτος πρὸς μοιχείαν ὑπὸ ψευδῶν μύθων οὐ γίνομαι. θέλοντι[4] δέ σοι καὶ σπουδάζοντι σωφρονεῖν, φλεγμαινούσῃ[5] ψυχῇ πρὸς ἔρωτα, βοηθοίη Θεὸς καὶ τὴν ἴασιν παρασχοίη.

XXVII. Ἐπακούσας δὲ ὁ Ἀππίων τῆς ὑποκρίτου ἀντιγραφῆς ἔφη· μή τι ἀλόγως Ἰουδαίους μισῶ; νῦν γοῦν ταύτην[6] τίς ποτε συντυχὼν Ἰου-

suetudo est altera natura: ad haec autem frequenter in eorum memoriam revocent legum poenas; quo metu tamquam freno usi absurdis non consentiant voluptatibus. Convenit vero, ut ante quam ferveat cupiditas, naturali aetatis affectui per connubium satisfiat: persuadeamusque illis prius, ne formam alterius mulieris contemplentur.

XXVI. Etenim mens nostra, cum primum sibi impresserit cum voluptate adamatae imaginem, quasi in speculo semper formam intuens, per memoriam torquetur, et si quidem voto non fruitur, potiendi artes meditatur; sin autem fruitur, crescit cupiditas, sicut ignis materia abundans, praesertimque quando in amatoris animo timor ante affectum impressus non praeexstitit. Nam sicut aqua exstinguit ignem, ita etiam timor vim habet exstinguendi pravam cupiditatem. Quocirca ego, ut quae a quodam Judaeo didicerim et cogitare et facere quae Deum decent, per falsas fabulas in stuprum adduci non possum. Tibi vero, cupienti ac studenti caste vivere, animaeque ad amorem flagranti, Deus auxilium praebeat, atque tribuat medicinam.

XXVII. Audito autem fictitio rescripto Appion dixit: an sine ratione Judaeos odi? Nunc ergo hanc aliquis Judaeus nactus, adductamque ad suum

1. ἡδονῆς O.
2. ὁπότ' ἄν C.
3. καὶ inserui c. O.
4. Turbatus est, ut opinor, ordo verborum, qui sic videtur constituendus: θέλοντι δέ σοι καὶ σπουδάζοντι σωφρονεῖν βοηθοίη θεός, καὶ φλεγμαινούσῃ ψυχῇ τὴν ἴασιν παράσχοι. D. S textum vulgatum posse retineri existimat, dummodo scribatur φλεγμαινούσης ψυχῆς.
5. Ita O c. D, φλαιγμαινούσῃ C. Tum παράσχοι O.
6. D legi vult ταύτῃ (sc. γυναικί).

www.libtool.com.cn

δαῖος καὶ εἰς τὴν θρησκείαν μεταγαγὼν ἀνέπεισε σωφρονεῖν, καὶ ἀδύνατόν ἐστι τοῦ λοιποῦ αὐτὴν [1] εἰς κοινωνίαν ἑτέρου τινὸς συνελθεῖν, ὅτι οἱ τοιοῦτοι τὸν Θεὸν ὡς παντεπόπτην τῶν πράξεων προθέμενοι σφόδρα σωφρονεῖν ἐγκαρτεροῦσιν, ὡς λαθεῖν μὴ δυνάμενοι.

XXVIII. Ταῦτα ἀκούσας ἔφην τῷ Ἀππίωνι· νῦν σοι τὰ ἀληθῆ ὁμολογήσω. ἐγὼ γυναικὸς οὐκ ἠράσθην οὐδὲ ἄλλου τινός, πάνυ μου τῆς ψυχῆς δεδαπανημένης πρὸς ἄλλας ἐπιθυμίας καὶ πρὸς ἀληθῶν [2] δογμάτων εὕρεσιν. καὶ μέχρι τοῦ νῦν πολλὰς γνώμας φιλοσόφων διασκοπήσας πρὸς οὐδένα αὐτῶν ἔνευσα, ἢ πρὸς τὸ Ἰουδαίων μόνον, ἐμπόρου τινὸς αὐτῶν ὀθόνας πιπράσκοντος ἐνταῦθα τῇ Ῥώμῃ ἐπιδεδημηκότος, καὶ ἔκ τινος συντυχίας ἀγαθῆς ἁπλούστερόν μοι τὸ μοναρχικὸν φρόνημα παραθεμένου.

XXIX. Ἀκούσας δέ μου τῆς ἀληθείας ὁ Ἀππίων, ὁ ἀλόγως μισῶν τὸ Ἰουδαίων, καὶ τί ποτέ ἐστιν αὐτῶν τὸ πιστὸν οὔτε εἰδὼς οὔτε εἰδέναι θέλων, ἀκρίτως ὀργισθεὶς τῇ σιωπῇ ἐξ αὐτῆς ἤδη τῆς Ῥώμης ἀπηλλάσσετο· καὶ ἔκτοτε νῦν πρῶτον αὐτῷ συντετυχηκὼς τὸν ἐξ ἐκείνου τοῦ χρόνου θυμὸν ὑποπτεύω εἰκότως. πλὴν ἐφ' ὑμῶν αὐτοῦ πεύσομαι, τί ἂν ἔχοι λέγειν [3] περὶ τῶν λεγομένων θεῶν, ὧν οἱ βίοι παντοπαθεῖς εἶναι μυθολογούμενοι, πρὸς τὴν τοῦ ὁμοίου μίμησιν ἐπιτηδὲς ᾄδονται δημοσίᾳ, ὧν πρὸς τοῖς ἀνθρωπίνοις πάθεσιν, ὡς ἔφην, καὶ οἱ κατὰ τόπον δείκνυνται τάφοι.

XXX. Ταῦτα οἱ ἕτεροι προακούσαντες ἐμοῦ καὶ μαθεῖν τὰ ἑξῆς πο-

cultum, in castitate degere persuasit, et deinceps impossibile est ut ea in cujusquam complexus veniat, quia isti, Deum tamquam omnium operum inspectorem sibi proponentes, pudicitiam admodum retinent, velut qui non possint latere.

XXVIII. Quae cum audivissem, dixi Appioni: jam tibi verum fatebor. Ego mulierem non amavi neque quid hujusmodi, animus quippe meus in aliis omnino consumitur desideria, scilicet, in reperiendis veris dogmatibus. Et huc usque animo ad varias philosophorum opiniones adjecto, ad nullum illorum inclinavi, nisi ad Judaeorum religionem, cum ex illis mercator aliquis linteorum heic Romam advenisset, et bono quodam casu mihi simpliciter sententiam de uno Dei principatu commendasset.

XXIX. Appion vero, a me accepta veritate, qui legem Judaeorum inique oderat, nec quae esset illorum fides sciebat aut volebat scire, absque judicio iratus clam statim Roma discessit, et ex eo nunc pimum illum nactus, iram temporis illius merito vereor. Attamen coram vobis interrogabo, quid dicere habeat de vulgaribus diis, quorum vitae, quas omnibus vitiis subjectas referunt fabulae, palam de industria ad imitationem canuntur, quorumque praeter humanos affectus, ut dixi, etiam sepulcra per loca ostenduntur.

XXX. Ista cum a me alii ante audivissent, et consequentia desiderarent

1. αὐτὴν om. O.
2. πρὸς τῶν ἀληθῶν C.
3. λέγει Cl, non C, ut parum accurate asserit S.

θοῦντες συνῆλθόν μοι, ὡς ἐπισκεψόμενοι Ἀππίωνα. καὶ δὴ λελουμένον αὐτὸν ἤδη κατελαμβάνομεν ἐφ' ἑτοίμῳ τραπέζῃ. διόπερ [1] ὀλίγα ἠκριβολογησάμεθα εἰς τὸν περὶ θεῶν λόγον. ὁ δὲ οἶμαι συνεὶς ἡμῶν τὴν προαίρεσιν, εἰς τὴν ἐπιοῦσαν ἔχειν [2] τι εἰπεῖν ὑπέσχετο περὶ θεῶν, καὶ τὸν αὐτὸν προεδήλωσεν ἡμῖν τόπον, ὡς ἐκεῖ διαλεξόμενος. ἡμεῖς δὲ σὺν τῇ ὑποσχέσει, χάριν ὁμολογήσαντες αὐτῷ, οἴκαδε ἕκαστος ἀπεχωρήσαμεν.

## ΟΜΙΛΙΑ ς'.

I. Τρίτῃ δὲ ἡμέρᾳ εἰς τὸ προωρισμένον τῆς Τύρου χωρίον σὺν τοῖς οἰκειοτάτοις ἐλθὼν ἔγωγε [3] εὑρίσκω τὸν Ἀππίωνα, Ἀνουβίωνός τε καὶ Ἀθηνοδώρου καθεζόμενον μέσον, καὶ μετὰ πολλῶν ἄλλων τῶν ἐκ παιδείας ἀνδρῶν ἡμᾶς ἀναμενόντων. καὶ ὅμως οὐδὲν [4] καταπλαγείς, προσαγορεύσας ἀντικαθέζομαι τῷ Ἀππίωνι, ὃς μετ' οὐ πολὺ λέγειν ἤρξατο· βούλομαι πρῶτος ἀρξάμενος ἐντεῦθεν ἤδη ταχέως ἐλθεῖν ἐπὶ τὸ ζητούμενον. πρὸ τοῦ σε, τέκνον Κλήμιης, ἡμῖν παρεῖναι, Ἀνουβίων οὗτος [5] καὶ Ἀθηνόδωρος, οἱ χθὲς ἅμα τοῖς ἄλλοις ἐπακούσαντές σου διαλεγομένου, ἀφηγήσαντό μοι [6], πῶς ἐν τῇ Ῥώμῃ, συνερχόμενός [7] σοι ὡς ἐρῶντι, πολλὰ τῶν θεῶν κατεψευσάμην, εἰπὼν αὐτοὺς παιδεραστας, ἀσελγεῖς, μιγνυμένους μητράσιν, ἀδελφαῖς, θυγατράσιν, καὶ μυρίαις μοιχείαις ἐνεχομένους [8].

discere, convenerunt me, ut Appionem invisuri. Et vero eum jam lotum invenimus, mensa parata. Quare pauca examinavimus circa doctrinam de diis. Ille vera nostram, opinor, intelligens voluntatem, crastina die se aliquid de diis dicturum promisit, eumdemque nobis indicavit locum, in quo esset locuturus. Nos autem cum promissione, gratiis illi actis, singuli domum reversi sumus.

## HOMILIA SEXTA.

I. Tertio autem die ad praefinitum Tyri agrum cum familiarissimis ego veniens Appionem nansciscor, in medio Anubionis et Athenodori sedentem, unaque plures alios eruditos viros, qui nos opperiebantur. Attamen nihil veritus salutans consedi ex adverso Appionis, qui non multo post loqui coepit: volo, primum incipiens hinc, jam cito venire ad quaestionem. Ante quam tu, fili Clemens, adesses nobis, Anubion hic et Athenodorus, qui heri una cum aliis audierunt te disserentem, narraverunt mihi, quo modo Romae tibi ut amanti occurrens multa contra deos mentitus fuerim, illos praedicans paedicones, lascivos, stupratores matrum, sororum, filiarum, innumerisque obnoxios adulteriis.

1. *δι' ὅπερ* C.
2. D proponit *ἥκειν*.
3. *ἐγώ γε* C.
4. *οὐδὲ* O.
5. Ita O et C ex conject., *οὕτως* in textu.
6. *ἀφηγήσαιτό μοι* S mendose.
7. *συνεργόμενός* C, *συνεργούμενός* S.
8. *ἀνεχομένους* C.

www.libtool.com.cn

ἀλλ' ἐχρῆν σε, ὦ τέκνον, εἰδέναι, ὅτι μὴ τοιαῦτα περὶ θεῶν φρονῶν[1] ἐγραφον, ἀλλὰ στοργῇ τῇ πρός σε τὰ ἀληθῆ λέγειν ἀπεκρυπτόμην, ἅπερ εἰ νῦν ἐθέλεις, παρ' ἐμοῦ ἄκουσον.

II. Τῶν πάλαι ἀνδρῶν οἱ σοφώτατοι, πᾶσαν ἀλήθειαν αὐτοὶ καμάτῳ[2] μεμαθηκότες, τοὺς ἀναξίους καὶ μὴ ὀρεγομένους θείων μαθημάτων ἀπεκρύψαντο τὴν ἐπιστήμην λαβεῖν. οὔτε γὰρ ἀπ' Οὐρανοῦ καὶ τῆς μητρὸς αὐτοῦ Γῆς γεγόνασι παῖδες δώδεκα, ὡς ὁ μῦθος καταριθμεῖ· ἄρρενες μὲν Ὠκεανός, Κοῖος, Κρῖος[3], Ὑπερίων, Ἰαπετός, Κρόνος· θήλειαι[4] δὲ Θεά, Θέμις, Μνημοσύνη, Δημήτηρ, Τηθύς, Ῥέα. οὔτε τῇ ἐξ ἀδάμαντος ἅρπῃ τὰ αἰδοῖα Κρόνος Οὐρανοῦ τοῦ πατρὸς ἐκτεμών, ὥς φασι, εἰς βυθὸν ἀπέρριψεν· ἀλλ' οὐδ' ἐκ τῆς ἀποτομῆς τοῦ Οὐρανοῦ σταγόνων ῥυέντος αἵματος ἡ Ἀφροδίτη ἐγένετο. οὐδ' αὖ Κρόνος τῇ Ῥέᾳ μιγεὶς καὶ γεννήσας Πλούτωνα πρῶτον κατέπιεν, διά τινα Προμηθέως θεσμὸν δεδιώς, μήποτε γεννηθὲν ἐξ αὐτοῦ βρέφος, γενναιότερον αὐτοῦ γενόμενον, ἀφέληται αὐτὸν τῆς βασιλείας[5]. οὐ τὸν Ποσειδῶνα δεύτερον γεννήσας ὁμοίως κατέπιεν. οὐ μετὰ τούτους τὸν Δία γεννηθέντα ἡ μήτηρ κατακρύψασα ἡ Ῥέα ἀπαιτήσαντι τῷ Κρόνῳ καταπιεῖν λίθον[6] ἀντέδωκεν. ὃς οὐ καταποθεὶς τοὺς προκαταποθέντας θλίψας ἐξέωσεν[7], ὡς προελθεῖν πρῶτον μὲν

Sed te oportuit, fili, scire me talia non ex animo scripsisse, sed amore tui vera occultasse; quae si nunc desideras, audi a me.

II. Antiquorum hominum sapientissimi, omnem veritatem per laborem edocti, indignos divinarumque disciplinarum non cupidos celarunt scientiae traditionem. Neque enim ex Caelo illiusque matre Terra progeniti sunt duodecim liberi, quemadmodum fabula enumerat, mares quidem Oceanus, Coeus, Crius, Hyperion, Iapetus, Saturnus; feminae vero Theia, Themis, Mnemosyne, Ceres, Tethys, Rhea. Neque Saturnus adamantina falce exsecta patri Caelo virilia, ut fertis, in mare projecit. Sed neque ex Caeli exsectione per fusi sanguinis guttas orta est Venus. Neque etiam Saturnus ex Rhea primo sibi genitum Plutonem absorbuit, propter Promethei oraculum veritus, ne ex eo concubitu natus infans fortior ipso exsisteret, privaretque ipsum regno. Non secundo genitum Neptunum similiter absorpsit. Non post hos natum Jovem mater Rhea occultavit, nec expetenti Saturno lapidem ad devorandum tradidit. Non is devoratus prius absorptos trusit et coëgit exire, primum quidem, qui

1. φρονῶν desideratur in O.
2. Pro Ci καμάτων D legendum censet διὰ καμάτων: conjectura jam superflua.
3. Ita S auct. D. Cfr. Hes. Theog. 134. 375, κριός C O.
4. θήλαι O. Tum id. θεα sine accentu, Θεία conj. C. Cfr. Hes. Theog. 135. 371. Apollod. 1, 2, 4. Dein τυθύς O.
5. Lege τὴν βασιλείαν. S.
6. λίθον addidi c. O, quam vocem deesse jam monuit D. Cfr. Recogn. X, 19. ὃς in exordio sequentis periodi addidi c. O.
7. Ita S, ἔξωσεν C, ἐξῶσεν O.

τὸν πρῶτον καταποθέντα Πλούτωνα, ἐπ' αὐτῷ δὲ [1] Ποσειδῶνα, καὶ τρίτον τὸν Δία. οὐδέ γε, ὡς φασιν, μητρὸς προνοίᾳ διασωθεὶς ὁ Ζεύς, καὶ εἰς οὐρανὸν ἀναβάς, τὸν πατέρα τῆς βασιλείας καθεῖλεν. οὐ πατρὸς [2] ἀδελφοὺς ἐκόλασεν. οὐκ εἰς πόθον γυναικῶν θνητῶν κατῆλθεν. οὐκ ἀδελφαῖς [5] ἢ θυγατράσιν, οὐκ ἀδελφῶν γυναιξίν, οὐ παισὶν αἰσχρῶς συνεγένετο. οὐδὲ Μῆτιν γεννήσας κατέπιεν, ἵνα ἀπ' [3] ἐγκεφάλου μὲν τὴν Ἀθηνᾶν ἀναφύσῃ ἐκ τῆς Μήτιδος, ἐκ δὲ τοῦ μηροῦ τὸν Διόνυσον τέκῃ, ὃν ὑπὸ Τιτάνων ἐσπαράχθαι λέγουσιν. οὐ δεῖπνον ἐπὶ τῷ Θέτιδος καὶ Πηλέως γάμῳ συντελεῖ. οὐ τὴν Ἔριν τῶν γάμων ἀπεώσατο. οὐκ αὐτὴ [4] ἡ Ἔρις, [10] ἀτιμασθεῖσα, μάχην καὶ στάσιν τοῖς [5] ἑστιωμένοις ἐπενόησεν. οὐ μῆλον χρύσεον ἐκ τῶν Ἑσπερίδων κήπων λαβοῦσα ἐπέγραψεν, δῶρον τῇ καλῇ. ἔπειτα μυθολογοῦσιν ὡς Ἥρα τε καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη εὑρίσκουσι τὸ μῆλον, καὶ φιλονεικοῦσαι ἔρχονται πρὸς [6] τὸν Δία· αἷς αὐτὸς μὲν οὐκ ἔκρινεν, διὰ Ἑρμοῦ δὲ πρὸς τὸν ποιμένα Πάριν κριθησομένας περὶ κάλ- [15] λους ἐξέπεμψεν. ἀλλ' οὔτε ἐκρίθησαν θεαί, οὔτε ὁ Πάρις τῇ Ἀφροδίτῃ τὸ μῆλον ἀπέδωκεν. οὐκ Ἀφροδίτη τιμηθεῖσα τῷ τῆς Ἑλένης αὐτὸν ἀντετίμησε γάμῳ. οὐ γὰρ ἂν τῇ τὴν θεᾶς τιμῇ [7] πρόφασις ἐγίνετο παμφύλου πολέμου, καὶ ταῦτα ἐπ' ὀλέθρῳ τοῦ τὴν τιμὴν ἀπειληφότος καὶ ἀγχιστεύοντος τῷ τῆς Ἀφροδίτης γένει. ἀλλ ὡς ἔφην, ὦ τέκνον, ἔχει τινὰ

primus absorptus fuerat, Plutonem, postea Neptunum, tertium Jovem. Neque ut aiunt, matris consilio servatus Juppiter, ac in caelum ascendens, patrem regno depulit. Nec patris fratres supplicio affecit. Non in amorem devenit mortalium feminarum. Non cum sororibus vel filiabus, non cum fratrum uxoribus, non cum pueris turpiter concubuit. Neque filiam suam Metim deglutivit, ut a cerebro quidem Minervam produceret ex Metide, ex femore vero gigneret Bacchum, quem a Titanibus ferunt discerptum fuisse. Non coenam in Thetidis et Pelei nuptiis celebravit. Non discordiam expulit e nuptiis. Non discordia probro affecta pugnam et seditionem epulantibus commenta est. Non accepto ex hortis Hesperidum malo aureo inscripsit: donum pulcrae. Postea fabulantur, quod Juno, Minerva et Venus malum invenerint et contendentes venerint ad Jovem, quas ipse quidem non judicaverit, per Mercurium vero miserit ad pastorem Paridem, de pulcritudine judicandas. Sed nec deae judicatae fuerunt, neque Paris Veneri pomum tradidit. Non Venus, honorem consecuta, Paridem Helenae conjugio vicissim honoravit. Neque enim deae honor causa fuisset belli inter tot gentes, idque in perniciem ejus qui honore affectus fuerat, quique ad genus Veneris jure propinquitatis pertinebat. Verum sicut

1. δὲ transscripsi ex O.
2. πατέρος C.
3. ἐπ' O.
4. οὐχ αὐτὴ C, οὐχ αὐτὴ (sic) Cl, οὐχ αὕτη O.
5. τὴν O.
6. ἐπὶ O.
7. Ita scripsi c. O, qui quidem pr. man. in textu exh. τῇ τῆς θεᾶς τιμᾷν, ap. C ἡ τ. θ. τιμή.

www.libtool.com.cn

λόγον τὰ τοιαῦτα οἰκεῖον καὶ φιλόσοφον, ἀλληγορίᾳ φρασθῆναι δυνάμενον· ὥστε σε ἀκούσαντα θαυμάσαι. κἀγὼ ἔφην· δέομαι μή με ἀναβαλλόμενος βασανίσῃς. καὶ ὃς ἔφη· μηδὲν φοβηθῇς, οὐ γὰρ ὑπερθήσομαι, ἀλλ' ἄρξομαι ἤδη λέγειν.

III. Ἦν ποτε ὅτε οὐδὲν πλὴν χάος καὶ στοιχείων ἀτάκτων [1] ἔτι συμπεφορημένων μίξις ἀδιάκριτος, τοῦτο καὶ τῆς φύσεως ὁμολογούσης, καὶ τῶν μεγάλων ἀνδρῶν οὕτως ἔχειν νενοηκότων. καὶ μάρτυρα τῶν μεγάλων ἐν σοφίᾳ τὸν μέγιστον Ὅμηρον αὐτόν σοι παρέξομαι, εἰπόντα περὶ τῆς ἀνέκαθεν συγχύσεως

Ἀλλὰ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε [2].

ὡς ἐκεῖθεν ἁπάντων τὴν γένεσιν ἐσχηκότων, καὶ μετ' [3] ἀνάλυσιν τῆς ὑγρᾶς καὶ γηΐνης οὐσίας εἰς τὴν πρώτην πάλιν ἀποκαθισταμένων φύσιν, ὅ ἐστι χάος. Ἡσίοδος δὲ ἐν τῇ Θεογονίᾳ λέγει

Ἤτοι μὲν πρώτιστα χάος ἐγένετο [4].

τὸ δὲ ἐγένετο δηλονότι [5] γεγενῆσθαι ὡς γενητὰ σημαίνει, οὐ τὸ ἀεὶ εἶναι ὡς ἀγένητα. καὶ Ὀρφεὺς [6] δὲ τὸ χάος ᾠῷ παρεικάζει, ἐν ᾧ τῶν πρώτων στοιχείων ἦν ἡ σύγχυσις. τοῦτο Ἡσίοδος χάος ὑποτίθεται, ὅπερ Ὀρφεὺς ᾠὸν λέγει γενητόν, ἐξ ἀπείρου τῆς ὕλης προβεβλημένον, γεγονὸς δὲ οὕτω [7].

dixi, o fili, haec rationem quamdam habent propriam et philosophicam, quae per allegoriam potest explicari, adeo ut tu, cum audieris, admireris. Et ego dixi, oro ne me mora torqueas. Ille respondit, nihil timeas. Non enim differam, sed jam incipiam loqui.

III. Exstitit aliquando tempus, cum nihil erat, praeter Chaos et elementorum confusorum, adhuc aggestorum, mixturam promiscuam. Id enim fatetur natura, atque ita habere, asserunt viri magni. Et inter sapientia praestantes praestantissimum, Homerum, tibi afferam, dicentem de prima confusione:

*Vos equidem cuncti tellus fiatis et unda:*

tamquam hinc omnia ortum habeant, atque post substantiae humidae ac terrenae dissolutionem in primam iterum restituantur naturam, hoc est, in Chaos. Hesiodus vero in Theogonia dicit:

*Primo nempe Chaos factum fuit:*

Per illud, *factum fuit*, clarum est quid significet, ea ut genita ortum habuisse, non autem ut ingenita semper exstitisse. Orpheus autem Chaos ovo comparat, in quo primorum elementorum erat confusio. Hoc Hesiodus Chaos proponit, quod Orpheus ovum dicit genitum, ex infinita materia productum, factumque ita.

1. Leg. ἀτάκτως. D.
2. Ita O c. S, γένησθε C. Cfr. Iliad. VII, 99.
3. μετὰ O.
4. V. Hes. Theog. 116. S.
5. δῆλον ὅτι C.
6. Cfr. Lobeck. Aglaoph. p. 475 seqq. Brandis. Hist. philos. graec. rom. I, 60. 67. S.
7. οὕτως S.

www.libook.com.cn

IV. Τῆς τετραγενοῦς ὕλης ἐμψύχου οὔσης, καὶ ὅλου ἀπείρου τινὸς βυθοῦ ἀεὶ ῥέοντος, καὶ ἀκρίτως φερομένου, καὶ μυρίας ἀτελεῖς κράσεις εἰς ἄλλοτε ἄλλως[1] ἐπαναχέοντος, καὶ διὰ τοῦτο αὐτὰς ἀναλύοντος τῇ ἀταξίᾳ, καὶ κεχηνότος καὶ[2] εἰς γέννησιν ζώου δεθῆναι μὴ δυναμένου, συνέβη ποτὲ αὐτοῦ τοῦ ἀπείρου πελάγους, ὑπὸ ἰδίας φύσεως περιωθουμένου κινήσει φυσικῇ, εὐτάκτως ῥυῆναι ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ αὐτό, ὥσπερ ἴλιγγα, καὶ μῖξαι τὰς οὐσίας, καὶ οὕτως ἐξ ἀκουστοῦ[3] τῶν πάντων τὸ νοστιμώτατον, ὅπερ πρὸς γέννησιν ζώου ἐπιτηδειότατον ἦν, ὥσπερ ἐν χώνῃ κατὰ μέσου ῥυῆναι τοῦ παντός, καὶ ὑπὸ τῆς πάντα φερούσης ἴλιγγος χωρῆσαι εἰς[4] βάθος, καὶ τὸ περικείμενον πνεῦμα ἐπισπάσασθαι, καὶ ὡς εἰς γονιμώτατον συλληφθὲν ποιεῖν κριτικὴν σύστασιν. ὥσπερ γὰρ ἐν ὑγρῷ φιλεῖ γίνεσθαι πομφόλυξ, οὕτως σφαιροειδὲς πανταχόθεν συνελήφθη[5] κύτος. ἔπειτα αὐτὸ ἐν ἑαυτῷ κυηθέν, ὑπὸ τοῦ παρειληφότος[6] θειώδους πνεύματος ἀναφερόμενον, προέκυψεν εἰς φῶς μέγιστόν τι τοῦτο ἀποκύημα, ὡς ἂν ἐκ παντὸς τοῦ ἀπείρου βυθοῦ ἀποκεκυημένον ἔμψυχον δημιούργημα, καὶ τῇ περιφερείᾳ τῶν ὠῶν προσεοικὸς, καὶ τῷ τάχει τῆς πτήσεως.

IV. Cum materia quatuor genera complectens haberet animam, et totum immensum quoddam profundum semper flueret ac temere ferretur et innumeras imperfectas mistiones subinde profunderet, atque ideo illas ob confusionem solveret, nec non hiaret quasi ad generationem animalis non posset compingi, aliquando contigit, ut illud infinitum pelagus, per propriam naturam concussum motu naturali, ordinate ab eodem ad idem instar vorticis flueret, substantiasque misceret; sicque mirum in modum, quod omnium optimum ac maturissimum erat atque ad generationem animalis aptissimum, velut in fornace per mediam decurreret universitatem, et per cuncta ferentem vorticem iret ad profundum, circumfusumque spiritum attraheret; nec non quasi in maximam fecunditatem conceptum faceret discretam compositionem. Quemadmodum enim in humido fieri solet bulla, ita orbiculatum undique comprehensum est corpus. Deinde ipsum in seipso conceptum, a divino qui assumserat spiritu subvectum, in lucem prodiit maximum hoc germen seu fetus, tamquam ex omni immenso profundo progenitum opificium animatum, simile ovis per rotunditatem et avibus per celeritatem.

1. *κράσεις ἄλλοτε ἄλλας*, deleta praepositione, legi vult D.
2. *ὡς* C.
3. *ἐξ ἑκάστου* scribit D, probante Lobeckio Aglaoph. p. 475. Quod C vertit „mirum in modum“, nescio unde hanc interpretationem hauserit. S. Sequens *τῶν* inserui c. O.
4. *εἰς* excidit ap. Cl et S.
5. *συνειλήθη* mavult Lobeck l. l. p. 475. S. Tum *κύτος* conj. C, *νυκτὸς* uterque Hom. Codex.
6. *κατειληφότος* recte scr. Lobeck l. l. S.

V. *Κρόνον οὖν τὸν χρόνον μοι νόει, τὴν δὲ Ῥέαν τὸ ῥέον τῆς ὑγρᾶς οὐσίας· ὅτι χρόνῳ φερομένη ἡ ὕλη ἅπασα ὥσπερ ὠὸν τὸν πάντα περιέχοντα σφαιροειδῆ ἀπεκύησεν οὐρανόν· ὅπερ κατ' ἀρχὰς τοῦ γονίμου μυελοῦ πλῆρες ἦν, ὡς ἂν* [1] *στοιχεῖα καὶ χρώματα παντοδαπὰ ἐκτεκεῖν δυνάμενον, καὶ ὅμως παντοδαπὴν ἐκ μιᾶς οὐσίας τε καὶ χρώματος ἑνὸς ἔφερε τὴν φαντασίαν. ὥσπερ γὰρ ἐν τῷ τοῦ ταὼ γεννήματι ἓν μὲν τοῦ ὠοῦ χρῶμα δοκεῖ, δυνάμει δὲ μυρία ἔχει ἐν ἑαυτῷ τοῦ μέλλοντος τελεσφορεῖσθαι χρώματα, οὕτως καὶ τὸ ἐξ ἀπείρου ὕλης ἀποκυηθὲν ἔμψυχον ὠόν, ἐκ τῆς ὑποκειμένης καὶ ἀεὶ ῥεούσης ὕλης κινούμενον, παντοδαπὰς ἐκφαίνει τροπάς. ἔνδοθεν γὰρ τῆς περιφερείας ζῷόν τι ἀρρενόθηλυ εἰδοποιεῖται πρόνοίᾳ τοῦ ἐνόντος ἐν αὐτῷ θείου πνεύματος, ὃν Φάνητα Ὀρφεὺς καλεῖ, ὅτι αὐτοῦ φανέντος τὸ πᾶν ἐξ αὐτοῦ ἔλαμψεν, τῷ φέγγει τοῦ διαπρεπεστάτου τῶν στοιχείων πυρὸς ἐν τῷ ὑγρῷ τελεσφορουμένου. καὶ οὐκ ἄπιστον, ὅτι καὶ ἐπὶ λαμπυρίδων* [2]*, δείγματος εἵνεκα* [3]*, ἡ φύσις ἡμῖν ὁρᾶν ὑγρὸν φῶς ἐδωρήσατο.*

VI. *Τὸ μὲν οὖν πρωτοσύστατον ὠὸν ὑποθερμανθὲν ὑπὸ τοῦ ἔσωθεν ζῴου ῥήγνυται, ἔπειτα δὲ μορφωθὲν* [4] *προέρχεται ὁποῖόν τι καὶ Ὀρφεὺς λέγει,*

*— κραναίου* [5] *σχισθέντος πολυχανδέος ὠοῦ.*

V. Saturnum igitur mihi puta esse tempus, Rheam vero illud humidae substantiae, quod fluit: quia per tempus versata omnis materia, velut ovum, caelum quod rotundum est quodque omnia complectitur, peperit. Quod ovum principio fecunda medulla plenum fuit, quippe quod posset elementa et omnigenas species procreare, attamen omnigenam ex una substantia unaque specie tulit imaginem. Sicut enim in pavonis fetu unus quidem ovi videtur color, potestate autem mille in se habet perficiendi animalis colores: ita et quod ex immensa materia genitum est ovum animatum, ex subjecta semperque fluente materia commotum, omnimodas exserit mutationes. Intra enim circumferentiam aliquod animal, quod est masculofemina, per inexsistentis divini spiritus providentiam formatur, quod Phanetem Orpheus vocat, quia cum apparuisset, universum ex ipso fulsit, nimirum splendore ignis elementorum excellentissimi in humiditate perfecto. Neque id incredibile, quandoquidem et in cicindelis, exempli gratia, natura nobis concessit humidum lumen contemplari.

VI. Ovum igitur quod primo constitit, cum calefactum esset, rumpitur ab intus posito animali: postea vero forma accepta prodit illa species, quam et Orpheus describit,

*— disrupta testa ovi quod cuncta tenebat.*

1. *πλῆρες ἦνωσαν* C.
2. C affert Plin. H. N. 18, 26: „Lucentes vespere per arva cicindelae. Ita appellant rustici stellantes volatus, Graeci vero ampyridas, incredibili benignitate naturae.“
3. *ἕνεκα* C.
4. *μορφωθὴς* O.
5. *κραναίου* c. O, *κραμαίου* Cod. Gi, in cuj. marg. conject. *κραμείου* p. *κεραμείου*. S: *ἀκμαίου* ex conject. scr. Lobeck

καὶ οὕτω μεγάλῃ δυνάμει αὐτοῦ τοῦ προεληλυθότος φανέντος, τὸ μὲν κύτος[1] τὴν ἁρμονίαν λαμβάνει καὶ τὴν διακόσμησιν ἴσχει, αὐτὸς δὲ ὥσπερ ἐπ' ἀκρωρείας οὐρανοῦ προκαθέζεται, καὶ ἐν ἀπορρήτοις τὸν ἄπειρον περιλάμπων αἰῶνα. ἡ δὲ τοῦ κύτους ἔνδοθεν γόνιμος ὑπολειφθεῖσα ὕλη, ὡς ἐν πολλῷ τῷ χρόνῳ ὑποκειμένη ἕως φυσικῶς[2] ὑποζέουσα ἡ θερμότης, τὰς[3] πάντων διέκρινεν οὐσίας. τὸ μὲν γὰρ κατώτερον αὐτῆς πρῶτον ὥσπερ ὑποστάθμιη ὑπὸ τοῦ βάρους εἰς τὰ κάτω ὑποκεχώρηκεν[4], ὃ διὰ τὴν ὁλκότητα καὶ διὰ τὸ ἐμβριθὲς [καὶ πολὺ τῆς ὑποκειμένης οὐσίας πλῆθος Πλούτωνα προσηγόρευσαν, ᾅδου τε καὶ νεκρῶν βασιλέα εἶναι ἀποφηνάμενοι.

VII. Ταύτην μὲν οὖν τὴν πρώτην καὶ πολὺ[5] ῥυπαρὰν καὶ τραχεῖαν οὐσίαν ὑπὸ Κρόνου τοῦ χρόνου καταποθῆναι λέγουσι φυσικῶς, διὰ τὴν κάτω ὑπονόστησιν αὐτῆς. μετὰ δὲ τὴν πρώτην ὑποστάθμην τὸ συρρυὲν ὕδωρ καὶ πρώτῃ ἐπιπολάσαν ὑποστάσει Ποσειδῶνα προσηγόρευσαν. τὸ δὲ λοιπὸν τρίτον τὸ καθαρώτατον καὶ κορυφαιότατον ἅτε διαυγὲς ὂν πῦρ Ζῆνα ὠνόμασαν, διὰ τὴν ἐν αὐτῷ ζέουσαν φύσιν· ἀνωφερὲς γὰρ ὂν τὸ πῦρ πρὸς μὲν τὰ κάτω ὑπὸ χρόνου τοῦ Κρόνου οὐ κατεπόθη, ἀλλ' ὡς ἔφην, ἡ πυρώδης οὐσία ζωτική τε καὶ ἀνωφερὴς [οὖσα εἰς αὐτὸν ἀνέπτη

Sicque per magnam illius qui prodiit ac apparuit potestatem, moles quidem cohaerentiam accipit et ordinem digestionemque consequitur, ipse autem velut in vertice caeli praesidet, et in arcanis immensum illustrat saeculum. Molis vero intus fecunda relicta materia, ut etiam per multum tempus usque ad naturale subjectum calor fervefaciens cunctorum discrevit substantias. Infimum etenim illius, primo tamquam faex, pondere ipso in inferiora cessit, quod propter gravitatem et pondus et subjectae substantiae copiam Plutonem appellaverunt, quem inferorum mortuorumque regem pronuntiarunt.

VII. Hanc itaque primam multoque sordidam atque asperam substantiam a Saturno seu tempore fuisse devoratam ajunt; convenienter naturae, scilicet ob illius substantiae recessum ad inferiora. Post primum vero sedimentum confluentem aquam et primae faeci supernatantem Neptuni nomine donarunt. Tertium autem reliquum, purissimum ac eminentissimum, quod nempe esset ignis lucidus, nominaverunt Jovem, propter fervidam ipsius naturam. Cum enim ignis in sublime feratur, cum inferioribus quidem a tempore Saturno non est absorptus, sed quemadmodum dixi, ignea substantia, utpote vitalis et in

l. l. p. 479. Ἡρακαπαίου conj. Hermannus ap. Lob. In collectione sua fragmentorum Orphicorum Hermannus hoc fragmentum praetermisit. Deinde post σχισθέντος Lobeck addit ὑπέκ.

1. κῦτος O.
2. ὑποκειμένης ἕως φυσικῆς C.
3. τὰς O et ex conject. C, τῆς id. in textu. S: Ceterum tota periodus haud sana. Sensus flagitat, ut legatur τὴν — γόνιμον ὑπολειφθεῖσαν ὕλην — ἡ θερμότης εἰς τὰς π. δ. οὐσίας.
4. ὑπεχώρησεν C.
5. πολλὴν C.

τὸν ἀέρα, ὃς καὶ φρονιμώτατός[1] ἐστι διὰ τὴν καθαρότητα. τῇ οὖν ἰδίᾳ θερμότητι[2] ὁ Ζεύς, τουτέστιν ἡ ζέουσα οὐσία, τὸ καταλειφθὲν ἐν τῷ ὑποκειμένῳ ὑγρῷ, τὸ ἰσχυρότατον[3] καὶ θεῖον ἀνιμᾶται[4] πνεῦμα, ὅπερ Μῆτιν ἐκάλεσαν.

VIII. Κατὰ κορυφῆς δὲ[5] αὐτοῦ ἐλθὸν τοῦ αἰθέρος καὶ συμποθὲν ὑπ' αὐτοῦ, ὥσπερ ὑγρὸν θερμῷ μιγέν, τὸν ἀεικίνητον παλμὸν ἐμποιῆσαν, γεννᾷ τὴν σύνεσιν, ἣν καὶ Παλλάδα ἐπονομάζουσι διὰ τὸ πάλλεσθαι[6], τεχνικωτάτην οὖσαν φρόνησιν, ᾗ χρώμενος τὸν πάντα ἐτεχνήσατο κόσμον ὁ αἰθέριος τεχνίτης. ἀπ' αὐτοῦ δὲ τοῦ διήκοντος Διός, τοῦ θερμοτάτου αἰθέρος, ὁ ἀὴρ μέχρι τῶν ἐνταῦθα διικνεῖται τόπων, ἣν ἐπονομάζουσιν Ἥραν. καὶ διὸ[7] δὴ τῆς τοῦ αἰθέρος καθαρωτάτης οὐσίας ὑποβεβηκυῖα, ὡς θήλεια τὴν καθαρότητα, πρὸς σύγκρισιν τοῦ κρείττονος ἀδελφὴ Διὸς κατὰ τὸ εἰκὸς ἐνομίσθη, ὡς ἐκ τῆς αὐτῆς οὐσίας γεγενημένη· γαμετὴ δὲ διὰ τὸ ὡς γυναῖκα ὑποκεῖσθαι.

IX. Παραλαμβάνεται δὲ ἡ μὲν Ἥρα πρὸς ἀέρος[8] εὐκρασίαν, διὸ[9] καὶ γονιμωτάτη ἐστίν· ἡ δὲ Ἀθηνᾶ, ἣν καὶ Παλλάδα λέγουσιν, διὰ τὸ ἄκρως θερμὸν γένεσίν τινος ποιῆσαι μὴ δυναμένη, παρθένος ἐνομίσθη· ὁμοίως

altum tendens, in aërem evolavit, qui et prudentissimus est propter puritatem. Suo igitur calore Juppiter, hoc est, substantia fervida, haurit quod relictum est in subjecto humido, scilicet tenuissimum divinumque spiritum, cui Metis nomen dedere.

VIII. Ad aetheris autem verticem veniens, et ab eo imbibitum, velut humidum sicco permistum, quando perpetuum indidit palpitationis motum, gignit intelligentiam, quam et Palladem a palpitando cognominant; quae est artificiosissima prudentia, qua usus aethereus artifex universum mundum fabricatus est. Ab ipso autem penetrante Jove, seu fervidissimo aethere, aër ad haec usque loca pervenit, quem Junonem nuncupant. Atque ideo ex aetheris purissima substantia delapsa, tamquam femina ratione puritatis, comparatione praestantioris soror Jovis rite existimata est, ut quae ex eadem substantia genita sit; uxor vero, quod velut mulier subjaceat.

IX. Sumitur autem Juno quidem pro aëris bona temperie, quare et fecundissima est: Minerva vero, quam et Palladem vocant, cum ob summum calorem nihil possit producere, credita est virgo. Similiterque interpretantur

1. Intelligentiam aeri primus assignavit Diogenes Apolloniates. καί μοι δοκέει, ait apud Simplic. in Phys. fol. 33, τὸ τὴν νόησιν ἔχον εἶναι ὁ ἀὴρ καλεόμενος. Plura dabunt Brandis, hist. phil. graec. rom. I, 280. Panzerbieter, de Diog. Apoll., Fragm. IV—VI. S.
2. θερμότητα O.
3. ἰσχρότατον C.
4. Ita D, ὃν ἐμᾷ τι C, ὀνόματι O.
5. καὶ O.
6. Cfr. Lobeck Agl. p. 550 seqq. S.
7. ὡς O.
8. θερῶν O.
9. δι' ὃ C.

δὲ καὶ Ἄρτεμις ἑρμηνευομένη, ἣν εἰς τὸν κατώτατον μυχὸν τοῦ ἀέρος παραλαμβάνουσιν, καὶ δι' ἀκρότητα κρύους ἄγονον οὖσαν ὁμοίως παρθένον ἐκάλεσαν. Διόνυσον δὲ ὡς φρενῶν θολωτικὸν [1] ὀνομάζουσι τὴν ἀπὸ τῶν ἄνω τε καὶ κάτω ἀτμῶν θολερὰν καὶ μεθύουσαν σύστασιν. τὸ δὲ κατωτέρω τῆς γῆς ὕδωρ, ἓν ὂν τῇ φύσει, καὶ διὰ πάντων τῶν χερσαίων πόρων διεῖρον [2], καὶ εἰς πολλὰ διαιρούμενον, ὥσπερ συγκοπτόμενον, Ὄσιριν ἐκάλεσαν. λαμβάνουσι δὲ καὶ Ἄδωνιν εἰς ὡραίους καιρούς, Ἀφροδίτην εἰς μῖξιν καὶ γένεσιν, Δήμητρα εἰς γῆν, Κόρην [3] εἰς σπέρματα, καὶ Διόνυσόν τινες εἰς ἄμπελον.

X. Καὶ πάντα τὰ τοιαῦτα ὁμοίως τοιαύτην τινὰ ἀλληγορίαν ἔχοντα νόει μοι· Ἀπόλλωνα δὲ ἥλιον τὸν περιπολοῦντα εἶναι νόμιζε, γονὴν ὄντα τοῦ Διός, ὃν καὶ Μίθραν ἐκάλεσαν, ἐνιαυτοῦ συμπληροῦντα περίοδον. αὐταὶ δὲ αἱ μεταμορφώσεις [4] τοῦ πανταχῇ διήκοντος Διὸς αἱ πολλαὶ νοεῖσθωσάν σοι τροπαί, τὰς δὲ μυρίας αὐτοῦ [5] γυναῖκας ἐνιαυτοὺς ἢ γενεὰς ἐπινόει. ἀπ' αὐτοῦ γὰρ τοῦ αἰθέρος ἡ διικνουμένη [6] τὸν [7] ἀέρα δύναμις, ἑκάστῳ ἐνιαυτῷ καὶ γενεᾷ συνουσιάζουσα, διαφόρως αὐτὸν τρέπει, καὶ οὕτως γεννᾷ ἢ φθείρει τὰ ὡραῖα. καὶ παῖδες μὲν λέγονται οἱ

Dianam, quam pro infimo aëris recessu accipiunt, quamque, quia ob summum frigus sterilis est, similiter virginem appellavere. Liberum vero, tamquam qui mentem turbet, nominant turbidam eam inebriantemque compagem, quae a superioribus inferioribusque vaporibus oritur. At aquam terra inferiorem, cum natura sit una et omnes terrestres meatus trajiciat atque in multa dividatur, quasi concisam Osirin nuncuparunt. Et vero sumunt Adonin pro pulcris temporibus, Venerem pro concubitu et generatione, Cererem pro terra, Proserpinam pro seminibus, et Bacchum quidam pro vite.

X. Atque omnia hujusmodi pariter aliquam ejusdem generis habere allegoriam existimato. Apollinem vero puta esse circumeuntem solem, Jovis fetum, quem et Mithram vocaverunt, qui anni ambitum complet. Ipsae autem Jovis ubique pervadentis transformationes multae a te intelligantur temporum conversiones. Plurimas vero illius feminas annos vel aetates reputa. Vis enim quae ab ipso aethere per aërem vadit, cum singulis annis ac aetatibus congressa, varie illum convertit, sicque gignit aut corrumpit fruges. Et filii qui-

1. θολοτικὸν C. Cum O omisi Ci τὴν ante θολερὰν.
2. διέρπον conj. D, διῆκον conjectare possint alii secundum S.
3. Δήμητραν εἰς τὴν (leg. γῆν), Κόρην C, Δήμητρα εἰς γῆν, Κόρην S, δήμητρα καὶ τὴν κόρην O.
4. μεταμορφώσεις O in textu, μεταμορφώσης al. man. ad oram.
5. αὐτῶν O.
6. διηνουμένη Cl et S, qui conj. διικνουμένη, ut jam evulgaverat C.
7. τῶν O.

www.libtool.com.cn

ὡραῖοι καρποί, αἱ δὲ πρὸς τοὺς ἄφρονας δείξεις[1] αἱ κατ' ἐνίους καιρους ἀκαρπίαι.

XI. Ταῦτα τοῦ Ἀππίωνος ἀλληγοροῦντος, σύννους ὢν ἐγὼ ἐδοξα τοῖς ὑπ' αὐτοῦ λεγομένοις μὴ παρακολουθεῖν. διὸ[2] τὸν λόγον ἐγκόψας ἔφη μοι· εἰ μὴ παρακολουθεῖς οἷς λέγω, τί καὶ τὴν ἀρχὴν διαλέγομαι; κἀγὼ ἀπεκρινάμην· μή με ὑπολάμβανε ἀναισθήτως ἔχειν τῶν ὑπό σου λεγομένων. πάνυ γὰρ αὐτὰ συνίημι, ἅτε δὴ οὐ πρῶτον αὐτῶν ἀκηκοώς. ἵνα δὲ γνῷς ὅτι οὐκ ἀγνοῶ τὰ ὑπό σου λεγόμενα, τὰ μέν σοι ῥηθέντα ἐπιτεμοῦμαι, τῶν δὲ παραλειφθέντων σοι κατ' ἀκολουθίαν, ὡς παρ' ἑτέρων ἤκουσα, ἀποπληρώσω τὰς ἀλληγορίας. καὶ ὁ Ἀππίων ἔφη· ποίησον οὕτως ὡς λέγεις.

XII. Κἀγὼ ἀπεκρινάμην· παρίημι νῦν ἐπ' ἀκριβὲς λέγειν τὸ ἐκ τῆς ἀπείρου ὕλης κατ'[5] ἐπιτυχίαν κράσεως ἀποκυηθὲν ἔμψυχον ᾠόν, οὗ ῥαγέντος κατά τινας ἀρρενόθηλυς ἐξέθορεν Φανής. καὶ πάντ' ἐκεῖνα ἐπιτέμνομαι, μέχρις οὗ τὸ ῥαγὲν πίτος τὴν ἁρμονίαν ἔλαβεν, ὑπολειφθείσης αὐτοῦ μυελώδους ὕλης· καὶ τὸν λόγον τῶν ὑπ'[4] αὐτῆς ἔνδοθεν γενομένων ἐπικεφαλαιῶν[5] μετὰ τῶν ἀκολούθων ἐπιτρέχω. ἐγεννήθη γάρ, ὡς λέγεις, ἐκ Κρόνου καὶ Ῥέας, ὑπό τε χρόνου καὶ ὕλης, τὰ μὲν πρῶτα Πλούτων, ὡς ἡ[6] κάτω παραχωρήσασα ὑποστάθμη· δεύτερα δὲ Ποσειδῶν ἡμίσεια[7] ἐστὶν

dem dicuntur fructus maturi: apparitiones autem ad stultos vocantur quorundam temporum sterilitates.

XI. Quae cum Appion allegorice exponeret, ego cogitabundus visus sum dicta ab eo non assequi. Quocirca sermonem interrumpens dixit mihi: si quae loquor non assequeris, cur et omnino dissero? Respondi ego: noli suspicari me non percipere sensum verborum tuorum. Plane enim ea intelligo, ut qui non nunc primum audierim. Quo autem cognoscas, quae profers a me non ignorari, quae quidem dixisti, in compendium redigam, quae vero omisisti, eorum ordine, ut ab aliis accepi, supplebo allegorias. Et Appion: fac, inquit, ita ut dicis.

XII. Et ego subjeci: praetereo nunc accurate referre ovum animatum, ex infinita materia per adeptam temperationem progenitum, quo disrupto juxta nonnullos exsiliit Phanes masculo-femina. Et cuncta illa praecido, usque dum rupta moles cohaerentiam accepit, remanente illius medullosa materia. Et sermonem de iis quae intus ab ea facta sunt abbrevians, cum consequentibus percurro. Natus enim est, ut dicis, ex Saturno et Rhea, id est, ex tempore et materia, primo quidem Pluto, velut faex quae infra secessit: secundo autem Neptunus dimidia est humida substantia, inferiori naturae ponderosissimae

1. ἄρρενας μίξεις palmaria est conject. Ci.
2. δι' ὃ C.
3. κατὰ O.
4. Leg. fort. ἐπ'. S.
5. ἐπὶ κεφαλαίων O.
6. ἡ add. c. O.
7. Ποσειδῶν ἡμίσεια scripsi ex con-

ὑγρὰ οὐσία ἐπιπολάσασα τῇ κάτω ὁλκοτάτῃ[1] φύσει. ἡ δὲ τρίτη ἐρωτάτη τε καὶ αἰθὴρ οὖσα, ὅσπερ ἐστὶ Ζεύς, ἥτις[2] οὐ κατεπόθη, ἀλλὰ θερμὴ οὖσα ἰσχὺς καὶ ἀνωφερῆ ἔχουσα τὴν φύσιν, ὥσπερ ὑπό τινος ῥιπῆς εἰς τὸν ἄνω ἡγεμονικώτατον ἀνέπτη αἰθέρα.

XIII. Δεσμὰ δὲ τὰ Κρόνου ἐστὶν ἡ σύμπηξις οὐρανοῦ καὶ γῆς, ὡς καὶ ἄλλων ἀλληγορούντων ἀκήκοα, ἡ δὲ ἀποκοπὴ τῶν μορίων ὁ τῶν στοιχείων χωρισμὸς καὶ διάκρισις, ὅτι πάντα ἐκ τῆς ἰδίας φύσεως ἀπετμήθη καὶ ἀφωρίσθη[3], καθ' ἑαυτὰ τετάχθαι ἕκαστον· καὶ οὐκ ἔτι γεννᾷ χρόνος, ἀλλὰ τὰ γεννηθέντα δι' αὐτοῦ νόμῳ φύσεως ποιεῖται τὰς διαδοχάς. ἡ δὲ ἐκ τοῦ βυθοῦ ἀνακύψασα Ἀφροδίτη, ἡ ἐκ τοῦ ὑγροῦ γόνιμος οὐσία, ᾗ τὸ θερμὸν πνεῦμα μιγὲν τὸν τῆς μίξεως ποιεῖται ἔρωτα, καὶ τελεσιουργεῖ τοῦ κόσμου τὸ κάλλος.

XIV. Τὸ δὲ συμπόσιον τὸ γαμήλιον, ἔνθα τὸ δεῖπνον ἐτέλει Ζεύς, ὑπέρ τε τῆς Νηρεΐδος[4] Θέτιδος καὶ τοῦ καλοῦ Πηλέως ἀλληγορίαν ἔχει ταύτην, ἵνα γνῷς ὅτι καὶ ἄνευ σου, Ἀππίων[5], τὰ τοιαῦτα ἠκούσαμεν. τὸ μὲν δὴ συμπόσιον ὁ κόσμος· οἱ δὲ δώδεκα, τὰ[6] οὐράνια τῶν μοιρῶν

supernatans. Tertia vero soboles suprema est atque aether, scilicet Juppiter, quae absorpta non fuit, sed cum esset calida vis, haberetque naturam sursum vergentem, sicut impetu quodam in superiorem ac maxime principalem aetherem evolavit.

XIII. Saturni autem vincula sunt caeli ac terrae compages, ut alios interpretantes audivi. Abscissio vero membrorum genitalium est elementorum sejunctio ac discretio: quoniam omnia a sua natura abscissa fuerunt et separata, ut singula seorsum collocarentur: nec amplius gignit tempus, sed quae per illud genita sunt, naturali ordine faciunt successiones. At quae ex pelago emersit Venus, est humidi fecunda substantia, cum qua mistus calidus spiritus coitus cupidinem indit, et mundi perficit venustatem.

XIV. Convivium autem nuptiale, cum Juppiter coenam celebravit propter Thetidem Nereidem et eximium Peleum, hanc habet allegoriam, ut scias, Appion, etiam sine te ista nos audiisse. Convivium itaque mundus est; duodecim vero illi regionum caeli fulcimenta sunt, quae signa vocant: Prometheus pro-

jectura, *Ποσειδῶν, ὃς ἤ τις* C, *Ποσειδῶν ὅς ημις* (sic) O, *Ποσειδῶν, ὕστις* legi vult D.

1. Ita S, *ὁλκωτάτῃ* C O. Comparativus *ὁλκότερος* occurrit Hom. IX, 15. Tum *ὥσπερ* C, *ὅπερ* vel *ὅσπερ* jam proposuit S.

2. *ητις* (sic) O.

3. *ἀφορίσθη* O. Tum leg. *καὶ καθ' ἑαυτὰ τέτακται ἕκαστον.* S.

4. *νηρηΐδος* O.

5. *Ἄππίον* S.

6. *τὰ* adj. c. O. D: Cotelerii versionem non satis capio. Legendum videtur *οὐράνιοι τῶν Μοιρῶν περιστηρίγματα*, „duodecim coelestes (sive Dii) sunt Parcarum fulcimenta.“ Astrologos enim ex Zodiaci signis fata nascentium praedixisse nemini latet. Vide Achill. Tat. Isag. ad Arat. Phaen. c. 23. p. 145.

www.libtool.com.cn

περιστηρίγματα, ἃ τινα ζῴδια καλοῦσιν· Προμηθεὺς ἡ προμήθεια, ὑφ' ἧς τὰ πάντα ἐγένετο· Πηλεὺς πηλὸς ὁ ἀπὸ γῆς εἰς ἀνθρώπου γένεσιν περινοηθεὶς[1] καὶ μιγεὶς τῇ Νηρεΐδι, τουτέστιν ὕδατι. ἐκ δὲ τῆς τῶν δύο μίξεως, ὕδατός τε καὶ γῆς, ὁ πρῶτος, οὐ γεννηθεὶς, ἀλλὰ πλασθεὶς τέλειος καὶ[2] διὰ τὸ μαζοῖς χείλη μὴ προσενεγκεῖν Ἀχιλλεὺς προσηγορεύθη· ἔστι δὲ αὐτὸς καὶ[3] ἀκμή, ἥτις ἐὰν ἐπιθυμίαν, Πολυξένην, ὡς ἀληθείας ἀλλοτρίαν οὖσαν καὶ ξένην[4], ἐπιθυμῇ, ἰῷ ὄφεως ἀναιρεῖται, βέλει κατὰ πτέρναν καὶ κατὰ ἴχνος ἐνέροντος τοῦ θανάτου.

XV. Ἥρα τοίνυν καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη καὶ Ἔρις καὶ μῆλον καὶ Ἑρμῆς καὶ κρίσις καὶ ποιμὴν τοιοῦτόν τινα νοῦν ὑπαινίσσεται· Ἥρα σεμνότης· Ἀθηνᾶ ἡ ἀνδρεία· Ἀφροδίτη αἱ ἡδοναί. Ἑρμῆς ὁ ἑρμηνευτικὸς λόγος· ὁ ποιμὴν Πάρις ἡ ἀλόγιστος ὁρμὴ καὶ βάρβαρος. ἐὰν οὖν κατὰ τὴν ἀκμὴν τῆς ἡλικίας ὁ τὴν ψυχὴν ποιμαίνων λογισμὸς τύχῃ ὢν βάρβαρος, καὶ παραλιπὼν τὰ συμφέροντα, ἀνδρείαν τε καὶ σωφροσύνην παρωσάμενος, μόνας ἕληται τὰς ἡδονὰς καὶ μόνῃ τῇ ἐπιθυμίᾳ τὴν νίκην ἀποδῷ, ὡς παρ' αὐτῆς τὰ τέρποντα ἀντιλαμβάνων, ἐπ' ὀλέθρῳ ἑαυτοῦ τε

videntia, per quam omnia facta sunt: Peleus limus, qui e terra ad hominis generationem excogitatus est, et cum Nereide, id est aqua commistus. Ex amborum vero mistura, aquae et terrae, primus non genitus, sed formatus est perfectus; et quod uberibus labia non admoverit, Achilles nuncupatus fuit; est autem illo robur, quod propter amorem cupiditatis, Polyxenae, ut quae a veritate aliena sit ac peregrina appetat, serpentis veneno interficitur, irrepente morte ex sagitta per calcaneum et vestigium.

XV. Juno igitur, Minerva, Venus, Discordia, malum, Mercurius, judicium et pastor hanc habent significationem. Juno, honestas: Minerva, fortitudo: Venus, voluptates: Mercurius, sermo rerum interpres: pastor Paris, impetus expers rationis et barbarus. Si ergo in flore aetatis intellectus, animae pastor, barbarus sit, qui utilia deserens, fortitudinem repellens ac temperantiam, solas eligat voluptates, solique cupiditati tradat victoriam, ut qui ab ea vicissim dulcia consequatur, ad sui suorumque perniciem, qui non recte judicarit, ob-

1. Scribe *παραληφθεὶς* cum Davisio, vel, quod ego praetulerim, *παραπλασθεὶς* vel simile aliquid. S.

2. *καὶ* male omisit S c. Cl. Tum *προσενέγκειν* O.

3. Cotelerius legi vult *καὶ ἀκμή, ἥτις ἐρᾶν ἐπιθυμίαν*, quod etiam vertendo expressit. At ea scriptura neque graeca est, neque Cotelerii versio ex ea efficitur. Quare Davisius locum corruptissimum ita restituendum esse putavit: *ἔστι δ' αὐτὸς κατ' ἀκμήν, ἥτις ἐὰν ἐπιθυμῇ ἔχειν Πολυξένην*, quod interpretatur: „est vero ipse in aetatis flore, quo tempore si quis ducere cupiat Polyxenam". Parum apte. Meo quidem judicio sic scribendum: *ἔτι* (non *ἔστι*) *δ' αὐτὸς κατ' ἀκμὴν ἥβης, ἔχειν ἐπιθυμῶν Πολυξένην, — ἀναιρεῖται*, (vel etiam *κατ' ἀκμὴν ἡλικίας ἐπιθυμῶν Πολυξένην*: nam verbum *ἐπιθυμεῖν* a scriptoribus aetatis inferioris cum accusativo conjungi notum est, cf. Hom. XVII, 12.) S.

4. Virgulam delevi post *ξένην* et addidi *ἐπιθυμῇ* c. O, in quo *ἐπιθυμεῖ*.

www.libtool.com.cn

καὶ τῶν αὐτοῦ· μὴ ὀρθῶς κρίνας τὴν τέρψιν λήψεται. Ἔρις δέ ἐστιν[1] ἡ φιλονεικοῦσα κακία. τὸ δὲ τῶν Ἑσπερίδων χρυσοῦν μῆλον ὁ πλοῦτος ἂν εἴη, ὃς ἐνίοτε καὶ τοὺς σώφρονας, ὥσπερ τὴν Ἥραν, πρὸς ῥᾳθυμίαν[2] ἐφίσταται[3], καὶ τοὺς ἀνδρείους, ὥσπερ τὴν Ἀθηνᾶν, εἰς τὰ μὴ αὐτοῖς πρέποντα φιλονεικοτέρους[4] ἀπεργάζεται, καὶ ψυχῆς κάλλος, ὥσπερ Ἀφροδίτην, προφάσει τρυφῆς ἀπολλύει. συντόμως ἐρῶ· πάντας εἰς κακὴν ἔριν ἀνερεθίζει ὁ πλοῦτος.

XVI. Ὁ δὲ τὸν τοῦ πλούτου ἡγεμόνα καὶ φύλακα ὄφιν ἀνελὼν Ἡρακλῆς ὁ γνήσιος καὶ φιλόσοφός ἐστι νοῦς, ὃς[5] πάσης κακίας γυμνὸς ὢν περινοστεῖ τὸν κόσμον, ἐπιδημιῶν ταῖς ψυχαῖς καὶ σωφρονίζων τοὺς ἐντυγχάνοντας, λέγω δὲ ἀνθρώπους ἐοικότας λέουσι τολμηροῖς ἢ ἐλάφοις δειλαῖς[6] ἢ κάπροις ἀγρίοις ἢ ὕδραις πολυτρόποις. ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα, ὅσα ἀθλῆσαι λέγεται Ἡρακλῆς, νοερᾶς ἀρετῆς ἐστιν αἰνίγματα. αὐτάρκως δὲ[7] νῦν ἐχέτω τὰ εἰρημένα· εἰς γὰρ ἕκαστον εἰπεῖν οὐδὲ ὁ σύμπας χρόνος ἀρκέσει[8].

XVII. Πλὴν θαυμάζω, πῶς ταῦτα σαφῶς καὶ εὐσεβῶς καὶ ὠφελίμως ἀκαλύπτῳ τῇ εὐθείᾳ δηλοῦσθαι δυνάμενα, οἱ πλαγίοις ἀποκρύψαντες αἰνίγμασι καὶ μύθοις αὐτὰ προκαλύψαντες κακοῖς ὑπό σου ἔμφρονες καὶ σοφοὶ εἶναι λέγονται, οἵτινες ὥσπερ ὑπὸ κακοῦ προαχθέντες δαίμονος σχε-

lectationem praeferet. Discordia vero est contentiosa malitia. Hesperidum autem pomum aureum divitiae sint, quae interdum etiam temperantes, ut Junonem, ad socordiam impellunt, et fortes, ut Minervam, ad ea quae illos non decent contentiosiores reddunt, animique pulcritudinem, sicut Venerem, praetextu deliciarum pessumdant. Uno verbo dicam: cunctos ad malam discordiam instigant divitiae.

XVI. Porro Hercules, qui divitiarum ducem et custodem serpentem interimit, intellectus est sincerus et philosophicus, qui omnis sceleris purus mundum circuit, ad animas adveniens, et obvios castigans, homines dico, leonibus audacibus similes vel timidis cervis vel feris apris vel hydris multiplicibus. Itemque cetera omnia, quae debellasse dicitur Hercules, innuunt vim animi. At nunc quae dicta sunt sufficiant. Ad singula enim referenda omne non satis esset tempus.

XVII. Ceterum miror cur, cum haec clare, pie ac utiliter, aperta rectaque via potuissent declarari, ii qui illa obliquis celaverunt aenigmatibus atque turpibus occultarunt fabulis, dicantur a te cordati ac sapientes exstitisse. Qui

1. ἐστιν om. O.
2. Leg. ἐπιθυμίαν. Non enim Junonem socordem, sed ejus potiundi cupidam fecit τῶν Ἑσπερίδων μῆλον. D.
3. ἐφίσταται D, ἐπίσταται C, παράγειν ἐπίσταται O.
4. φιλονικοτέρους O.
5. ὃς O c. S, ὃ C.
6. δειλοῖς C.
7. δὲ excidit ap. Cl et S.
8. Malim ἀρκέσειεν. S.

www.libtool.com.cn

δὸν τοὺς πάντας ἐνηδρευσαν ἀνθρώπους. ἢ γὰρ οὐκ ἔστι ταῦτα αἰνίγματα, ἀλλ' ἀληθῆ τῶν θεῶν ἁμαρτήματα, καὶ ἐλέγχειν αὐτοὺς οὐκ ἔδει, οὐδὲ τὴν ἀρχὴν αὐτὰ τοῖς ἀνθρώποις εἰς μίμησιν προτιθέναι· ἢ αἰνιγματωδῶς ἐλέγχθη[1] τὰ ὑπὸ τῶν θεῶν ψευδῶς πεπραγμένα[2], καὶ ἥμαρτον, ὦ Ἄππίων, ὅτι οἱ ὑπό σου ὀνομαζόμενοι σοφοὶ τὰ σεμνὰ ἀσέμνοις μύθοις καλύψαντες ἁμαρτεῖν τοὺς ἀνθρώπους προετρέψαντο, καὶ ταῦτα ὑβρίσαντες οὓς καὶ θεοὺς εἶναι ἐνόμισαν.

XVIII. Διόπερ[3] μὴ σοφούς, ἀλλὰ κακοὺς δαίμονας τοὺς τοιούτους νόμιζε, οἵτινες κακὰς ὑποθέσεις ἔργων καλῶν προεβάλλοντο, ἵνα οἱ θέλοντες μιμηταὶ γενέσθαι τῶν κρειττόνων τὰς τῶν λεγομένων θεῶν ζηλῶσι πράξεις, ἃς διαλεγόμενος τῇ πρὸ ταύτης ἡμέρᾳ οὐκ ἀπεκρυψάμην, λέγω δὲ πατροφονίας, τεκνοκτονίας[4], μίξεις ἀσεβεῖς μητέρων, θυγατέρων, ἀδελφῶν, μοιχείας τε[5] ἀπρεπεῖς καὶ ἀρρενομιξίας καὶ μιαρὰς ἀρρητουργίας, πρὸς ἄλλαις μυρίαις τοιαύταις ἀθεμίτοις μίξεσιν[6]. ὧν ἀσεβέστατοι[7] οἱ ταῦτα ἀληθῆ δοκεῖν εἶναι θέλοντες, ἵνα τὰ ὅμοια ποιοῦντες μὴ αἰδῶνται[8]. εἴπερ εἶγε εὐσεβεῖν ἐβούλοντο, ἐχρῆν αὐτούς, ὅπερ ἀρτίως εἶπον, εἰ καὶ ὄντως οἱ θεοὶ τὰ περὶ αὐτῶν ᾀδόμενα διεπράξαντο κακά, τιμῇ τῇ[9]

sane velut a malo producti daemone omnes fere homines seduxerunt. Aut enim haec non sunt aenigmata, sed peccata deorum vera, tum non oportuit illos ostendere, neque principio ea hominibus proponere imitanda: aut aenigmatice ostensa sunt, quae a diis vere facta non fuerant, et deliquerunt, Appion, quos vocas sapientes, dum honesta inhonestis fabulis velantes ad peccandum homines incitarunt, idque cum contumelia eorum, quos et credebant deos.

XVIII. Quocirca non sapientes, sed daemones pravos istos existima, qui mala operum bonorum argumenta praetenderunt, ut ii qui cuperent praestantiorum fieri imitatores, vulgatorum deorum aemularentur gesta, quae pridie disserens non occului, parricidia, inquam, liberorum caedes, impios cum matribus, filiabus, sororibus concubitus, indigna adulteria, masculorum initus, et impuras nefandasque libidines, cum innumeris aliis ejusdemmodi illicitis commistionibus. Inter quos homines maxime impii sunt, qui haec facinora cupiunt videri vera, quo similia facientes non erubescant. At si pie agere voluissent, oportuit, sicut modo dixi, ut, etsi dii vere admisissent de iis decantata flagi-

1. ἐλεγχθῆναι O.
2. Sensus postulare videtur ἀψευδῶς πεπραγμένα, „vere facta.“ D. Nequaquam. Recte sibi opponuntur τὰ ἀληθῆ τῶν θεῶν ἁμαρτήματα et ὑπὸ τῶν θεῶν ψευδῶς sive οὐκ ἀληθῶς πεπραγμένα. S. Idem Ἄππίον.
3. Διὸ ὅπερ C. Tum reposui vbb. ἀλλὰ κακοὺς in Ed. Schwegleriana omissa.
4. τεκτον (sic) τεκνοκτονιας O, priore voce subnotata.
5. τε inserui c. O. Tum ἀρρενομίξεις C.
6. D conj. πράξεσιν.
7. ἀσεβέστεροι C.
8. Ita O c. S, αἰδοῦνται C.
9. τῆς O.

πρὸς θεοὺς εὐπρεπεστέροις τισὶ μύθοις τὰ ἄσεμνα [1] ἐπισκέπειν, καὶ μὴ τοὐναντίον, ὡς φατε, καλῶν αὐτοῖς πράξεων γεγενημένων κακὰ καὶ ἄσεμνα περιβάλλειν σχήματα, ἅ τινα καὶ [2] ἀλληγορούμενα καὶ διὰ καμάτων μόγις νοηθῆναι δύναται· καὶ ὅταν νοηθῇ τισίν, ἐκείνοις μὲν ἀντὶ τοῦ πολλοῦ μόχθου παρέσχον τὸ μὴ πλανηθῆναι, ἐξὸν δὲ [3] μὴ μοχθῆσαι, τοὺς δὲ πλανηθέντας ἄρδην ἀπώλεσαν. πλὴν τοὺς εἰς τὸ σεμνότερον ἀλληγοροῦντας αὐτὰς [4] ἀποδέχομαι, ὥσπερ τοὺς ἐκ τῆς Διὸς κεφαλῆς αἰνιξαμένους ἀναπηδῆσαι τὴν φρόνησιν. ἴσως δὲ ἐκεῖνό μοι πιθανώτερον, ὅτι ὑπὸ [5] μοχθηρῶν ἀνδρῶν, δόξαν θεῶν ἀπενεγκαμένων, ἐκεῖναι ἐτολμήθησαν [6] αἱ ὕβρεις.

XIX. Ἁπάντων δὲ τῶν θεῶν τὴν ποιητικὴν ἀλληγορίαν οὐκ ἀκόλουθον εὑρίσκομεν. αὐτίκα γοῦν ἐπὶ τῆς διακοσμήσεως τῶν ὅλων ποτὲ μὲν φύσιν λέγουσιν ποιηταί, ποτὲ δὲ νοῦν [7] ἀρχηγὸν γενέσθαι τῆς ὅλης δημιουργίας. ἐκ φύσεως μὲν γὰρ τῶν στοιχείων τὴν πρώτην κίνησιν καὶ σύμμιξιν γεγονέναι, ὑπὸ δὲ τῆς τοῦ νοῦ προνοίας διακεκοσμῆσθαι [8]. καὶ ἀποφηνάμενοι μὲν οἱ μὲν [9] φύσει δεδημιουργῆσθαι τὸ πᾶν, μὴ δυνάμενοι δὲ [10] ἀνεπιλήπτως τοῦτο ἀποδεικνύναι διὰ τὸ τῆς δημιουργίας ἔντεχνον, παρ-

tia, propter reverentiam erga deos obtegerent res inhonestas fabulis quibusdam decentioribus, et non e contrario, quemadmodum aitis, bonis eorum operibus malas et turpes admoverent formas quae etiam allegorice explicatae multo cum labore vix possunt intelligi: et quando a nonnullis fuerunt intellecta, illis quidem pro magna molestia praebuerunt non errare, cum licuisset molestia et labore non premi; eos vero qui aberrarunt, funditus perdiderunt. Laudo itaque illos, qui fabulas ad honestiores trahunt allegorias, ut qui ex Jovis capite prudentiam prosiliisse innuunt. Certe illud mihi videtur probabilius, inventa esse contumeliosa haec ab improbis hominibus, qui honorem divinum abstulerunt.

XIX. Porro omnium deorum non invenimus poeticam allegoriam esse consequentem. Statim ergo in mundi dispositione poetae aliquando dicunt naturam, aliquando mentem ducem exstisse totius opificii. Etenim ex natura primam ortam esse elementorum motionem ac commixtionem, at per mentis providentiam dispositam fuisse. Et quidem illi, affirmantes orbem a natura conditum, cum id nequeant certo demonstrare propter artificiosum mundi opus,

1. μὴ σεμνὰ C.
2. ὀχήματα, ἅ τινα C, σχήματα jam D recte conjecit.
3. δὲ om. O, sed praebet subsequens μὴ, quod non est in textu Ci. Idem μὴ in marg.
4. αὐτοὺς C, αὐτὰ S.
5. ὑπὸ S, deest ap. C et in O.
6. Ita O c. S, ἐτόλμησαν C. Aliam praeterea emendandi rationem proponit D, qui scribi vult μοχθηρῶν ἀνδρῶν — ἐκεῖναι τόλμαι ἦσαν αἱ ὕβρεις.
7. S. Notum est Anaxagorae πάντα διεκόσμησε νοῦς ap. Simpl. Phys. fol. 33 b. Schaubach, Anax. fragm. fr. VIII. De Stoicis cfr. Diog. Laert, VII, 134. 137.
8. Ita O c. S, διακεκοσμεῖσθαι C.
9. ἀποφηνάμενος μὲν φύσει O. Tum δεδημιουργῆσθαι S O, δεδημιουργεῖσθαι C.
10. δὲ S O, μὲν C.

www.libtool.com.cn

ειπλέκουσι καὶ τοῦ νοῦ τὴν πρόνοιαν, ὡς συναρπάσαι καὶ τοὺς πάνυ σοφοὺς δυνάμενοι. ἡμεῖς δέ φαμεν πρὸς αὐτούς· εἰ μὲν ἐξ αὐτομάτου φύσεως ὁ κόσμος γέγονεν, πῶς ἔτι ἀναλογίαν καὶ τάξιν εἴληφεν, ἅπερ ὑπὸ μόνης ὑπερβαλλούσης φρονήσεως γενέσθαι δυνατόν ἐστιν, καὶ καταληφθῆναι ὑπὸ ἐπιστήμης τῆς μόνης ταῦτα ἀκριβοῦν δυναμένης; εἰ δὲ φρονήσει τὰ πάντα τὴν σύγκρασιν καὶ διακόσμησιν εἴληφεν, ὅπερ ἀνάγκη μὴ ἄλλως ἔχειν, πῶς ἔτι ἐκ τοῦ αὐτομάτου συμβῆναι ταῦτα γενέσθαι δυνατὸν ἦν;

XX. Οἱ τοίνυν τὰ θεῖα ἐπὶ τὸ αἰσχρὸν ἀλληγορῆσαι[1] θελήσαντες, οἷον τὴν Μῆτιν καταποθῆναι ὑπὸ Διός, εἰς ἀπορίαν ἐμπεπτώκασιν, οὐ συνιέντες, ὅτι οἱ πλαγίως φυσιολογήσαντες περὶ θεῶν καὶ τὸ εἶναι θεοὺς ἀνῃρήκασιν, τὰ εἴδη αὐτῶν διὰ τῆς ἀλληγορίας εἰς τὰς τοῦ κόσμου οὐσίας διαλύσαντες. πιθανώτερον οὖν λέγειν, ὅτι οἱ ὑπ' αὐτῶν ᾀδόμενοι θεοὶ κακοί τινες γεγόνασι μάγοι, οἵτινες ἄνθρωποι ὄντες μοχθηροί, μαγείᾳ μεταμορφούμενοι γάμους διέλυον, βίους διέφθειρον, τοῖς δὲ πάλαι οὐκ εἰδόσι τί ποτ' ἐστι[2] μαγεία, δι' ὧν ἔπραττον ἐδόκουν εἶναι θεοί· ὧν κατὰ πόλεις καὶ οἱ μόροι καὶ οἱ τάφοι φαίνονται.

XXI. Αὐτίκα γοῦν, ὡς καὶ ἄλλοτε εἶπον, ἐν τοῖς Καυκασίοις ὄρεσι Κρόνου τινὸς σῆμα[3] ἀνθρώπου δείκνυται, τυράννου ἀγρίου καὶ τεκνοκτό-

innectunt quoque mentis providentiam, ut et eos qui omnino sapiunt possint abripere. Nos autem ad illos dicimus: si mundus a natura fortuito operante factus est, quomodo jam proportionem ac ordinem accepit, cum id a sola excellente prudentia fieri queat, atque comprehendi a sola scientia haec pernoscere ac perficere valente? Quod si universa a prudentia acceperunt compagem et dispositionem, quod necessario aliter se habere non potuit, quo pacto adhuc possibile fuit, ut haec casu fieri contingeret?

XX. Qui ergo deorum gesta turpioribus allegoriis voluerunt explicare, velut, Metin a Jove fuisse absorptam, ii in angustias inciderunt, ignari quod, qui de diis ex obliquo physicas protulerunt interpretationes, deorum quoque ipsorum exsistentiam sustulerunt, eorum genera per allegoriam in mundi substantias dissolvendo. Verisimilius ergo est, dicere, quod ab iis decantati dii quidam fuerunt improbi magi, qui cum essent homines nequam, per magiam transformati matrimonia diremerunt, vitae rationes vitiarunt, veteribus autem, qui nesciebant quid esset magia, propter illa quae faciebant, dii esse visi sunt, quorum interitus et sepulcra per urbes cernuntur.

XXI. Jam ergo sicut alias retuli, in Caucasiis montibus ostenditur Saturni cujusdam hominis tumulus, feri tyranni ac liberorum interfectoris. Cujus filius,

1. ἀλληγορῇ O.
2. ποτέ ἐστιν C. Tum vbb. μεταμορφούμενοι γάμους διέλυον, βίους διέφθειρον repetuntur in O expuncta.
3. Hanc Ci conjecturam expr. S, σχῆμα uterque Hom. Codex.

νου. ὁ δ' ἐκείνου υἱός, Ζεὺς τὸ ὄνομα, χείρων γενόμενος, μαγείας δυνάμει κοσμοκράτωρ ἀναφανεὶς πολλοὺς διαλύει γάμους, καὶ τὸν πατέρα σὺν τοῖς θείοις [1] κολάζει, καὶ οὕτως τελευτήσαντος τὸν τάφον Κρῆτες ἐπιδεικνῦσιν [2]. ἐν δὲ τῇ Μεσοποταμίᾳ κεῖνται Ἥλιος μέν τις ἐν Ἄτροις [3]. Σελήνη δέ τις ἐν Κάραις· Ἑρμῆς ἐν Αἰγύπτῳ τις ἄνθρωπος· Ἄρης ἐν Θράκῃ· Ἀφροδίτη ἐν Κύπρῳ· Ἀσκληπιὸς ἐν Ἐπιδαύρῳ· καὶ ἄλλων πολλῶν τοιούτων φαίνονται τάφοι.

XXII. Οὕτως προφανῶς τοῖς ὀρθῶς νοοῦσιν ἄνθρωποι γεγενῆσθαι ὡμολόγηνται. καὶ οἱ μὲν συγχρονοῦντες αὐτοῖς, ὑπαισθόμενοι αὐτοὺς θνητοὺς γεγονέναι, ἀμελέστερον αὐτοῖς ἀποθανοῦσι προσεῖχον, ὁ δὲ πολὺς χρόνος δόξαν θεῶν αὐτοῖς περιέθηκεν. καὶ μὴ θαύμαζε, εἰ οἱ κατ' Ἀσκληπιὸν καὶ Ἡρακλέα γενόμενοι ἐξηπατήθησαν, ἢ κατὰ Διόνυσον ἢ κατ' ἄλλον τινὰ τῶν τότε, ὅπου καὶ Ἕκτορα ἐν Ἰλίῳ καὶ Ἀχιλλέα ἐν Λευκῇ τῇ νήσῳ οἱ ἐκεῖ προσκυνοῦσιν, Πάτροκλον Ὀπούντιοι, τὸν Μακεδόνα Ἀλέξανδρον Ῥόδιοι.

XXIII. Ἀλλὰ καὶ παρ' Αἰγυπτίοις ἔτι καὶ νῦν ἄνθρωπος ὡς θεὸς πρὸ τοῦ θανάτου προσκυνεῖται. καὶ τοῦτο μὲν ἧττόν ἐστιν ἀσέβημα, ὅτι ζῶντος ἀνθρώπου θείας τιμὰς νομίζουσιν Αἰγύπτιοι· ἀλλὰ τὸ πάντων γελοιότατον, ὅτι καὶ πτηνὰ καὶ ἑρπετὰ καὶ ζῶα πάντα προσκυνοῦσιν. οὐδὲν

Juppiter nomine, patre pejor, per magiae vim mundi dominus declaratus multa dissolvit matrimonia, patremque cum patruis supplicio afficit; sicque mortui bustum Cretenses ostendunt. In Mesopotamia vero jacent Sol quidam Atris, et quaedam Luna Carris, Mercurius in Aegypto aliquis homo, Mars in Thracia, Venus in Cypro, Aesculapius Epidauri, et aliorum multorum similium visuntur sepulcra.

XXII. Atque ita eos homines fuisse, aperte confitebuntur quotquot recte judicabunt. Et quidem, qui eadem cum ipsis vixerunt aetate, intelligentes eos homines exstitisse, indiligentius attenderunt. Longum vero tempus opinionem quod dii essent illis adjecit. Neque mireris, si decepti fuerint, qui vixerunt temporibus Aesculapii et Herculis aut Bacchi aut alterius cujusvis tunc florentis, cum et Hectorem in Ilio, et Achillem in Leuce insula incolae adorent, Patroclem Opuntii, Alexandrum Macedonem Rhodii.

XXIII. Sed et apud Aegyptios nunc quoque homo ante mortem ut deus colitur. Atque haec quidem minor est impietas, quod homini vivo divinos honores decernunt Aegyptii, verum quod maxime est ridiculum, eorundem cultus est erga aves, serpentes, cunctaque animalia. Nihil enim ex judicio cogi-

1. Ita D, θεοῖς C O. Cfr. c. 2: οὐ πατέρος ἀδελφοὺς ἐκόλασεν.
2. ἐπιδεικνύουσιν O.
3. μέν τις, ἐν Πάτραις C, μέντις ἐν ἄτραις O. Ci comma post τις recte delevit S. Deinceps αἰγύπτω· τὶς O.

www.libtool.com.cn

γὰρ κρίσει νοοῦσιν ἢ ποιοῦσιν οἱ πολλοὶ τῶν ἀνθρώπων. τὸ δὲ [1] πάντων αἴσχιστον ἰδέ μοι, τὸν δι' αὐτῶν ὄντα πατέρα θεῶν τε καὶ ἀνθρώπων λέγουσι Λήδᾳ [2] συνεσχηματισμένον, ὃν [3] πολλοὶ Δία ἀναγράψαντες ἐν πίνακι δημοσίᾳ ἀνατιθέασιν. πρὸς δὲ τὴν ἐκδικίαν ταύτης τῆς ὕβρεως ἤθελον, εἰ τὸν τοῦ καιροῦ βασιλέα αὐτῶν γράψαντες ἐπὶ αἰσχρᾶς πλοκῆς, ὥσπερ ἐπὶ τοῦ Διὸς τετολμήκασι ποιῆσαι, οὕτω ποιήσαντες ἀνέθεσαν δημοσίᾳ, ἵνα κἂν ἀπὸ τῆς ὀργῆς τοῦ προσκαίρου βασιλέως, καὶ ταῦτα ἀνθρώπου ὄντος, μάθωσι κολασθέντες, ὡς δεῖ τὴν δέουσαν ἀπονέμειν τιμήν. ταῦτα δέ σοι λέγω, οὐχ ὡς αὐτὸς ἤδη ἐπιγνοὺς τὸν ὄντως Θεόν [4], ἀλλ' εὐγνωμιονῶν ὁμολογῶ, εἰ καὶ τί Θεὸς οὐκ οἶδα, ἀλλ' οὖν γε σαφῶς ὅτι Θεὸς [5] νομίζω εἰδέναι.

XXIV. Αὐτίκα γοῦν τὰ πρῶτα τέσσαρα στοιχεῖα θεὸς εἶναι οὐ δύναται [6], τὰ ὑπὸ ἄλλου γενόμενα· οὐχ ἡ μίξις· οὐχ ἡ κρᾶσις· οὐχ ἡ γένεσις· οὐ τὸ πᾶν περιέχον ὁρατὸν κύτος· οὐδ' ἡ ἐν τῷ ᾅδῃ συρρέουσα ὑποστάθμη· οὐ τὸ ἐπιπολάζον ὕδωρ· οὐχ ἡ ζέουσα οὐσία· οὐχ ὁ ἐξ αὐτῆς μέχρι τῶν ἐνταῦθα διήκων ἀήρ. τά τε γὰρ στοιχεῖα τέσσαρα, εἴτε ἀλλήλων διεστάλκει, ἄνευ τινὸς μεγάλου τεχνίτου μιγῆναι πρὸς ζῴου γένεσιν οὐκ ἐδύνατο,

tant vel faciunt hominum plerique. Rem vero omnium turpissimam mihi vide: eum, qui juxta illos deorum hominumque est pater, aiunt cum Leda fuisse nequiter conjunctum, quem Jovem multi depingentes in tabula publice consecrant. Ad cujus contumeliae vindictam, vellem, regem suum temporalem in turpi complexu pictum (de illo facientes quod de Jove facere audent) palam proponerent, quo vel ab ira temporarii imperatoris, idque hominis, discerent per suum supplicium, quemadmodum oporteat convenientem deferre honorem. Ista autem tibi refero, non quasi ipse jam cognoscam eum, qui vere est Deus, sed aequo animo profiteor, quod licet non noverim quid sit Deus, attamen quod sit Deus clare mihi videor scire.

XXIV. Principio itaque quatuor prima elementa non possunt esse deus, quae ab alio facta sunt: non mistura; non temperies; non generatio; non omnis haec quae ambit visibilis moles, neque quod ad inferos confluxit sedimentum; non supernatans aqua; non fervida substantia; non aër qui ab ea huc usque protenditur. Nam quatuor elementa, si a se invicem separata fuerunt, non

1. Malim ὅ δέ. S. Tum ἰδέ O c. S, εἰδέ C.

2. Λήδᾳ om. O. Subinde: An συνεῖναι σχηματισμένον, C in notis.

3. Leg. ὃ. De re cfr. Mülleri Archaeol. §. 128, 1. 351, 4. Tum χῆνα γράψαντες cfr. Hom. V, 13. scribi vult Valckenarius, Diatr. in Eurip. reliq. p. 68. Ed. Lips. Is vir doctissimus totum locum sic restituit: τὸν δι' αὐτῶν ὄντα πατέρα θεῶν τε καὶ ἀνθρώπων, ὃν οἱ πολλοὶ Δία λέγουσιν, Λήδᾳ συνεσχηματισμένον χῆνα γράψαντες ἐν πίνακι δημοσίᾳ ἀνατιθέασιν. S.

4. θεὸς O.

5. Ita O c. S, Θεὸν C.

6. δύναται O. Tum ἀπ' ἄλλου S.

εἴτε ἀεὶ ἀλλήλοις συνῆπτε[1], καὶ οὕτως ὑπὸ τεχνίτου νοῦ πρὸς τὸ οἰκεῖον τῶν τοῦ ζώου μελῶν καὶ μερῶν συναρμόζεται, ἵνα τὴν ἑκάστου πρὸς ἕκαστον ἀναλογίαν ἀποσώζειν δύνηται, καὶ τὴν ἕξιν εὐπερίγραφον ἔχῃ, καὶ τὰ ἔνδοθεν πάντα τὴν προσήκουσαν ἁρμονίαν λαμβάνῃ· ὁμοίως τε[2] καὶ τοὺς οἰκείους τόπους ἑκάστου μετὰ πάσης εὐμορφίας ὁ τεχνίτης νοῦς ἀκριβοῖ. συνελὼν ἐρῶ· καὶ τὰ ἄλλα, ὅσα ποτὲ ζῶον δεῖ ἔχειν, οὐδὲν ἐνέλιπε[3] τῷ μεγάλῳ τούτῳ ζώῳ τῆς ὅλης περιφορᾶς.

XXV. Οὕτως ἀνάγκη τινὰ εἶναι νοεῖν[4] ἀγέννητον τεχνίτην, ὃς τὰ στοιχεῖα ἢ διεστῶτα συνήγαγεν[5], ἢ συνόντα ἀλλήλοις πρὸς ζώου γένεσιν τεχνικῶς ἐκέρασε καὶ ἓν ἐκ πάντων ἔργον ἀπετέλεσεν. ἀδύνατον γὰρ ἄνευ τινὸς νοῦ μείζονος πάνυ σοφὸν ἔργον ἀποτελεῖσθαι. οὐδὲ μὴν ἔρως[6] εἶναι δύναται πάντων τεχνίτης, οὐκ ἐπιθυμία, οὐκ ἰσχύς, οὐκ ἄλλο τι τοιοῦτον, ἃ τινα παθητὰ συμβαίνειν καὶ ἀποβαίνειν πέφυκεν. ἀλλ' οὐδὲ τὸ ὑφ' ἑτέρου φερόμενόν ἐστι θεός, οὐδέ γε τὸ ὑπὸ χρόνου ἢ φύσεως ἀλλοιούμενον καὶ εἰς τὸ μηκέτι εἶναι ἀναλυόμενον.

XXVI. Ταῦτά μου διαλεγομένου πρὸς τὸν Ἀππίωνα, ἀπὸ Καισα-

potuerunt absque magno artifice ad animalis generationem misceri, sin vero semper mutuo fuerunt conjuncta, sic quoque ab artifice mente ad proprietatem membrorum et partium animalis adaptantur, quo possint singulorum ad singula servare proportionem, et habitudinem recte conformatam obtineant, utque interiora omnia convenientem accipiant cohaerentiam. Similiter et uniuscujusque propria loca cum omni elegantia mens artifex disponit. Compendio dicam: et in omnibus aliis, quae animal habere debet, nihil deest magno huic animali totius orbis.

XXV. Ita necessario intelligi debet quemdam esse ingenitum artificem, qui elementa vel distantia conjunxerit, vel praesentia mutuo ad animal producendum affabre miscuerit, unumque perfecerit ex cunctis opus. Fieri enim non potest, ut absque majori quadam mente sapientissimum opus absolvatur. Sed nec amor esse potest cunctorum opifex; non cupiditas; non vis; non quid aliud ejusmodi; quae omnia, casui obnoxia, venire et abire solent. Neque etiam quod ab alio movetur deus est, neque quod a tempore aut natura mutatur ac in nihilum resolvitur.

XXVI. Quae cum ad Appionem proloquerer, e Caesarea advenit Petrus,

1. τά τε γὰρ στοιχεῖα τὰ δ' εἴτε ἀεὶ ἀλλήλοις συνῆπτον O, intermediis vocabulis omissis.
2. τε S, τὸ C O.
3. ὅσα ποτὲ ζῶν δεῖ ἔχειν, οὐδὲν ἐνέλειπε C.
4. νοῦν O.
5. τὰ στοιχεῖα ἡδίστως ἢ συνήγαγεν O, συνήγαμεν ex Cotelerio minus accurate notat S, cum exstet ap. Cl.
6. Secundum Parmenidem et Empedoclem. Cf. Karsten, Parmenid. reliq. v. 131. Emped. reliq. p. 346 seqq. Arist. Metaph. I, 4, 1. S.

www.libtool.com.cn

ρείας ἐπέστη Πέτρος, καὶ συνδρομαὶ τῶν ὄχλων ἐγένοντο ἐν τῇ Τύρῳ, σπευδόντων ὑπαντᾶν αὐτῷ καὶ χάριν τῇ ἐπιδημίᾳ ὁμολογεῖν. καὶ ὁ μὲν Ἀππίων ὑπεχώρει μετ' Ἀνουβίωνος [1] καὶ Ἀθηνοδώρου μόνων, οἱ δὲ ἄλλοι πάντες ὡς ἀπαντησόμενοι [2] τῷ Πέτρῳ ὡρμήσαμεν. πρῶτος δὲ ἐγὼ πρὸ τῶν πυλῶν ἀποδεξάμενος αὐτὸν ἐπὶ τὴν ξενίαν ἦγον. ὡς δὲ ἐγενόμεθα, τοὺς μὲν ὄχλους ἀπελύσαμεν, αὐτῷ δὲ ἀξιώσαντί με τὰ πραχθέντα λέγειν οὐδὲν ἀπεκρυπτόμην, ἀλλ' ἐμήνυον τάς τε τοῦ Σίμωνος διαβολὰς καὶ τὰς τερατώδεις φαντασίας ὑπ' αὐτοῦ γεγενημένας, καὶ ὅσας ἐπεμψεν νόσους [3] μετὰ τὴν ἐκ τῆς βουθυσίας ἑστίασιν, καὶ ὅτι ἐκ τῶν νοσούντων οἱ μὲν αὐτόθεν [4] κατέμειναν ἐν τῇ Τύρῳ, οἱ δὲ τῷ Σίμωνι ἅμα τῷ ἐμὲ ἐλθεῖν συνεξεληλύθεισαν [5] εἰς τὴν Σιδῶνα, ὡς ὑπ' αὐτῷ [6] θεραπευθησόμενοι, καὶ ὅτι ἐμάνθανον μηδένα αὐτῶν ἰάσεως τετυχηκέναι ὑπ' αὐτῷ· [7] καὶ τὴν πρὸς Ἀππίωνά μοι γεγενημένην διάλεξιν τῷ Πέτρῳ διηγησάμην. ὁ δὲ στοργῆς καὶ προτροπῆς χάριν ἐπαινέσας με καὶ εὐλογήσας, ἁλῶν μεταλαβών, διὰ τοὺς καμάτους τῆς ὁδοιπορίας τῇ ἀναγκαιοτάτῃ ἡσυχίᾳ τοῦ ὕπνου ἑαυτὸν ἐπέτρεπεν.

## ΟΜΙΛΙΑ Ζ' [8].

I. Τῇ [9] τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἐν Τύρῳ ἡμῶν ἐπιδημίας, ὑπὸ τὴν

et concursus multitudinis in Tyro facti sunt, festinantis ipsi occurrere gratiamque adventus profiteri. Et Appion quidem secessit cum Anubione et Athenodoro solis; reliqui vero omnes Petro obviam ituri prodivimus. Primus autem ego ante portas eum excipiens ad hospitium duxi. Ubi cum fuimus, plebem quidem dimisimus, ci vero roganti, ut acta narrarem, nihil abscondidi; sed Simonis indicavi calumnias et portentosas praestigias ab ipso editas, quotque morbos immiserit post illud ex immolato bove convivium, et quod ex aegrotis alii quidem illic apud Tyrum permanserint, alii vero simul ac ego veni egressi sint cum Simone in Sidonem, tamquam ab eo sanandi, quodque audierim nullum eorum ab ipso sanatum fuisse; sed et meam adversus Appionem disputationem Petro retuli. At ille prae amore et exhortandi gratia in me laudem ac benedictionem contulit; et cibo sumto se somni quieti, quae ob itineris fatigationem maxime erat necessaria, tradidit.

## HOMILIA VII.

I. Quarto vero die nostri apud Tyrum adventus sub diluculum egresso

1. ἀννουβίωνος O. Tum μόνον C.
2. ἀπαντήσομεν O, ad oram correctum in ἀπαντησόμενοι.
3. ὅσους O. 4. αὐτόθι C.
5. Ita O c. S, συνεξεληλύθησαν C.
6. ὑπ' αὐτοῦ C.
7. ὑπ' αὐτοῦ τετυχηκέναι C.
8. Homiliae septimae alteram inscriptionis partem ap. C. obviam ΕΝ ΤΥΡΩι Δ', quae scholion redolet, omisi c. O.
9. τῇ praefixi c. O. Idem postea τὸν ὄρθρον.

www.libtool.com.cn

ὀρθρον προεληλυθότι τῷ Πέτρῳ ἀπήντων πλησιόχωροί τε οὐκ ὀλίγοι καὶ αὐτῆς Τύρου πάμπολλοι, καὶ ἐπεφώνουν λέγοντες, ὁ Θεὸς διά σου ἡμᾶς ἐλεείτω, διά σου θεραπευέτω. ὁ δὲ Πέτρος ἔστη ἐπὶ λίθου τινὸς ὑψηλοῦ πρὸς τὸ δύνασθαι πᾶσιν ὁρᾶσθαι, καὶ προσαγορεύσας θεοσεβεῖ νόμῳ οὕτως ἤρξατο.

II. Θεῷ τῷ κτίσαντι τὸν οὐρανὸν καὶ τὸ σύμπαν οὐ λείπει πρόφασις πρὸς σωτηρίαν τῶν σώζεσθαι θελόντων. ὅθεν μηδὲ ἐπὶ[1] τοῖς δοκοῦσι φαύλοις ὑπὸ προπετείας τις αὐτὸν ὡς μὴ[2] φιλάνθρωπον αἰτιάσθω. τῶν γὰρ συμβαινόντων ἀνθρώπῳ[3] τὰ τέλη ἀνθρώποις μὲν ἄγνωστα, ὡς ἐπὶ κακῷ ὑποπτευόμενα[4], Θεῷ δὲ ὡς ἀποβησόμενα εὐτυχῶς γνώριμα. αὐτίκα γοῦν Σίμων ἀριστερὰ τοῦ Θεοῦ δύναμις ὢν καὶ τῶν τὸν Θεὸν οὐκ εἰδότων ἐπὶ κακοποιΐᾳ τὴν ἐξουσίαν ἔχων νόσοις ὑμᾶς περιβαλεῖν ἠδυνήθη, αἴτινες διὰ τὴν τοῦ Θεοῦ ἀγαθὴν πρόνοιαν γενέσθαι συγχωρηθεῖσαι ἠνάγκασαν ὑμᾶς, τὸν ἰᾶσθαι δυνάμενον περιβλεψαμένους καὶ εὑρόντας, προφάσει τῆς τοῦ σώματος θεραπείας τὰ Θεῷ δοκοῦντα ἀναδεξαμένους, πεισθῆναι φρονεῖν, ἵνα οὕτως ἅμα τοῖς σώμασι σωθησομένοις καὶ τὰς ψυχὰς σώας ἔχητε.

III. Μανθάνω οὖν, ὡς βουθυτήσας ἑστίασιν[5] ὑμᾶς ἐν μέσῃ τῇ ἀγορᾷ, καὶ οὕτως ὑμεῖς οἴνῳ πολλῷ παρενεχθέντες ἅμα τοῖς πονηροῖς δαίμοσι τὸν ἄρχοντα αὐτῶν ἐφιλοφρονεῖσθε, καὶ οὕτως ὑμῶν οἱ πλεῖστοι ὑπὸ τῶν πα-

Petro processerunt obviam non pauci finitimi, ac ex ipsa Tyro quamplurimi, et acclamabant dicentes: Deus per te nostri misereatur, per te nos curet. Petrus vero stetit in excelso lapide, ut ab omnibus posset conspici, cumque religioso more salutasset, ita exorsus est.

II. Deo creatori caeli et mundi non deest occasio ad salutem eorum qui servari volunt. Quocirca neque in iis, quae videntur mala, aliquis per temeritatem illum velut hominum non amantem insimulet. Eorum enim, quae mortali accidunt, fines quidem hominibus incogniti sunt, ac de malitia suspecti, Deo autem cogniti, ut cessuri feliciter. Itaque Simon, qui sinistra Dei virtus est, potestatemque habet ad maleficentiam in eos qui Deum nesciunt, vos potuit morbis implicare, qui morbi per bonam Dei providentiam evenire permissi coëgerunt vos, ut, quaesito eo qui sanare valeret et invento, occasione corporalis medelae placita Deo susciperetis atque crederetis, ut sic una cum servatis corporibus et animas habeatis salvas.

III. Audio utique, eum bove mactato convivium vobis in medio dedisse foro, sicque vos multo vino abrepti una cum pravis daemonibus principem eorum complexi estis, atque ita vestrum plurimi morbis capti sunt, per igno-

1. ἐπὶ om. O.
2. μὴ deest in O.
3. ἀνθρώπων C, ἀνθρώποις in marg. Vocem ἀνθρώπων delendam censet D, συμβαινόντων παθῶν proponit S: conjecturae jam superfluae.
4. ὑποπτευόμενα O. Tum idem ἀποβησόμενα c. D., ἀποσόμενα C, idem f. ἐπεσόμενα vel ἀποσωζόμενα in marg.
5. εἰστίασεν Epit. c. 54.

www.libtool.com.cn

θῶν κατελήφθησαν, ἀγνοίας αἰτίᾳ καθ' ἑαυτῶν ἰδίαις χερσὶν ἐπισπασάμενοι τὸ τοῦ ὀλέθρου ξίφος. οὐ γὰρ ἂν τὴν καθ' ὑμῶν ἔσχον ἐξουσίαν οἱ δαίμονες, εἰ μὴ πρότερον τῷ ἄρχοντι αὐτῶν ὁμοδίαιτοι ἐγεγόνειτε. οὕτω γὰρ ἀπαρχῆς[1] ὑπὸ τοῦ πάντα κτίσαντος Θεοῦ θυσὶν ἑκάστοτε ἄρχουσι, δεξιῷ τε καὶ εὐωνύμῳ[2], ὡρίσθη νόμος, μὴ[3] ἔχειν ἑκάτερον αὐτῶν ἐξουσίαν, ἐὰν μὴ πρότερόν τινι ὁμιοτράπεζος γένηται, ὃν εὐποιῆσαι ἢ κακῶσαι βούλεται. ὥσπερ οὖν δαίμοσιν ἀποδεδομένων θυμάτων μεταλαβόντες τῷ τῆς κακίας ἡγεμόνι κατεδουλώθητε, οὕτως, ἂν τούτων παυσάμενοι τῷ Θεῷ διὰ τοῦ ἀγαθοῦ καὶ δεξιοῦ ἡγεμόνος προσφύγητε, ἀθύτοις τιμαῖς ποιοῦντες ἃ βούλεται, εὖ ἴστε ὅτι σὺν τῇ τοῦ σώματος ἰάσει καὶ τὰς ψυχὰς ὑγιαινούσας ἕξετε. αὐτὸς γὰρ μόνος διὰ τῆς ἀριστερᾶς ἀναιρῶν διὰ τῆς δεξιᾶς ζωοποιῆσαι δύναται· ὁμοίως δὲ καὶ πατάξαι, καὶ ἀναστῆσαι κείμενον.

IV. Διὰ τοῦτο πρῶτον ὑπὸ τοῦ προδρόμου Σίμωνος προαπατηθέντες, Θεῷ τὰς ψυχὰς ἀπεθάνετε καὶ τὰ σώματα ἐπατάχθητε· δύνασθε δὲ ὁμοίως τὸ δεύτερον, διὰ τῆς μετανοίας, ὡς ἔφην, τὰ Θεῷ ἀρέσκοντα ἀναδεξάμενοι καὶ τὰ σώματα ἀναρρῶσαι καὶ τὰς ψυχὰς ἀναλαβεῖν. ἔστι δὲ τὰ ἀρέσκοντα τῷ Θεῷ τὸ αὐτῷ προσεύχεσθαι· αὐτὸν αἰτεῖν[4] ὡς πάντα νόμιῳ κριτικῷ διδόντα· τραπέζης δαιμόνων ἀπέχεσθαι· νεκρᾶς μὴ γεύεσθαι σαρκός· μὴ

rantiam in se propriis manibus attracto perniciei gladio. Neque enim adversum vos daemones habuissent potestatem, nisi prius cum eorum principe fuissetis epulati. Principio siquidem illa per universorum conditorem Deum lex praefinita est duobus utrimque ducibus, dextro et sinistro, ut non habeat alter illorum potestatem, nisi prius conviva cujuspiam fuerit, quem beneficio vel injuria cupit afficere. Sicut ergo perceptis sacrificiis, quae daemonibus fuerant oblata, venistis in servitutem illius qui malitiae princeps est, ita si ab iis abstinueritis et ad Deum per bonum dextrumque principem confugeritis, honoribus sacrificii expertibus facientes quae vult, probe scitote, quod cum corporis sanitate animas quoque possidebitis sanas. Ipse namque solus, per sinistram occidens, per dextram potest vitam largiri; pariterque et percutere, et jacentem erigere.

IV. Propterea primum a praecursore Simone decepti ratione animae mortui estis Deo et corpore fuistis afflicti, potestis autem similiter iterum per poenitentiam, ut dixi, Deo placita amplexi et corpore convalescere, et animam recuperare. Porro Deo placita sunt: eum precari; petere ab illo tamquam ab eo qui cuncta aequa lege tribuit; daemonum mensa sese abstinere; non gustare

1. ἀπ' ἀρχῆς O.
2. Ita D, δεξιόν τε καὶ εὐωνύμων C, δεξιῶν τε καὶ εὐωνύμων O.
3. μὴ O et de conject. C, in cujus textu deest.
4. Ita ex conject. Ci, ἐστιν uterque Hom. Codex.

ψαύειν αἵματος[1] ἐκ παντὸς ἀπολούεσθαι[2] λύματος· τὰ δὲ λοιπὰ ἑνὶ λόγῳ, ὡς οἱ Θεὸν σέβοντες ἠκουσαν Ἰουδαῖοι, καὶ ὑμεῖς ἀκούσατε ἅπαντες, ἐν πολλοῖς σώμασι μίαν γνώμην ἀναλαβόντες· ἅπερ ἕκαστος ἑαυτῷ βούλεται καλά, τὰ αὐτὰ βουλευέσθω[3] καὶ τῷ πλησίον. οὕτω δ' ἂν ὑμῶν ἕκαστος νοήσειε τὸ καλόν, εἰ ἑαυτῷ διαλεχθείη τὰ τοιαῦτα· οὐ θέλεις φονευθῆναι, ἕτερον μὴ φονεύσῃς· οὐ θέλεις τὴν σὴν ὑφ' ἑτέρου μοιχευθῆναι γυναῖκα, τὴν ἑτέρου μὴ μοίχευε γαμετήν· οὐ θέλεις τι τῶν σῶν κλαπῆναι, ἑτέρου μὴ κλέπτε μηδέν. καὶ οὕτως ἀφ' ὑμῶν αὐτῶν τὸ εὔλογον συννοοῦντες καὶ ποιοῦντες, Θεῷ προσφιλεῖς γενόμενοι, ἐπιτεύξεσθε τῆς ἰάσεως, ἐπεὶ καὶ ἐν τῷ παρόντι αἰῶνι βασανισθήσεσθε τὰ σώματα, καὶ ἐν τῷ μέλλοντι κολασθήσεσθε τὰς ψυχάς.

V. Ταῦτα[4] ὑπὸ τοῦ Πέτρου ἐν ὀλίγαις ἡμέραις κατηχηθέντες καὶ ἰαθέντες ἐβαπτίσθησαν. ἔπειτα[5] τοῖς λοιποῖς αὐτοῦ θαύμασιν οἱ λοιποὶ πάντες ἐν μέσαις ταῖς ἀγοραῖς πανδημεὶ ἐπὶ σποδοῦ καὶ σάκκου ἐκαθέζοντο, μετανοοῦντες ἐπὶ τοῖς πρότερον ἡμαρτημένοις. καὶ οἱ ἐν Σιδῶνι ταῦτα ἀκούσαντες τὰ ὅμοια ἐποίησαν, καὶ ἱκέτας πρὸς τὸν Πέτρον ἀπέστελλον, ὡς αὐτοὶ διὰ τὰς νόσους πρὸς αὐτὸν ἐλθεῖν μὴ δυνάμενοι. ὁ Πέτρος δὲ ἡμερῶν οὐ πολλῶν ἐνδιατρίψας τῇ[6] Τύρῳ, καὶ κατηχήσας τοὺς ἐν αὐτῇ

carnem demortuam; sanguinem non attingere; ab omni illuvie mundari. Reliqua autem uno verbo, quaecumque Judaei, erga deum religiosi homines, audierunt, et vos cuncti audite, in multis corporibus unam mentem adepti: quae unusquisque sibi desiderat bona, eadem et de proximo statuat. Sic autem unusquisque vestrum bonum cogitaverit, si ista apud se repetat: non vis interfici, alterum non interficias, non vis uxorem tuam ab alio constuprari, alterius nuptam ne constupra, non vis quidpiam rerum tuarum furto auferri, nihil alterius furare. Atque ita ex vobis ipsis quod rationi consentaneum est intelligentes atque facientes Deo cari effecti consequemini sanitatem: alioquin et in praesenti saeculo corporibus torquebimini, et in futuro puniemini animabus.

V. Haec a Petro paucis diebus edocti et sanati baptizati sunt. Deinde inter cetera illius miracula reliqui omnes in medio foro passim in cinere et sacco sedebant, agentes poenitentiam de prioribus delictis. Et qui Sidonem incolebant, ista audientes similia fecerunt, miseruntque ad Petrum supplicaturos, quod ipsi propter morbos non possent ad illum venire. Igitur Petrus cum per paucos dies Tyri commoratus esset, cunctosque illius civitatis homines instruxis-

1. αἵματα O.
2. Hanc Ottoboniani lectionem commendat C ex conject., sed exh. ἀπολύεσθαι in textu. Deinde ὡς οἱ c. O, ὅσοι (f. ὅσα) C, ὅσ' οἱ S.
3. D emendat βουλέσθω.
4. Τοιαῦτα C.
5. Forte leg. καὶ ἐπὶ. Vulgatam saltem scripturam haud sanam esse facile apparet. S.
6. τῷ S.

www.libtool.com.cn

ἅπαντας, καὶ παντοδαπῶν αὐτοὺς ἀπαλλάξας παθῶν, ἐκκλησίαν τε συστησάμενος, καὶ ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἐπίσκοπον αὐτοῖς καταστήσας, ὥρμησεν εἰς Σιδῶνα. ὁ δὲ Σίμων μαθὼν ἥκοντα τὸν Πέτρον εὐθὺς ἀπέδρα εἰς Βηρυτὸν μετ' [1] Ἀππίωνος καὶ τῶν αὐτοῦ ἑταίρων.

VI. Τοῦ δὲ Πέτρου εἰσιόντος εἰς τὴν Σιδῶνα, πολλοὺς ἐν κλίναις φέροντες πρὸ αὐτοῦ ἐτίθεσαν. ὁ δὲ πρὸς αὐτοὺς ἔφη· μὴ τοίνυν νομίσητε ἐμέ τι δύνασθαι πρὸς ὑμετέραν ἴασιν, ἄνδρα θνητὸν καὶ αὐτὸν πολλοῖς πάθεσιν ὑποπεσεῖν δυνάμενον· ὑφηγεῖσθαι δὲ ὑμῖν τὸν τρόπον δι' οὗ σωθῆναι δυνήσεσθε οὐ φθονῶ, καὶ αὐτὸς παρὰ τοῦ τῆς ἀληθείας προφήτου μαθὼν τοὺς προωρισμένους τοῦ Θεοῦ πρὸ καταβολῆς κόσμου ὁρισμούς, λέγω δὲ ἐπὶ ποίαις κακαῖς πράξεσι τοὺς ἀνθρώπους ἔταξεν ὑπὸ τοῦ τῆς κακίας ἡγεμόνος κακοῦσθαι, ὁμοίως δὲ [2] ἐπὶ ποίαις ἀγαθαῖς πράξεσιν ὥρισε πρότερον πιστεύσαντας αὐτῷ ἰωμένῳ τὰ σώματα σώζεσθαι, ἔπειτα καὶ τὰς ψυχὰς ἐπανορθοῦσθαι πρὸς τὸ ἀνώλεθρον.

VII. Ταύτας τοίνυν τάς τε ἀγαθὰς καὶ κακὰς πράξεις εἰδὼς προμηνύω ὑμῖν ὡς [3] ὁδοὺς δύο, ὑποδεικνύων διὰ ποίας μὲν βαδίζοντες ἀπόλλυνται, ποίαν [4] δὲ ὁδεύοντες ἀποσώζονται, Θεῷ ὁδηγούμενοι. ἡ μὲν οὖν τῶν ἀπολλυμένων ὁδὸς πλατεῖα μὲν καὶ ὁμαλωτάτη, ἀπολλύουσα δὲ ἄνευ τοῦ πόνου, ἡ δὲ τῶν σωζομένων στενὴ μὲν καὶ τραχεῖα, σώζουσα δὲ πρὸς τῷ τέλει τοὺς διαπορευθέντας ἐπιπόνως. τούτων δὲ τῶν δύο ὁδῶν προ-

set, et liberavisset omnigenis morbis, ac instituisset Ecclesiam, atque ex Presbyteris, qui eum sequebantur, ipsis Episcopum constituisset, Sidonem appulit. At Simon, audiens quod adventaret Petrus, confestim ad Berytum aufugit cum Appione et sociis.

VI. Ceterum cum Petrus Sidonem ingressus esset, multos in lectis allatos coram ipso posuerunt. Ille autem dixit ad eos: ne vero existimetis, me aliquid posse ad curationem vestram, qui sim ipse quoque homo mortalis, et in multa possim incidere adversa: docere autem vos modum quo salvi esse possitis, non gravabor, qui ipse etiam a veritatis Propheta didici praefixos a Deo ante mundi constitutionem terminos, in qualibus, inquam, malis operibus dis-posuerit ut homines a malitiae duce affligantur, sed similiter in qualibus bonis operibus decreverit ut, qui in eum velut medicum crediderint, prius corpore curentur, deinde et anima instaurentur ad salutem.

VII. Has ergo cognoscens bonas et malas actiones praenuntio vobis quasi duas ostendens vias, per quam quidem gradientes pereant, per quam vero incedentes salventur, ducti a Deo. Via igitur pereuntium lata est et planissima, perditque absque labore, at via servatorum angusta est et aspera, tandemque iter facientes servat cum labore multo. Ceterum his duabus viis prae-

1. μετὰ O. Idem deinde ἑαυτοῦ.
2. τε C.
3. Vbb. ὑμῖν ὡς bis leguntur in O.
4. ποίᾳ C.

www.khtoob.com

καθέζεται ἀπιστία καὶ πίστις· καὶ ὀδεύουσι διὰ μὲν ἀπιστίας οἱ τὰς ἡδονὰς προκρίναντες, δι' ἃς [ποιοῦντες ὃ οὐκ ἀρεστὸν τῷ Θεῷ καὶ ἀμελήσαντες εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ, ἐλάθοντο ἡμέρας κρίσεως,][1] οὐδὲ ζητεῖν τὸ συμφέρον οὐ διεφύλαξαν. ἀγνοοῦσι μέντοι ὡς οὐκ ἀνθρωπίνοις ὅμοια τὰ Θεοῦ βουλήματα· πρῶτον μὲν γὰρ οἶδε τὰ πάντων διανοήματα, καὶ οὐκ ἐν τῷ ἐγχειρῆσαι μόνον, ἀλλὰ καὶ ἐν τῷ ἐννοῆσαι ἕκαστος εὐθύνεται. πολλῷ[2] δὲ ἧττον ἀσεβοῦσιν οἱ ἐγχειροῦντες καλὰ νοεῖν καὶ ἀποτυγχάνοντες, τῶν μηδὲ ὅλως ἐγχειρούντων τοῖς καλοῖς. ὅτι αὐτῷ τῷ Θεῷ ἔδοξεν, τὸν ἐν γνώσει τῶν καλῶν παραπίπτοντα[3], κατὰ λόγον τῶν ἀνθρωπίνων παραπτωμάτων, μετρίως κολασθέντα[4] σωθῆναι. οἱ δὲ τὴν ἀρχὴν καὶ τοῦ γνῶναι τὸ κρεῖττον ἐξημιεληκότες, κἂν μυρία ἕτερα πράξωσι καλά, ἐν ᾗ δὲ αὐτὸς ὥρισε θρησκείᾳ μὴ γένωνται, ἀμελείας ἔγκλημα λαβόντες τῇ μεγίστῃ ἀποσβεσθήσονται κολάσει παντελῶς[5].

VIII. Ἡ δὲ ὑπ' αὐτοῦ ὁρισθεῖσα θρησκεία ἐστὶν αὕτη· τὸ μόνον αὐτὸν σέβειν, καὶ τῷ τῆς ἀληθείας μόνῳ πιστεύειν προφήτῃ, καὶ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτισθῆναι, καὶ οὕτως διὰ τῆς ἁγνοτάτης βαφῆς ἀναγεννηθῆναι Θεῷ διὰ τοῦ σώζοντος ὕδατος· τραπέζης δαιμόνων μὴ μεταλαμβάνειν, λέγω δὲ εἰδωλοθύτων, νεκρῶν, πνικτῶν, θηριαλώτων, αἵματος· μὴ ἀπα-

sident incredulitas et fides, proficiscuntur autem per incredulitatem quidem qui voluptates praetulerunt, propter quas [quod Deo displicet facientes neque curam animae salutis gerentes diei judicii obliti sunt] neque quod utile est curaverunt quaerere. Itaque ignorant, Dei consilia similia non esse humanis. Primo etenim novit Deus cogitationes omnium, et non ob solam operationem, sed et propter cogitationem unusquisque judicatur. Multo autem minus impii sunt, qui nituntur bona intelligere et aberrant, quam qui nullatenus aggrediuntur bona. Quia Deo placuit, ut qui in cognitione boni lapsi fuerit, juxta rationem humanorum lapsuum, modice castigatus servetur. At qui omnino intelligere neglexerunt, etsi operentur innumera alia praeclara, ideo quod in religione a Deo definita non exstiterint, indiligentiae sumto crimine per maximum penitus interibunt supplicium.

VIII. Porro ab eo definita religio haec est: eum solum colere, ac soli credere Prophetae veritatis, in remissionem peccatorum baptizari, sicque per intinctionem purissimam renasci Deo in aqua salutari; nihil sumere de mensa daemonum, hoc est, de idolothytis, mortuis, suffocatis, a bestia captis, san-

1. Lacunam in Cod. Ottob. post δι' ἃς obviam verbis explere tentavi, quae sequuntur uncis inclusa.

2. πολλῷ O ut conj. C, in cuj. textu πολλῶν.

3. τῶν ἐν γν. τ. κ. παραπιπτόντων C.

Aut post ἔδοξεν addendum ἐπὶ vel περί, aut scribendum τοὺς — παραπίπτοντας censuit D.

4. κολασθέντας C.

5. παντελῶς O, quod et S proposuit legendum, παντελεῖ C.

www.libtool.com.cn

θάρτως βιοῦν· ἀπὸ κοίτης γυναικὸς λούεσθαι· αὐτὰς μέντοι καὶ ἄφεδρον φυλάσσειν· πάντας δὲ σωφρονεῖν, εὐποιεῖν, μὴ ἀδικεῖν· παρὰ τοῦ πάντα δυναμένου Θεοῦ ζωὴν αἰώνιον προσδοκᾶν· εὐχαῖς καὶ δεήσεσι συνεχέσιν αἰτουμένους αὐτὴν λαβεῖν. τοιαῦτα καὶ ἐν τῇ Σιδῶνι τοῦ Πέτρου παραινοῦντος, ἡμέραις ὀλίγαις πολλῶν κἀκεῖ μετανοησάντων καὶ πιστευσάντων καὶ θεραπευθέντων ἐκκλησίαν συνέστησεν, καὶ τῶν συνεπομένων αὐτῷ πρεσβυτέρων τινὰ καταστήσας αὐτοῖς ἐπίσκοπον ἐξῆει τῆς Σιδῶνος.

IX. Ὡς δὲ εὐθὺς ἐπέβη τῆς Βηρυτοῦ, σεισμὸς ἐγένετο. καὶ οἱ ὄχλοι προσιόντες τῷ Πέτρῳ, βοήθει, ἔλεγον· πεφοβήμεθα γάρ, ἔφασαν, μὴ ἄρα ἄρδην πάντες ἀπολώμεθα. τότε ὁ Σίμων τολμήσας ἅμα τῷ Ἀππίωνι καὶ Ἀνουβίωνι καὶ Ἀθηνοδώρῳ καὶ τοῖς λοιποῖς ἑταίροις αὐτοῦ δημοσίᾳ τοῖς ὄχλοις κατὰ τοῦ Πέτρου ἐβόα· φεύγετε, ἄνδρες, τὸν ἄνδρα τοῦτον· μάγος ἐστίν, πιστεύσατε, καὶ τὸν σεισμὸν αὐτὸς ἐποίησεν ὑμῖν [1], καὶ τὰς νόσους ἐκίνησεν αὐτός, ἵνα ὑμᾶς καταπλήξηται [2], ὡς αὐτὸς ὢν Θεός. καὶ πολλὰ τοιαῦτα ὡς ὑπὲρ δύναμιν ἀνθρωπίνην δυναμένου τοῦ Πέτρου κατεψεύδοντο οἱ περὶ τὸν Σίμωνα. ἡσυχίαν δὲ αὐτῷ [3] παρασχόντων τῶν ὄχλων ὁ Πέτρος βραχὺ ὑπομειδιάσας καταπληκτικῇ τῇ παρρησίᾳ· ἄνδρες, εἶπεν, ἅπερ οὗτοι λέγουσιν, Θεοῦ θέλοντος ποιεῖν δυνατὸς εἶναι ὁμολογῶ, πρὸς δὲ τούτοις ἕτοιμός εἰμι, ἐὰν μὴ πείθησθέ [4] μοι περὶ ὧν λέγω, τὴν πᾶσαν ὑμῶν ἐκβαθρεῦσαι πόλιν.

guine; non impure vivere; lavari post concubitum cum muliere; feminas vero custodire etiam legem purgationis; cunctos autem temperantes esse, benefacere, non afficere injuria; a Deo omnipotente exspectare vitam aeternam; petendo illius adeptionem orationibus et precibus continuis. Haec et in Sidone Petro suadente, cum paucis diebus multi ibi quoque poenitentiam egissent, ac credidissent, atque sanati essent, ecclesiam instituit; et postquam aliquem ex Presbyteris, qui eum consectabantur, constituisset illis Episcopum, Sidone egressus est.

IX. Statim autem ac Berytum pervenit, terrae motus factus est, atque plebs accedens ad Petrum, fer opem, inquiebat: timuimus enim, dixerunt, ne omnes omnino periremus. Tunc Simon, commento excogitato, una cum Appione, Anubione, Athenodoro ceterisque sodalibus publice multitudini adversus Petrum acclamabat: fugite, o viri, hunc hominem; magus est, mihi credite, et terrae motum is vobis fecit, ipse morbos excitavit, ut vos perterreat, quasi ipse sit deus. Atque multa ejusmodi pars Simonis contra Petrum finxit, velut eum qui humanas vires supergrederetur. Cumque plebs se in silentio tenuisset, Petrus subridens terrorem incutiente libertate dixit: viri, quae ab istis dicuntur, fateor me posse Deo volente efficere: ad haec paratus sum, nisi mihi habueritis fidem in his quae loquor, universam vestram funditus evertere civitatem.

1. ἡμῖν O.
2. Ita O c. D, καταπλήξῃ τε C. Tum ἄλλα p. πολλὰ idem, qui deinceps conj. ὡς ὑπέρ, in textu ὥσπερ, in O ὡς πέρ.
3. αὐτῷ O. c. D, αὐτῶν C.
4. Ita O c. S, πείσθησθέ C.

www.libtool.com.cn

X. Τῶν δὲ ὄχλων φοβηθέντων καὶ [1] ποιήσειν ἐπαγγειλαμένων, ὅπερ ἂν ὑπ' αὐτοῦ κελεύωνται, μηδεὶς ὑμῶν, ἔφη ὁ Πέτρος, μήτε ὁμιλείτω τούτοις τοῖς γόησιν, μήτε ἀναμιγνύσθω. οἱ δὲ ὄχλοι ἅμα τῷ ἀκοῦσαι τοῦ κελεύσματος τοῦ συντόμου [2] ξύλα λαβόντες ἐδίωκον αὐτούς, ἕως αὐτοὺς παντελῶς τῆς πόλεως ἐξήλασαν. καὶ εἰσελθόντες οἱ νοσοῦντες αὐτῶν καὶ δαιμονῶντες πρὸς ποσὶ τοῦ Πέτρου ἑαυτοὺς ἐρρίπτουν. ὁ δὲ ταῦτα βλέπων καὶ τὴν κατάπληξιν αὐτῶν ἀναλῦσαι θέλων πρὸς αὐτοὺς ἔφη.

XI. Ἐγὼ σεισμοὺς καὶ πᾶν ὅ τι βούλομαι εἰ ἐδυνάμην ποιεῖν [3], Σίμωνα οὐ λέγω ὅτι μετὰ τῶν αὐτοῦ ἑταίρων [4] ἐξωλόθρευον (οὐ γὰρ ἐπὶ φθορᾷ ἀνθρώπων ἀπέσταλμαι), ἀλλὰ φίλον ἐμαυτῷ αὐτὸν ἂν ἐποιησάμην, ἵνα μή μου τὸ ἀληθὲς διαβάλλων κήρυγμα πολλοῖς ἐμποδίζῃ πρὸς σωτηρίαν. εἰ δέ μοι πιστεύετε [5], αὐτός ἐστι μάγος, αὐτὸς διάβολος, αὐτὸς κακίας ὑπηρέτης κατὰ τῶν ἀγνοούντων τὸ ἀληθές· καὶ διὰ τοῦτο ἁμαρτάνουσι [6] νόσους ἐνεργεῖν δύναται, συνεργοὺς ἔχων τοὺς ἁμαρτάνοντας τῆς κατ' αὐτῶν δυνάμεως. ἐγὼ δὲ Θεοῦ [7] τοῦ πάντα πεποιηκότος εἰμὶ δοῦλος, τοῦ δεξιοῦ αὐτοῦ προφήτου μαθητής. διὸ ἐκείνου ἀπόστολος ὢν ἀληθεύω. ἀγαθῷ γὰρ ὑπηρετῶν καὶ νόσους ἀπελαύνω· ἐπέμφθην γὰρ δεύτερος· ἐπεὶ προηγεῖται μὲν νόσος, ἕπεται [8] δὲ ἴασις. διὶ ἐκείνου μὲν οὖν τοῦ

X. Cumque turba timore esset commota atque promisisset, se quod ab ipso imperaretur facturam: nemo vestrum, inquit Petrus, neque commercium cum istis magis habeat, neque cum iis jungatur. Plebs autem simul ac breve mandatum audivit, fustibus sumtis eos persecuta est, donec penitus urbe pepulisset. Et ingressi quicumque ex iis aegrotabant et a daemonibus vexabantur, se ad pedes Petri projecerunt. Ille vero haec cernens eorumque stuporem volens solvere ad eos infit.

XI. Ego, si terrae motus et quidquid volo possem facere, non dico quod Simonem cum sociis suis exterminassem (non enim ad hominum internecionem missus fui), sed eum mihi amicum reddidissem, ne verae detrahens meae praedicationi multis impedimento esset ad salutem. Quod si mihi credite, ipse est magus, ipse calumniator, ipse malitiae minister in eos qui nesciunt veritatem. Atque ideo peccatoribus aegritudines potest efficere, cum eos peccatores adjutores habeat potestatis contra ipsos. Ego autem Dei omnium auctoris servus sum, dextrique ejus Prophetae discipulus. Quocirca qui sum illius Apostolus, vera praedico. Bono enim ministrans etiam morbos depello. Nam secundus missus sum, quandoquidem praecedit morbus, sequitur

1. Ci ἑτέρως ante ποιήσειν omisi c. O. Si retinere velis, legendum auct. S, aut μὴ ἑτέρως, aut, quod praestat, ἑτοίμως. Epit. c. 58 habet προθύμως. Ci versio ferri non potest.
2. συντόμως Cod. Reg. 804.
3. ποιεῖν εἰ ἐδυνάμην C.
4. Hanc Ci conjecturam confirmat O, ἑτέρων Cod. Hom. Parisin.
5. Ita O c. D, πιστεύεται C.
6. ἁμαρτάνουσι D O, ἁμαρτανούσας C.
7. ἐγὼ δὲ τοῦ Θεοῦ C.
8. Ita D, ἔπειτα C O.

κακοποιοῦ μάγου τῷ Θεῷ ἀποστήσαντες ἐνοσήσατε[1], δι' ἐμοῦ δέ, ἐάν τε αὐτῷ πιστεύσητε, ἰαθήσεσθε· οὕτω γὰρ τοῦ δυνατοῦ τὴν πεῖραν[2] λαβόντες, ἐπὶ τὸ εὐποιεῖν τραπόμενοι, καὶ τὰς ψυχὰς ἀνασωθῆναι δυνηθείητε.

XII. Ταῦτα αὐτοῦ λέγοντος οἱ πάντες γονυπετεῖς πρὸ τῶν αὐτοῦ ἔκειντο ποδῶν. ὁ δὲ εἰς οὐρανὸν ἄρας τὰς χεῖρας καὶ τῷ Θεῷ προσευξάμενος ἰάσατο τοὺς πάντας ἐκ μόνης εὐχῆς. οὐκ ὀλίγων δὲ ἡμερῶν παραμείνας τοῖς Βηρυτίοις, καὶ πολλοὺς τῇ μοναρχικῇ θρησκείᾳ συνεθίσας[3] καὶ βαπτίσας, ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἕνα ἐπίσκοπον αὐτοῖς καταστήσας, εἰς τὴν Βίβλον[4] ἐξῆει. καὶ γενόμενος ἐκεῖ καὶ μαθὼν ὅτι Σίμων οὐδὲ μιᾶς[5] ἡμέρας αὐτοῖς προσέμεινεν, ἀλλ' εὐθέως εἰς Τρίπολιν ὥρμησεν, ὀλίγων ἡμερῶν αὐτοῖς ἐπιμείνας, καὶ θεραπεύσας οὐκ ὀλίγους, καὶ ταῖς βίβλοις αὐτοὺς ἐνασκήσας, κατ' ἴχνος τοῦ Σίμωνος εἰς τὴν Τρίπολιν ἐπορεύετο, μεταδιώκειν αὐτὸν μᾶλλον, οὐχ ὑποφεύγειν προῳρημένος.

## ΟΜΙΛΙΑ Η'.

I. Εἰς δὲ τὴν Τρίπολιν εἰσιόντι τῷ Πέτρῳ οἱ φιλομαθέστεροι ἔκ τε τῆς Τύρου καὶ Σιδῶνος, Βηρυτοῦ τε καὶ Βίβλου, καὶ ἐκ τῶν πλησιοχώρων

vero sanatio. Per illum ergo maleficum magum, Deo increduli, aegrotastis; per me autem, modo in eum credatis, sanabimini. Sic enim experimento facto illius qui potens est, ad bene faciendum conversi, etiam secundum animas salvi esse poteritis.

XII. Quae cum dixisset, cuncti ad genua accidentes jacebant ante pedes illius. At ille, sublatis in caelum manibus, Deumque comprecatus, cunctos precatione sola curavit. Non paucos autem dies apud Berytios commoratus, cum multos religioni erga unum Deum consuefecisset, nec non baptizasset, uno ex Presbyteris qui eum sequebantur ipsis in Episcopum constituto, in Byblum abiit. Quo cum pervenisset, comperto quod Simon ne uno quidem die illos exspectasset, sed statim in Tripolim evasisset, paucos dies apud eos moratus, curatisque multis ac in Scriptura exercitis, ad Tripolim per vestigia Simonis processit, certus eum insequi, non subterfugere.

## HOMILIA OCTAVA.

I. Cum autem Petrus Tripolim ingrederetur, qui discendi erant cupidiores ex Tyro, Sidone, Beryto ac Byblo, et multi ex finitimis simul intrarunt. Maximi

1. In O prius scriptum erat *ἐνοήσατε*. Deinde idem om. *τε*.
2. *πείραν* C.
3. Alius praeferet *συνετίσας*, nec immerito C; *συνισθίσας* O.
4. *Βύβλον* Epit. c. 58.
5. *οὐδεμιᾶς* O.

πολλοὶ συνεισήεσαν. οὐχ ἥκιστα δὲ τῶν ἀπ' αὐτῆς τῆς πόλεως ὄχλων συνδρομαὶ ἐγίνοντο, ἱστορεῖν βουλομένων αὐτόν. συνετύγχανον οὖν ἡμῖν ἐν τοῖς προαστείοις οἱ ὑπ' αὐτοῦ ἐκπεμφθέντες ἀδελφοί, τά τε ἄλλα τὰ κατὰ τὴν πόλιν καὶ τὰ πραττόμενα τῷ Σίμωνι ἐξακριβῶσαι, ὅπως ἐλθόντες ὑφηγήσωνται. ἀποδεξάμενοι αὐτὸν ἐπὶ τὴν Μαροόνου[1] ἦγον οἰκίαν.

II. Ὁ δὲ ἐπ' αὐτῷ τῷ τῆς ξενίας πυλῶνι ἤδη γεγονώς, ἐπιστραφεὶς τοῖς ὄχλοις ὑπέσχετο, μετὰ τὴν ἐπιοῦσαν περὶ θεοσεβείας αὐτοῖς διαλεχθῆναι. εἰσελθόντος δὲ αὐτοῦ οἱ πρόοδοι τοῖς συνεληλυθόσι ξενίας ἠντρέπιζον. οὐκ ἀπελείποντο δὲ οὐδὲ οἱ ἀποδεχόμενοι καὶ ξενίζοντες τῆς τῶν ἀξιούντων προθυμίας. τούτων δὲ[2] οὐδὲν εἰδὼς ὁ Πέτρος, ἀξιωθεὶς ὑφ' ἡμῶν τροφῆς μεταλαβεῖν, ἔφη, μὴ μεταλήψεσθαι πρότερον αὐτός, πρινὴ[3] τοὺς συνεληλυθότας αὐτῷ διαναπαύσασθαι. ἀποκριναμένων δὲ ἡμῶν· ὅτι ἔφθη τοῦθ' οὕτως γεγενῆσθαι, προφάσει τῆς πρός σε στοργῆς σπουδῇ πάντας[4] αὐτοὺς ὑποδεξαμένων, ὡς τοὺς μὴ ἐσχηκότας οὓς ξενίσωσιν[5] ὑπερβαλλόντως λελυπῆσθαι· ὁ Πέτρος ἀκούσας καὶ ἡσθεὶς τῆς ὀξείας φιλανθρωπίας[6] εὐλογήσας αὐτοὺς ἐξῆλθεν, καὶ θαλάσσῃ λουσάμενος εἰσῆλθεν[7], καὶ σιτίων σὺν τοῖς προόδοις μεταλαβὼν ἑσπέρας ἐπικαταλαβούσης ὕπνωσεν.

III. Ὑπὸ δὲ τὰς δευτέρας τῶν ἀλεκτρυόνων φωνὰς διϋπνισθεὶς εὗρεν ἡμᾶς ἐγρηγορότας[8], ἦμεν δὲ σὺν αὐτῷ οἱ πάντες ἑξκαίδεκα, αὐτὸς ὁ Πέ-

etiam ex ipsa civitate hominum concursus fiebant, desiderantium videre illum. Igitur obviam facti sunt nobis in suburbiis, qui ab ipso ideo missi fuerant, ut profecti explorarent narrarentque tum urbis alias res, tum Simonis gesta. Et excipientes illum in domum Maroonis duxerunt.

II. Is vero jam fores hospitii tenens, conversus, multitudini promisit, se post diem crastinum de cultu Dei illis verba facturum. Ingresso autem eo, qui praemissi fuerant, hospitia iis qui simul venerant ordinabant. Nec vero qui hospitio suscipiebant, alacritate erant inferiores iis qui hospitia postulabant. Quorum cum nihil sciret Petrus, rogatus a nobis, cibum sumere, nequaquam se sumturum dixit, nisi prius qui eum fuerant comitati interquiescerent. Respondentibus autem nobis: id jam ita factum est, eis, propter amorem erga te, omnes ipsos studiose suscipientibus, adeo ut, qui non habuerunt, quos hospitio reciperent, supra modum fuerint contristati: Petrus audita re, delectatus promta humanitate, benedictis iis egressus est: cumque lavisset in mari, ingressus est, et postquam cibum cum praecursoribus sumsisset, nocte adveniente somno se dedit.

III. Sub secundum vero gallorum cantum expergefactus nos invenit vigilantes. Eramus autem omnes cum eo sedecim, ipse Petrus et ego Clemens,

1. *Μαροώνου* Epit. c. 59.
2. *δὲ* om. O.
3. *πρὶν ἢ* C.
4. Fort. leg. *πάντων*. S.
5. *ξενίσουσιν* O.
6. Malim *τῇ ὀξείᾳ φιλανθρωπίᾳ*. S.
7. *εἰσελθών* C.
8. *ἀγρηγορότας* O. Tum *ἓξ καὶ δέκα* C.

τρος, κἀγὼ ὁ Κλήμης, Νικήτης τε καὶ Ἀκύλας, καὶ οἱ προοδεύσαντες δώδεκα. προσαγορεύσας οὖν ἡμᾶς ἔφη· σήμερον τοῖς ἔξω μὴ σχολάζοντες ἀλλήλοις ἐσμὲν εὔσχολοι. διὸ ἐγὼ μὲν ὑμῖν τὰ μετὰ τὴν ἀπὸ Τύρου[1] ἔξοδον γεγενημένα διηγήσομαι, ὑμεῖς δὲ[2] ἐμοὶ τὰ ἐνταῦθα ὑπὸ τοῦ Σίμωνος πεπραγμένα καὶ ἀκριβέστερον ἐξηγήσασθε[3]. ἀμειψαμένων οὖν ἀλλήλους ταῖς ἐν μέρει διηγήσεσιν, εἰσῆλθέ τις τῶν συνήθων ἀπαγγέλλων Πέτρῳ· ὅτι Σίμων μαθών σε ἐπιδημήσαντα τὴν ἐπὶ Συρίαν ὥρμησεν ὁδόν, οἱ δὲ ὄχλοι τὴν μίαν ταύτην νύκτα ὡς ἐνιαυτοῦ χρόνον ἡγησάμενοι, καὶ ἀναμένειν τὴν δοθεῖσαν ὑπό σου προθεσμίαν μὴ δυνάμενοι, πρὸ τῶν θυρῶν ἑστήκασιν, κατὰ συντάξεις[4] καὶ συλλόγους ἀλλήλοις περὶ τῆς τοῦ Σίμωνος διαβολῆς διαλαλοῦντες, ὅτι μετεωρίσας αὐτούς, καὶ ἐπὶ πολλοῖς κακοῖς σε ἐλέγξειν ἐλθόντα ὑποσχόμενος, ἐπιδημήσαντα γνοὺς νύκτωρ ἔφυγεν· πλὴν ἐπιθυμοῦσιν αὐτοὶ ἀκοῦσαί σου. οὐκ οἶδα πόθεν φήμη τις ἐπέπεσεν, ὡς μέλλοντός σου σήμερον αὐτοῖς διαλέγεσθαι. ἵνα οὖν μὴ ἐπὶ πολὺ καμόντες ἀλόγως διαλύωνται, τί χρή σε ποιεῖν, αὐτὸς γινώσκεις.

IV. Καὶ ὁ Πέτρος θαυμάσας τῶν ὄχλων τὴν σπουδὴν ἀπεκρίνατο· ὁρᾶτε, ἀδελφοί, πῶς οἱ τοῦ κυρίου ἡμῶν λόγοι ἐμφανῶς τελοῦνται. μέμνημαι γὰρ αὐτοῦ εἰπόντος[5]· πολλοὶ ἐλεύσονται ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ἄρκτου τε καὶ μεσημβρίας, καὶ ἀνακλιθήσονται εἰς κόλπους Ἀβραὰμ καὶ

Nicetas et Aquila, atque duodecim qui praegressi fuerant. Salutatis ergo nobis dixit: hodie quia aliis occupati non sumus, nobis vacemus. Quocirca ego quidem vobis quae apud Tyrum post digressum vestrum gesta sunt, enarrabo: vos autem mihi quae heic a Simone perpetrata sunt, diligentius exponite. Cum igitur nos mutuo specialibus narrationibus donassemus, ingressus est quidam e familiaribus, hunc nuntium Petro afferens: Simon, ubi didicit te advenisse, versus Syriam profectus est, turbae autem, quae unam hanc noctem velut annuum tempus opinantur, nec possunt praestitutum a te diem exspectare, pro foribus stant, et per coetus ac circulos de Simonis calumniis inter se invicem colloquuntur, qui cum eas in spem adduxisset, atque pollicitus esset quod te multis de criminibus praesentem esset convicturus, cognito adventu tuo se noctu in fugam conjecerit: sed et te audire desiderant. Nescio enim unde rumor incidit, quasi hodie sis ad illos locuturus. Ne igitur multum fatigati praeter rationem dimittantur, quid tibi faciendum sit, ipse cognoscis.

IV. Et Petrus, admiratus vulgi studium, respondit: videtis, fratres, quo pacto domini nostri verba manifesto impleantur. Memini enim eum dicere: *Multi venient ab Oriente et Occidente, a Septemtrione et Meridie, et recumbent in sinibus Abrahae, Isaaci et Jacobi.* Sed et *Multi*, inquit, *vocati, pauci*

1. ἀπὸ τοῦ Τύρου C.
2. τε O, qui subinde ἐμοὶ τὰ c. S, τὰ ἐμοὶ C. Proximum καὶ non est in O.
3. διηγήσασθε O.
4. συστάσεις C.
5. Matth. 8, 11. Luc. 13, 29.

Ἰσαὰκ καὶ Ἰακώβ. ἀλλὰ καὶ πολλοί, φησίν [1], κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί. Τὸ μὲν οὖν ἐλθεῖν αὐτοὺς κληθέντας πεπλήρωται. ἐπεὶ δὲ [2] οὐκ αὐτῶν ἐστὶ τοῦτο ἴδιον, ἀλλὰ τοῦ καλέσαντος αὐτοὺς Θεοῦ καὶ ἐλθεῖν πεποιηκότος, ἐπὶ τούτῳ μόνῳ μισθὸν οὐκ ἔχουσιν, ὅτι μὴ αὐτῶν ἴδιον, ἀλλὰ τοῦ ἐνεργήσαντος. ἐὰν δὲ μετὰ τὸ [3] κληθῆναι καλὰ πράξωσιν, ὅπερ ἐστὶν αὐτῶν ἴδιον, τότε ἐπὶ τούτῳ μισθὸν ἕξουσιν.

V. Οὐδὲ γὰρ Ἑβραῖοι Μωυσεῖ [4] πιστεύοντες καὶ τὰ δι' αὐτοῦ ῥηθέντα μὴ φυλάσσοντες σώζονται, ἐὰν μὴ τὰ ῥηθέντα αὐτοῖς φυλάξωσιν. ὅτι καὶ τὸ [5] Μωυσεῖ πιστεῦσαι αὐτοὺς οὐχὶ τῆς αὐτῶν βουλῆς γέγονεν, ἀλλὰ τοῦ Θεοῦ τοῦ εἰρηκότος Μωυσεῖ [6]· ἰδοὺ παραγίνομαι ἐγὼ πρός σε ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρός σε, καὶ σοὶ πιστεύσωσιν εἰς τὸν αἰῶνα. ἐπεὶ οὖν Ἑβραίοις τε καὶ τοῖς ἀπὸ ἐθνῶν κεκλημένοις τὸ διδασκάλοις ἀληθείας πιστεῦσαι ἐκ Θεοῦ γέγονεν, τῶν καλῶν πράξεων ἰδίᾳ κρίσει ἑκάστῳ ποιεῖν ἀπολελειμμένων, ὁ μισθὸς τοῖς εὖ πράσσουσι δικαίως ἀποδίδοται. οὔτε γὰρ ἂν Μωυσέως, οὔτε τῆς τοῦ Ἰησοῦ παρουσίας χρεία ἦν, εἴπερ ἀφ' ἑαυτῶν τὸ εὔλογον νοεῖν ἐβούλοντο, οὐδὲ ἐν τῷ πιστεύειν διδασκάλοις καὶ κυρίους αὐτοὺς λέγειν ἡ σωτηρία γίνεται.

VI. Τούτου γὰρ ἕνεκεν ἀπὸ μὲν Ἑβραίων τὸν Μωυσῆν [7] διδάσκαλον

*vero electi.* Quod ergo ipsi veniant vocati, id adimpletum est. Quia vero hoc non est eorum proprium, sed est Dei qui eos vocavit ac fecit venire, in eo solo mercedem non consequuntur, quoniam ipsorum proprium non est, sed ejus qui permovit. Quod si post vocationem bona opera faciant, quod eorum est proprium, tunc pro eo recipient mercedem.

V. Neque enim Hebraei, Moysi credentes, et quae ab eo dicta sunt non custodientes, salvantur, nisi quae sibi dicta sunt custodiant. Nam quod Moysi crediderint, non ex illorum ortum est voluntate, sed ex Dei qui Moysi dixit: ecce ego accedo ad te in columna nubis, ut audiat populus quando loquor ad te, et tibi credant in aeternum. Cum ergo Hebraeis et iis, qui ex gentibus vocati sunt, a Deo datum sit credere veritatis doctoribus, relictumque sit singulorum proprio judicio, bona opera exercere, merces bene operantibus juste rependitur. Neque enim Mosis, neque Christi adventu opus fuisset, si a se ipsis quod rationi consentaneum est voluissent intelligere: sed nec magistris credendo eosque dominos vocando salus acquiritur.

VI. Et ideo ab Hebraeis quidem qui Moysem praeceptorem acceperunt,

1. Matth. 20, 16.

2. ἐπεὶ δὲ S O, ἐπειδὴ C. Tum τοῦτο c. O, ut proponit S, τὸ C.

3. μετὰ τὸ O, ut Epit. c. 62, μετὰ τοῦ C in textu. Ad oram Ottoboniani: νόθα, et poulo post: νοθευόμενα, quod ad subsequentia spectat.

4. μωυσῇ O.

5. τὸ O, ut mavult S, τῷ C. Tum μωυσῇ O.

6. μωυσῇ O. Exod. 33, 9.

7. Nihil mutandum. Cf. Lob. Phryn. p. 156. Habemus in Clementinis etiam Dativum Μωυσῇ Hom. XVII, 418. S.

εἰληφότων καλύπτεται. ὁ Ἰησοῦς, ἀπὸ[1] δὲ τῷ Ἰησοῦ πεπιστευκότων ὁ Μωυσῆς ἀποκρύπτεται. μιᾶς γὰρ δι' ἀμφοτέρων διδασκαλίας οὔσης τὸν τούτων τινὶ[2] πεπιστευκότα ὁ Θεὸς ἀποδέχεται. ἀλλὰ τὸ πιστεύειν διδασκάλῳ ἕνεκα τοῦ ποιεῖν τὰ ὑπὸ τοῦ[3] Θεοῦ λεγόμενα γίνεται. ὅτι δὲ τοῦθ' οὕτως ἔχει, αὐτὸς ὁ κύριος ἡμῶν λέγει· Ἐξομολογοῦμαί[4] σοι, πάτερ τοῦ[5] οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν[5] καὶ πρεσβυτέρων, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις θηλάζουσιν. Οὕτως αὐτὸς ὁ Θεὸς τοῖς μὲν ἔκρυψε διδάσκαλον, ὡς προεγνωκόσιν ἃ δεῖ πράττειν, τοῖς δὲ ἀπεκάλυψεν, ὡς ἀγνοοῦσιν ἃ χρὴ ποιεῖν.

VII. Οὔτε οὖν Ἑβραῖοι περὶ ἀγνοίας Ἰησοῦ καταδικάζονται, διὰ τὸν κρύψαντα, ἐάν γε πράττοντες τὰ διὰ Μωυσέως[6], ὃν ἠγνόησαν μὴ μισήσωσιν· οὔτε αὖ οἱ ἀπ'[7] ἐθνῶν ἀγνοήσαντες τὸν Μωυσῆν διὰ τὸν καλύψαντα καταδικάζονται, ἐάν περ καὶ οὗτοι πράσσοντες τὰ διὰ τοῦ Ἰησοῦ ῥηθέντα μὴ μισήσωσιν ὃν ἠγνόησαν. καὶ οὐκ ἐν τῷ τοὺς διδασκάλους κυρίους καλεῖν, τὰ δὲ δούλων μὴ ποιεῖν, ὠφελοῦνταί τινες. τούτου γὰρ ἕνεκεν ὁ Ἰησοῦς ἡμῶν πρός τινα πυκνότερον κύριον αὐτὸν λέγοντα, μηδὲν δὲ ποιοῦντα ὧν αὐτὸς προσέταξεν[8], ἔφη[9]· Τί με λέγεις, κύριε, κύριε, καὶ οὐ ποιεῖς ἃ λέγω; Οὐ γὰρ ὠφελήσει τινὰ τὸ λέγειν, ἀλλὰ τὸ ποιεῖν. ἐκ παν-

absconditur Jesus: ab iis vero qui in Jesum crediderunt, Moses occultatur. Cum enim una sit per utrumque doctrina, eum qui alterutri credit recipit Deus. Verum fides in magistrum ideo est, ut quae a Deo dicta sunt peragantur. Quod autem hoc ita se habeat, ipse Dominus noster ait: *Confiteor tibi pater coeli et terrae, quia abscondisti haec a sapientibus et senioribus et revelasti ea parvulis lactentibns.* Sic Deus ipse illis quidem abscondit doctorem, ut qui scient quae essent facienda, his vero revelavit, ut qui quae agere oporteat ignorarent.

VII. Neque ergo Hebraei de ignoratione Jesu condemnantur, propter eum qui abscondit, si, facientes a Moyse praescripta, quem nesciunt odio non habeant: neque rursum qui ex gentibus sunt, de ignorato Moyse condemnantur, propter eum qui occultavit, si et ipsi per Christum dicta facientes, quem ignorant odio non prosequantur. Nihilque cuipiam proderit, magistris nomen dominorum dare, non facere autem opera servorum. Nam idcirco Jesus noster ad quemdam, qui cum frequenter dominum vocabat, nihil tamen ab eo mandatorum faciebat: *Quid*, inquit, *mibi dicis, Domine, Domine, et non facis quae dico?* Neminem quippe juvabit dicere, sed facere. Omni itaque modo opus

1. *ἀπὸ* D O, *ὑπὸ* C. Tum in O *τοῦ*, man. sec. supra *τῷ* ante *Ἰησοῦ*, ap. C. *τῶν*.
2. *τινὰ* C.
3. *τοῦ* om. O.
4. *ἐξομολογοῦμαν* O. Matth. 11, 25.
5. *ἔκρυψας ταῦτα ἀπὸ σοφῶν* C. *καὶ* copula etiam adest in l. c. N. T.
6. *μωυσέος* O.
7. *ἀπὸ* O.
8. *προσέτασσεν* C.
9. Matth. 7, 21.

www.libtool.com.cn

τὸς οὖν τρόπου καλῶν ἔργων χρεία. πλὴν εἴ τις[1] καταξιωθείη τοὺς ἀμφοτέρους ἐπιγνῶναι ὡς μιᾶς διδασκαλίας ὑπ' αὐτῶν κεκηρυγμένης, οὗτος ἀνὴρ ἐν Θεῷ πλούσιος κατηρίθμηται, τά τε ἀρχαῖα νέα τῷ χρόνῳ, καὶ τὰ καινὰ παλαιὰ ὄντα νενοηκώς.

VIII. Ταῦτα τοῦ Πέτρου λέγοντος, οἱ ὄχλοι ὥσπερ ὑπό τινος κληθέντες εἰσῄεσαν ἔνθα ὁ Πέτρος ἦν. ὁ δὲ τὸν πολὺν ὄχλον ἰδὼν ὥσπερ ποταμοῦ ἥσυχον ῥεῦμα πρᾴως προσρέοντα, ἔφη τῷ Μαροόνῃ· ποῦ σοι τόπος ἐνταῦθα μᾶλλον τοὺς ὄχλους χωρεῖν δυνάμενος; τοῦ δὲ[2] Μαροόνου εἰς τόπον ὕπαιθρον κεκηπευμένον προάγοντος αὐτόν, εἵποντο οἱ ὄχλοι. ὁ δὲ Πέτρος ἐπί τινος βάσεως ἀνδριάντος οὐ πάνυ ὑψηλῆς[3] ἐπιστάς, ἅμα τῷ τὸν ὄχλον θεοσεβεῖ ἔθει προσαγορεῦσαι, εἰδὼς πολλοὺς ἐκ τῶν παρεστώτων ὄχλων ὑπὸ δαιμόνων τε καὶ πολλῶν παθῶν ἐκ πολλῶν χρόνων ἐνοχλουμένους, βρύχοντάς τε μετ' οἰμωγῆς καὶ πίπτοντας μεθ' ἱκεσίας, ἐπιτιμήσας αὐτοῖς καὶ ἡσυχίαν ἔχειν προστάξας καὶ τὴν ἴασιν μετὰ τὸ διαλεχθῆναι ὑποσχόμενος τοῦ λέγειν ἤρξατο οὕτως.

IX. Ἀρχόμενος τὸν ὑπὲρ θεοσεβείας λόγον ποιεῖσθαι τοῖς παντελῶς ἀγνοοῦσι τὰ[4] πάντα, καὶ ὑπὸ τῶν τοῦ ἀντικειμένου ἡμῖν Σίμωνος διαβολῶν ἐσπιλωμένοις τὸν νοῦν, ἀναγκαῖον ἡγησάμην πρῶτον, ὑπὲρ τοῦ μὴ δεῖν μέμφεσθαι τὸν τὰ πάντα πεποιηκότα Θεὸν[5] τὸν λόγον ποιήσασθαι,

est bonis operibus. Ceterum si cui donatum fuerit, et Jesum et Moysem cognoscere, tamquam una doctrina ab utroque praedicata, hic vir in Deo dives censebitur, qui vetera nova tempore, et nova, quae vetera sunt, intelligit.

VIII. Haec Petro dicente omnis multitudo, quasi ab aliquo evocata, ingressa est ubi erat Petrus. Ut autem ille vidit turbas, velut amnis placidum fluentum leniter commeantes, dixit Marooni: ubi heic tibi locus est, qui magis possit capere hanc multitudinem? Et Maroone deducente cum in subdialem horto excultum locum, secutae sunt turbae. Petrus autem super basim statuae non admodum excelsam consistens, simul atque populum more religioso salutasset, videns multos adstantis plebis a daemonibus et pluribus morbis jam diu molestatos, ac stridere cum ululatu, et procidere cum supplicatione, increpitis iis, silentiumque tenere jussis, necnon pollicitus curationem post habitum sermonem, ita loqui coepit.

IX. Incipiens de vero Dei cultu facere sermonem ad eos qui penitus ignorant omnia, quorumque mens per adversarii nostri Simonis calumnias foedata est, necessarium duxi, primo sermonem habere de eo, quod non oporteat omnium creatorem Deum culpare, non aliunde incipiens, quam ab ista quae

1. εἴτις O c. Cl, ἤ τις C.
2. δὲ om. O. Tum τόπον Epit. c. 62, τὸν C O. Deinde αὐτόν om. O.
3. Ita O c. S, ὑψιλῆς C.
4. τὰ deest in O.
5. Θεὸν O, ut legi jubet et C, in cuj. textu θεοῦ.

www.libtool.com.cn

οὐκ ἄλλοθεν ἀρχόμενος, ἢ ἀπ' αὐτῆς τῆς κατὰ πρόνοιαν ὑπ' αὐτοῦ εὐκαίρως ὑποβληθείσης προφάσεως· ἵνα γνωσθῇ, ὡς εὐλόγως οἱ πολλοὶ ὑπὸ πολλῶν δαιμόνων συνεσχέθησαν καὶ ὑπὸ ἀλλοκότων παθῶν κατελήφθησαν, ὅπως καὶ ἐν τούτῳ τὸ τοῦ Θεοῦ δίκαιον φανῇ. καὶ οἱ δι' ἄγνοιαν μεμιφόμενοι αὐτόν, κἂν[1] νῦν μαθόντες ὡς δεῖ φρονεῖν, δι' εὐφημίας τε καὶ εὐποιΐας τοῦ προτέρου ἐγκλήματος ἑαυτοὺς ἀνακαλέσωνται[2], αἰτίαν τοῦ κακοῦ τολμήματος τὴν ἄγνοιαν εἰς τὴν συγγνώμην προθέμενοι.

X. Ἔχει δὲ οὕτως. τοῦ μόνου ἀγαθοῦ Θεοῦ τὰ πάντα καλῶς πεποιηκότος καὶ παραδεδωκότος τῷ κατ' εἰκόνα αὐτοῦ γενομένῳ[3] ἀνθρώπῳ, ὁ γεγονὼς τῆς τοῦ πεποιηκότος αὐτὸν πνέων θειότητος, ἀληθὴς προφήτης ὢν καὶ εἰδὼς τὰ ὅλα, εἰς τιμὴν τοῦ πάντα αὐτῷ δωρησαμένου πατρὸς καὶ εἰς σωτηρίαν τῶν ἐξ αὐτοῦ γενομένων υἱῶν, ὡς πατὴρ γνήσιος πρὸς τοὺς ὑπ' αὐτοῦ γενομένους παῖδας ἀποσώζων τὸ εὔνουν, βουλόμενος αὐτοὺς πρὸς τὸ συμφέρον αὐτοῖς φιλεῖν Θεὸν καὶ φιλεῖσθαι ὑπ' αὐτοῦ, τὴν πρὸς φιλίαν αὐτοῦ ἄγουσαν ἐξέφηνεν ὁδόν, διδάξας ποίαις ἀνθρώπων πράξεσιν ὁ μόνος καὶ πάντων δεσπότης Θεὸς εὐφραίνεται, καὶ τὰ ἐκείνῳ δοκοῦντα ἐκφήνας νόμιον αἰώνιον ὥρισε τοῖς[4] ὅλοις, μήθ' ὑπὸ πολεμίων[5] ἐμπρησθῆναι δυνάμενον, μήθ' ὑπὸ ἀσεβοῦς τινὸς ὑπονοθευόμενον, μήτε ἐνί τόπῳ ἀποκεκρυμμένον, ἀλλὰ πᾶσιν ἀναγνωσθῆναι δυνάμενον. ἦν οὖν αὐτοῖς ἐκ τῆς πειθαρχίας τοῦ νόμου πάντα ἄφθονα, τὰ τῶν καρπῶν κάλλιστα,

providenter ab eo opportune subjecta fuit occasio, ut cognoscatur quod recta ratione complures a multis daemonibus obsessi sunt et a diversis difficilibusque morbis comprehensi, ut per hoc quoque appareat justitia Dei. Et qui per ignorantiam illum accusarunt, si nunc, discentes quid sentiendum sit, per bonam praedicationem et bona opera a priori crimine se revocent, causam mali facinoris ignorantiae, ut veniam consequantur, adscribentes.

X. Ita vero habet. Cum Deus, qui solus bonus est, cuncta bene creasset ac homini ad imaginem suam facto tradidisset, is homo conditoris sui spirans divinitatem, cum esset verus Propheta et universa cognosceret, in honorem patris qui omnia illi concesserat, et ob salutem ex se futurorum filiorum, tamquam germanus pater benevolentiam erga a se gignendos liberos conservans, quos cuperet ad eorum utilitatem diligere Deum et a Deo diligi, iter quod ad illius duceret amicitiam demonstravit, docuitque quibusnam hominum actionibus solus omniumque Dominus Deus delectetur: et ostensis, quae illi placerent, legem aeternam cunctis sanxit, quae nec ab hostibus consumi posset, nec ab ullo impio interpolanda esset, nec uno in loco absconderetur, sed a cunctis posset legi. Erant ergo illis, ex obedientia legis, cuncta affatim, fru-

1. καὶ C.
2. ἀνακαλέσονται C.
3. γενωμένῳ O.
4. τοῖς excidit ap. Cl. (Edd. 1698. 1724) et S.
5. μήτε πολέμων C, μήθ' ὑπὸ πολεμίων D, μήτε πολεμίοις conj. S, μήτε πολέμῳ O.

τὰ τῶν ἐτῶν τέλεια καὶ ἄλυπα καὶ ἄνοσα, μετὰ πάσης τῆς τῶν ἀέρων εὐκρασίας ἀδεῶς δεδωρημένα.

XI. Οἱ δὲ ἐπεὶ μὴ πρῶτον τῶν κακῶν ἐπειράσθησαν, πρὸς αὐτὴν[1] τῶν ἀγαθῶν δωρεὰν ἀναισθήτως ἔχοντες ὑπὸ τῆς ἀφθόνου τροφῆς καὶ τρυφῆς εἰς ἀχαριστίαν ἐξετρέποντο, ὡς νομίσαι αὐτοὺς μήθ' εἶναι πρόνοιαν, ἐπεὶ μὴ πρότερον καμόντες ἐπὶ δικαιοσύνης ὡς μισθὸν τὰ ἀγαθὰ εἰλήφεσαν, ἄτε μηδενὸς αὐτῶν ἢ πάθει τινὶ ἢ νόσῳ ἢ ἄλλῃ τινὶ ἀνάγκῃ ὑποπεσόντος· ἵνα, ὡς ἀνθρώποις φίλον ἐστὶν ὑπὸ τῆς κακῆς διαμαρτίας[2] κακωθεῖσιν, ἑαυτοῖς τὸν ἰᾶσθαι δυνάμενον περιβλέψωνται Θεόν. ἀλλὰ γὰρ εὐθέως μετὰ τὴν ἐκ τῆς ἀφοβίας καὶ ἀδεοῦς τρυφῆς καταφρόνησιν, ὥσπερ ἐξ ἁρμονίας τινὸς ἀκολούθως ἐφηρμοσμένης, δικαία τις αὐτοῖς ἀπήντησε τιμωρία, τὰ μὲν γὰρ[3] ἀγαθὰ ὡς βλάψαντα ἀπωθοῦσα, τὰ δὲ κακὰ ὡς ὠφελήσαντα ἀντεισφέρουσα.

XII. Τῶν γὰρ τὸν οὐρανὸν ἐνοικούντων[4] πνευμάτων οἱ τὴν κατωτάτω χώραν κατοικοῦντες ἄγγελοι, ἀχθεσθέντες ἐπὶ τῇ τῶν ἀνθρώπων εἰς Θεὸν ἀχαριστίᾳ, αἰτοῦνται εἰς τὸν ἀνθρώπων ἐλθεῖν βίον, ἵνα ὄντως ἄνθρωποι γενόμενοι, ἐπὶ πολιτείᾳ πλείονι τοὺς εἰς αὐτὸν ἀχαριστήσαντας ἐλέγξαντες αὐτόθι τῇ κατ' ἀξίαν ἕκαστον ὑποβάλωσι τιμωρίᾳ. ὁπότε οὖν

ges pulcerrimae, anni completi, sine tristitia, sine morbis, cum saluberrima aëris temperie tuto donati.

XI. At illi, quia nondum mala experti fuerant, ad ipsum bonorum donum sensu destituti, per ciborum et deliciarum abundantiam ad ingrati animi vitium declinaverunt, ut arbitrarentur non exsistere Providentiam, quod nullo praecedente justitiae labore bona ut mercedem recepissent, utpote nullo ex ipsis in casum aliquem vel morbum aut ullam necessitatem delapso: adeo ut, quemadmodum solent homines a prava aberratione afflicti, Deum, qui eos poterat sanare, despicerent. Verum enimvero statim post contemtum, ex metus vacuitate et secura voluptate procedentem, velut ab harmonia quadam consequenter adaptata, justa eos invasit punitio, quae bona quidem ut noxia expulit, mala vero ut adjutura contra induxit.

XII. Nam ex caeli incolis spiritibus ii, qui infimam regionem habitant Angeli, offensi ingrato hominum erga Deum animo postulant, in vitam hominum venire liceat, ut vere homines facti, per multam conversationem redargutis qui in Deum ingrati fuerant, confestim unumquemque merito afficerent

1. τὴν C.

2. δι' ἁμαρτίας O. S: Locus multifariam corruptus. Dativus ἑαυτοῖς offendit contra leges linguae graecae, et quid ἰᾶσθαι sibi velit, difficile est intellectu; denique περιβλέπεσθαι non idem significat, quod „despicere." Conjectaverim esse scribendum ἀδεῶς τὸν τιμωρεῖσθαι δυνάμενον παραβλέψωνται θεόν.

3. γὰρ om. O, ad cuj. oram monetur: νοθεύεται.

4. ἐνοικούντων Cl. (1698 et 1724), ἐποικούντων S.

www.libtool.com.cn

αἰτήσαντες ἔλαβον, πρὸς πᾶσαν ἑαυτοὺς μετέβαλλον[1] φύσιν, ἅτε θειοδεστέρας ὄντες οὐσίας καὶ ῥᾳδίως πρὸς πάντα μετατρέπεσθαι δυνάμενοι. καὶ ἐγένοντο λίθος τίμιος, καὶ μαργαρίτης περίβλεπτος, πορφύρα τε εἰ τύχοι καλλίστη, καὶ χρυσὸς ἔνδοξος, καὶ πᾶσα[2] πολυτίμιος ὕλη. καὶ τῶν μὲν εἰς χεῖρας, τῶν δὲ εἰς κόλπον ἐνέπιπτον, καὶ ὑπ' αὐτῶν ἑκόντες ἐκλέπτοντο. μετεβάλλοντο δὲ καὶ εἰς τετράποδα καὶ εἰς ἑρπετά, νηκτά τε καὶ πτηνά, καὶ εἰς πᾶν ὅπερ ἤθελον. ἄτινα[3] καὶ οἱ παρ' ὑμῖν ποιηταὶ ἀφοβίας αἰτίᾳ ὡς ἔτυχεν ᾄδουσιν, ἐνὶ[4] τοίνυν τὰς πάντων πολλὰς καὶ διαφόρους πράξεις ἀπονέμοντες.

XIII. Πλὴν ὅτε ταῦτα γενόμενοι τοὺς διαρπάσαντας αὐτοὺς πλεονέκτας ἤλεγξαν, καὶ εἰς τὴν ἀνθρώπων φύσιν ἑαυτοὺς μετέβαλλον[5], ἵνα ὁσίως πολιτευσάμενοι καὶ τὸ δυνατὸν τοῦ πολιτεύεσθαι δείξαντες τοὺς ἀχαρίστους[6] εὐθύναις ὑποβάλωσιν, ἐπειδὴ ὄντως τὰ πάντα ἄνθρωποι ἐγίνοντο καὶ τὴν ἐπιθυμίαν ἔσχον τὴν ἀνθρωπίνην, ὑπὸ ταύτης κρατούμενοι εἰς γυναικῶν μῖξιν ὥλισθον, αἷς συμπλακέντες καὶ μιασμῷ παγέντες καὶ τῆς πρώτης δυνάμεως παντελῶς κενωθέντες τὰ ἐκ πυρὸς τραπέντα μέλη εἰς τὸ πρῶτον αὐτῶν τῆς[7] ἰδίας φύσεως ἁμίαντον μετασυγκρῖναι οὐκ ἐξίσχυσαν. τῷ γὰρ βάρει τῷ ὑπὸ τῆς ἐπιθυμίας εἰς σάρκα τελευτήσαντος αὐτοῦ τοῦ[8] πυρός, τὴν ἀσεβοῦσαν ὥδευσαν ὁδὸν κάτω· σαρκὸς γὰρ αὐτοὶ δεσμοῖς πεπε-

supplicio. Quando igitur quod petierant acceperunt, in omnem se mutarunt naturam, ut qui divinioris essent substantiae, facileque in omnia possent converti. Et facti sunt lapis pretiosus, et margarita conspicua, et purpura si quae pulcerrima, et aurum insigne, ac omnis magnifica materia. Atque in aliorum quidem manus, in aliorum vero sinum inciderunt, et ab iis sponte rapiebantur. Sed et transformati sunt in quadrupedes et serpentes, pisces et aves, ac in quodcumque volebant. Quae vestri etiam poetae, quod nihil timeant, pro libito canunt, uni nempe omnium multa et varia opera tribuentes.

XIII. Ceterum quando haec facti raptores suos avaros ostenderunt, et in hominum naturam mutaverunt se, quo sancte viventes et vitam sanctam esse possibilem monstrantes ingratos poenis subderent: quoniam, inquam, vere omnino homines existebant et habebant concupiscentiam humanam, ab ea subjugati in feminarum concubitum lapsi sunt, quibus commisti, et piaculo confixi, atque a prima virtute vacuati penitus, ex igne conversa membra in primam naturae suae puritatem non valuerunt instaurare. Nam per pondus ex carnali concupiscentia ortum ipso igne desinente, per impiam viam infra incesserunt.

1. *μετέβαλον* C.
2. *πᾶσι* O.
3. *ἅπερ* O. Postea c. eodem *αἰτίᾳ*, ut voluit S, *αἰτίαν* vulgo.
4. *ενει* O absque spiritu et accentu.
5. *μετέβαλον* C.
6. Vbb. *δείξαντες τοὺς ἀχαρίστους* desiderantur in O.
7. Mendum *τὴν* S male attribuit Cotelerio: extat ap. Cl.
8. *αὐτῶν* C.

δημένοι κατέσχηνται[1] καὶ ἰσχυρῶς δέδενται, οὗ ἕνεκεν εἰς οὐρανοὺς ἀνελθεῖν οὐκέτι ἐδυνήθησαν.

XIV. Μετὰ γὰρ συνουσίαν, ὃ[2] τὸ πρῶτον ἐγίνοντο ἀπαιτηθέντες καὶ παρασχεῖν μηκέτι δυνηθέντες, διὰ τὸ ἄλλο τι μετὰ μιασμὸν ἑαυτοὺς[3] ποιῆσαι μὴ δύνασθαι, ἀρέσκειν τε ταῖς ἐρωμέναις βουλόμενοι ἀνθ' ἑαυτῶν τοὺς τῆς γῆς μυελοὺς ὑπέδειξαν, λέγω δὲ τὰ ἐκ μετάλλων ἄνθη, χρυσόν, χαλκόν, ἄργυρον, σίδηρον καὶ τὰ ὅμοια, σὺν τοῖς τιμιωτάτοις ἅπασιν λίθοις. σὺν τούτοις δὲ τοῖς μαγευθεῖσιν[4] λίθοις καὶ τὰς τέχνας τῶν πρὸς ἕκαστα πραγμάτων παρέδοσαν[5], καὶ μαγείαν συνυπέδειξαν[6] καὶ ἀστρονομίαν ἐδίδαξαν, δυνάμεις τε ῥιζῶν καὶ ὅσα ποτὲ ὑπὸ ἀνθρωπίνης ἐννοίας εὑρεθῆναι ἀδύνατον, ἔτι δὲ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ὁμοίων χύσιν, τάς τε τῶν ἐσθήτων[7] ποικίλας βαφάς. καὶ πάνθ' ἁπλῶς, ὅσαπερ πρὸς κόσμιον καὶ τέρψεώς ἐστι γυναικῶν, τῶν ἐν σαρκὶ δεθέντων δαιμόνων ἐστὶν εὑρήματα[8].

XV. Ἐκ δὲ τῆς νόθου μίξεως αὐτῶν ἄνθρωποι ἐγένοντο νόθοι, πολλῷ γε τῶν ἀνθρώπων κατὰ κορυφὴν μείζους, οὓς οἱ[9] μετὰ ταῦτα γίγαντας ὠνόμασαν, οὐ δρακοντόποδες ὄντες καὶ πρὸς Θεὸν πόλεμον ἀράμενοι, ὡς οἱ βλάσφημοι τῶν Ἑλλήνων ἄδουσι μῦθοι, ἀλλὰ θηριώδεις τὸν τρόπον, καὶ μείζους μὲν ἀνθρώπων τὰ μεγέθη, ἐπείπερ ἐξ ἀγγέλων ἐγένοντο, ἀγ-

Siquidem, carnis vinculis compediti, detenti sunt ac fortiter ligati, propter quod non potuerunt amplius in caelos adscendere.

XIV. Etenim post concubitum, quod ante fuerant repetere jussi nec amplius valentes praestare, quoniam aliud non poterant post inquinamentum facere, et adamatis mulieribus placere cupientes, pro se ipsis viscera terrae ostenderunt, decus, inquam, metallorum, aurum, aes, argentum, ferrum et similia, cum omnibus pretiosis lapidibus. Cum his autem praestigiosis gemmis tradiderunt et artes ad singula pertinentes, et magicas scientias monstraverunt, et astronomiam docuerunt, item stirpium vires, nec non quaecumque humana mens non potuisset invenire, adhuc et auri argentique ac similium fusionem, atque vestium diversas tincturas. Denique omnia prorsus, quae ad ornatum et oblectationem mulierum spectant, daemonum in carne ligatorum sunt inventa.

XV. Ex adulterina autem illarum conjunctione nati sunt homines spurii, multo hominibus statura majores, quos postea Gigantes nominaverunt, non anguipedes et adversus Deum bellum adorti, ut impiae Graecorum decantant fabulae, sed feri moribus, et hominibus quidem mole corporis majores, utpote

1. κατέχονται C.
2. Ita O et C ex conject., ὃν id. in textu.
3. αὐτοὺς C.
4. μεγευθεῖσι O.
5. Ita O c. S, παρέδωσαν C.
6. μαγείας ὑπέδειξαν C.
7. ἐσθημάθων O.
8. εὑρέματα O.
9. οἱ inserui c. O. Dein τοῦτο C.

www.libtool.com.cn

γέλων δὲ ἐλάττους, ἐπείπερ ἐκ γυναικῶν γεγένηντο[1]. ὁ οὖν Θεὸς εἰδὼς αὐτοὺς πρὸς τὸ θηριῶδες ἐξηγριωμένους, καὶ πρὸς τὴν ἑαυτῶν πλησμονὴν τὸν κόσμον οὐκ ἔχοντας[2] αὐτάρκη (πρὸς γὰρ ἀνθρώπων ἀναλογίαν ἐδημιουργήθη καὶ χρῆσιν ἀνθρωπίνην), ἵνα μὴ ἐνδεία τροφῆς[3] ἐπὶ τὴν παρὰ φύσιν τῶν ζώων βορὰν τρεπόμενοι ἀνεύθυνοι δοκῶσιν εἶναι, ὡς δι' ἀνάγκην τοῦτο τετολμηκότες, μάννα αὐτοῖς ὁ παντοδύναμος Θεὸς ἐπώμβρισεν[4] ἐκ ποικίλης ἐπιθυμίας, καὶ παντὸς οὗπερ ἐβούλοντο ἀπήλαυον· οἱ δ'[5] ὑπὸ νόθου φύσεως, τῷ καθαρῷ τῆς τροφῆς οὐκ ἀρεσκόμενοι, μόνης τῆς τῶν αἱμάτων γεύσεως ἐγλίχοντο. διὸ καὶ πρῶτοι σαρκῶν ἐγεύσαντο.

XVI. Οἱ δὲ σὺν αὐτοῖς ἄνθρωποι τὸ ὅμοιον τότε πρῶτον ποιεῖν ἐζήλωσαν. οὕτως εἴτε ἀγαθοὶ εἴτε κακοὶ οὐ γεννώμεθα[6], ἀλλὰ γινόμεθα· καὶ ἐθισθέντες δυσαποσπάστως ἔχομεν. τῶν δὲ ἀλόγων ζώων τότε ἐπιλιπόντων, οἱ νόθοι ἄνθρωποι καὶ ἀνθρωπίνων σαρκῶν ἐγεύσαντο[7], οὐκέτι γὰρ αὐτοῖς ἦν μακράν, τὴν ἴσην διαφθεῖραι σάρκα, πρότερον ἐν ἑτέραις μορφαῖς αὐτῆς[8] γευσάμενοι.

XVII. Ἐπὶ δὲ τῇ πολλῇ τῶν αἱμάτων ῥύσει ὁ καθαρὸς ἀὴρ ἀκαθάρτῳ ἀναθυμιάσει μιανθεὶς καὶ νοσήσας τοὺς ἀναπνέοντας αὐτὸν νοσώδεις ἀπεργάζετο[9], ὡς τοὺς ἀνθρώπους λοιπὸν ἀώρους ἀποθνήσκειν. ἡ δὲ γῆ ἐκ τού-

ex Angelis orti, Angelis vero minores, ut ex feminis geniti. Deus ergo, cernens illos ad feritatem exasperatos, quibusque ad satietatem mundus non sufficeret (nam ad hominum proportionem et ad usus humanos conditus est orbis), ne victus inopia ad naturae repugnantem esum animalium conversi insontes esse viderentur, quasi id ex necessitate auderent, illis Deus omnipotens manna pluit ex varia cupiditate, atque omni desiderato fruiti sunt. At illi, ob spuriam naturam puro cibo non delectati, solum sanguinis gustum appetebant. Quare et primi carnes degustarunt.

XVI. Qui vero cum illis degebant homines, tunc primum idem aemulatione ducti fecerunt. Ita vel boni vel mali non nascimur, sed fimus; et assuefacti vix retrahimur. Porro cum brutae animantes tunc deficerent, nothi homines etiam humanas ederunt carnes: non enim jam longe aberant a vivolanda sua carne, qui prius in aliis speciebus carnem gustaverant.

XVII. Per multum vero sanguinem fusum purus aër impuro foedatus vapore et insalubris factus ipsum spirantes reddidit morbis obnoxios, ut deinceps homines immaturi morerentur. Terra autem ideo valde polluta tunc primum

1. γεγέννηντο O.
2. Ita correxit C, cujus Cod. ἔχοντες, ut O.
3. Ita dedi ex conject., ἐνδείᾳ τροφαῖς O, ἐν διατροφῇ C. Postea τραπόμενοι O.
4. Ita S. Idem est Cod. Oi ἐπώνβρησεν, ap. C ἐπόνβρισεν.
5. Ita S, οἵθ' C O.
6. οὐκ ἐγεννώμεθα C.
7. ἐγεύσοντο S. Tum ἰδίαν p. ἴσην C.
8. Ita O c. S, αὐτοῖς C. Subinde γευσαμένοις C.
9. ἀπειργάζετο S O, ἀπεργάζετο C.

www.libtool.com.cn

σῃ, προσκυνῶν ὑμᾶς καὶ θύων καὶ σπένδων καὶ τῆς ὑμετέρας μεταλαμβάνων τραπέζης, ἢ ἕτερόν τι ὧν οὐ χρὴ ἐκτελῶν, ἢ αἷμα χέων, ἢ σαρκῶν νεκρῶν[1] γευόμενος, ἢ θηρίου λειψάνου ἢ τμητοῦ ἢ πνικτοῦ ἢ ἄλλου τινὸς ἀκαθάρτου ἐμπιπλάμενος[2]. τῶν δὲ νόμιμα ἐμοὶ προσφευγόντων οὐ μόνον οὐ ψαύσετε, ἀλλὰ καὶ τιμὴν δώσετε, καὶ ἐκ προσώπου φεύξεσθε[3]. ὅ τι γὰρ ἂν αὐτοῖς δίκαιοις οὖσι καθ' ὑμῶν δοκῇ, τοῦθ' ὑμᾶς δεήσει παθεῖν. ἐὰν δέ τινες τῶν[4] ἐμοὶ προκειμένων ἐξαμάρτωσιν, ἢ μοιχευσάμενοι[5] ἢ μαγεύσαντες ἢ ἀκαθάρτως βιώσαντες ἢ ἄλλο τι τῶν ἐμοὶ μὴ δοκούντων πράξαντες, τότε ἐξ ἐμῆς κελεύσεως πάσχειν τι αὐτοὺς ὑφ' ὑμῶν ἢ ὑφ' ἑτέρων δεήσει· οἷς καὶ μετανοήσασιν, τὴν μετάνοιαν κρίνας, εἴτε ἀξία[6] ἐστὶ συγγνώμης εἴτε καὶ οὔ, τὴν ἀπόφασιν ποιήσομαι. ταῦτα οὖν μνημονεύειν καὶ ποιεῖν[7] ὀφείλετε, εὖ εἰδότες, ὅτι οὐδὲ αἱ ἐνθυμήσεις ὑμῶν λαθεῖν αὐτὸν δυνήσονται.

XX. Τοιαῦτα παρακελευσάμενος αὐτοῖς ὁ ἄγγελος ἀπηλλάγη. ὑμεῖς δὲ ἔτι τοῦτον ἀγνοεῖτε τὸν νόμον, ὅτι προσκυνῶν τις δαίμονας ἢ θύων ἢ τραπέζης αὐτοῖς κοινωνῶν ὑπόδουλος αὐτοῖς γενόμενος ὡς ὑπὸ κακῶν δεσποτῶν πάσης τῆς ἐξ αὐτῶν μεθέξει τιμωρίας· καὶ διὰ τὴν ἄγνοιαν ταύτην τοῖς αὐτῶν βωμοῖς προσφθαρέντες καὶ αὐτῶν ἐκπληρωθέντες ὑπὸ τὴν αὐ-

subjecit, adorans vos, et sacrificans, et libans, et vestrae coenae particeps, aut quidpiam aliud quod non deceat perficiens, vel fundens sanguinem, vel gustatis mortuis carnibus, vel ferae reliquiis, secto, suffocato, aut alio immundo repletus. Eos vero qui ad legem meam confugiunt, non modo non tangetis, sed et honore donabitis, et coram fugietis. Quodcumque enim ipsis, utpote justis, contra vos placuerit, id vos necesse erit pati. Quod si nonnulli ex illis, qui mihi adhaerent, aberrarint, vel adulterantes, vel magiam exercentes, vel impure viventes, vel aliquid aliud eorum quae mihi displicent operati, tunc oportebit, ut ipsi ex jussu meo aliquid patiantur aut a vobis, aut ab aliis. Quibus et poenitentibus, poenitentiam ponderans, an ea veniam mereatur nec ne, sententiam pronuntiabo. Haec ergo reducere in memoriam et facere debetis, probe gnari, quod nec cogitationes vestrae eum latere poterunt.

XX. Haec postquam illis suasisset Angelus, abiit. Vos autem adhuc illam ignoratis legem, quod qui colit daemones, vel sacrificat, vel cum illis mensa communicat, sub servitutem eorum redactus, tamquam a malis dominis omnes ex illis feret poenas. Et propter hanc ignorantiam, qui ad eorum aras perniciose accessistis atque iis expleti estis, venistis sub eorum potestatem: et

1. νεκρῶν praetermiserunt Cl (Edd. 1695. 1724) et S. Subinde γενόμενος O c. S, γενομένων C. Tum θηητοῦ p. τμητοῦ C.
2. ἐμπιμπλώμενος C.
3. Ita O c. S, φεύξησθε C. Subinde ὅτι O
4. τῶν om. O.
5. ἐξαμαρτῶσιν, ἢ μοιχησάμενοι C.
6. ἀξι (sic) O.
7. ποιεῖν excidit ap. S.

www.libtool.com.cn

ὑβριζόμενοι τὰ σώματα ἀγνοεῖτε. [illegible] λοιμονες ἔχουσιν ἐξουσίαν, ἐὰν μὴ πρό- [illegible] ὁπότε οὐδὲ ὁ αὐτῶν ἄρχων παρὰ [illegible] μενον[2] νόμιον ποιεῖν τι δύναται, διὸ [illegible] προσεπνήσαντος αὐτόν· ἀλλ' οὐδὲ λαβεῖν τις [illegible] θέλει, ἀλλ' οὐδὲ βλαβῆναι οὐδέν, ὡς ἐκεῖθεν

[illegible] τῆς συνήθειας ἡμῶν βασιλεῖ προσῆλθέ ποτε[4] ὁ πρόσκαι- [illegible] οὐ γὰρ ἐξῆν, ἀλλὰ προτρέπων καὶ ἀνα- [illegible] ἐπὶ τῇ[6] ἑκάστου κεῖται ἐξουσίᾳ. προσελθὼν [illegible] βασιλεύς, τῷ τῶν μελλόντων βασιλεῖ ἔφη· [illegible] βασίλειαι ὑπόκεινται ἐμοί, ἔστι τε ὁ χρυσὸς καὶ ἡ [illegible] τοῦ κόσμου τούτου ὑπὸ ταῖς ἐμαῖς ἐστὶν ἐξου- [illegible] προσκύνησόν μοι, καὶ δώσω σοι πάντα ταῦτα. ταῦτα δὲ [illegible] μετὰ τὸ[8] προσκυνῆσαι καὶ τὴν κατ' αὐτοῦ εἶχεν ἐξουσίαν, [illegible] μᾶλλον τῆς δόξης καὶ βασιλείας αὐτὸν[10] ἀφήρει. καὶ πάντα [illegible] αὐτὸν οὐ προσεκύνησεν, ἀλλ' οὐδὲ τῶν ὑπ' αὐτοῦ δεδομέ- [illegible] ἐθέλησεν· ἑαυτὸν γὰρ σὺν τοῖς ἑαυτοῦ κατενεχύραζεν, [illegible] τοῦ λοιποῦ τῶν αὐτῷ[12] ἀποδοθέντων μηδὲ ψαῦσαι

[illegible] omni modo fuerint contumeliae objecta, nescitis. Scire autem [illegible] in nullum daemones habere potestatem, nisi quis prius conviva [illegible] (Quandoquidem neque princeps illorum aliquid potest facere con- [illegible] huc in eos latam. Quare nullius habet potestatem, qui non ipsum [illegible] Sed nec quis potest aliquid eorum, quae cupit, ab illis consequi, [illegible] modo ullatenus, ut isthinc discere potestis.

[illegible] Nam ad nostrum pietatis regem accessit aliquando temporalis rex, [illegible] neque enim licebat, sed hortans et suadens, quia persuaderi in [illegible] arbitrio. Accedens ergo, ut rerum praesentium rex, [illegible] dixit. omnia praesentis mundi regna mihi subjacent, et [illegible] aurum et argentum omnesque istius mundi deliciae sub mea sunt [illegible] quare cadens adora me, et dabo tibi ea omnia. Haec porro dicebat, [illegible] quod post adorationem habuisset in illum potestatem, sicque et [illegible] regno privasset. At qui omnia sciebat, non modo illum non [illegible] sed nec quidquam, illius donorum voluit accipere. Se enim cum [illegible] quod est, non licere posthac quidquam ab ipso traditorum

1. [illegible] O.
2. [illegible] O. Tum δι' ὃ C.
3. [illegible]
4. Vide Matth. 4. Luc. 4.
5. [illegible] ex O.
6. [illegible] N O. ἐπὶ C.
7. ἂν Cl, non C, ut falso scribit S.
8. τοῦ O.
9. οὕτως C.
10. Ita S, ἑαυτὸν C O.
11. δεδομένων in text. recepi c. O.
12. αὐτῷ non legitur in O S. Tum

www.libtool.com.cn

ἔτι. ἀποκρινάμενος οὖν ἔφη· Γέγραπται, κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ λατρεύσεις μόνῳ.

XXII. Πλὴν ὁ τῶν ἀσεβῶν[1] βασιλεὺς κατὰ πολλὰ τὸν τῶν εὐσεβῶν βασιλέα πρὸς τὸ ἑαυτοῦ βούλημα παράγειν πειρώμενος καὶ μὴ δυνηθεὶς[2] ἐπαύσατο, πρὸς τὰ λοιπὰ τῆς πολιτείας θηρεύειν αὐτὸν ἐπιχειρῶν. ὑμεῖς δὲ τὸν προορισθέντα νόμιον ἀγνοοῦντες διὰ τῶν κακῶν πράξεων ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ἐγένεσθε. διὸ σῶμα καὶ ψυχὴν ἐμιάνθητε. καὶ ἐν μὲν τῷ παρόντι ὑπό τε παθῶν καὶ δαιμόνων ἐνυβρίζεσθε, ἐν δὲ τῷ μέλλοντι[3] τὰς ψυχὰς κολασθησομένας ἕξετε. τοῦτο δὲ οὐχ ὑμεῖς μόνοι ὑπὸ ἀγνοίας πεπόνθατε, ἀλλὰ καί τινες τοῦ ἡμετέρου ἔθνους, οἵτινες ἐπὶ κακαῖς πράξεσιν ὑπὸ τοῦ τῆς κακίας ἡγεμόνος προληφθέντες, ἔπειτα ὥσπερ ἐπὶ[4] δεῖπνον ὑπὸ πατρὸς υἱῷ τελοῦντος γάμους κληθέντες οὐχ[5] ὑπήκουσαν. ἀντὶ δὲ τῶν ἀπειθησάντων διὰ τὴν πρόληψιν ὁ τοὺς γάμους τῷ υἱῷ τελῶν πατὴρ διὰ τοῦ προφήτου τῆς ἀληθείας ἐκέλευσεν ἡμῖν, εἰς τὰς διεξόδους τῶν ὁδῶν ἐλθοῦσιν, ὅ ἐστι πρὸς ὑμᾶς, καθαρὸν ἔνδυμα γάμου περιβαλεῖν, ὅπερ ἐστὶ βάπτισμα, ὃ εἰς ἄφεσιν γίνεται τῶν πεπραγμένων ὑμῖν κακῶν, καὶ[6] τοὺς ἀγαθοὺς εἰς τὸ Θεοῦ δεῖπνον εἰσάγειν[7] ἐκ τῆς μεταμελείας, εἰ καί τὴν ἀρχὴν ἀπελείφθησαν τῆς εὐωχίας.

vel tangere. Respondit ergo: *Scriptum est, Dominum Deum tuum revereberis, et illi soli servies.*

XXII. Ceterum impiorum rex, cum regem piorum ad suam adducere voluntatem plurimum conatus esset nec potuisset, finem fecit, et in reliqua vita illum nitebatur captare. Vos vero praefinitam ignorantes legem ob mala opera sub illius estis potestate. Quocirca corpore et anima maculam geritis: et in praesenti quidem a morbis et daemonibus illudimini, in futuro autem animabus puniemini. Hoc vero non vos soli ab ignorantia passi estis, sed et nonnulli ex nostra gente, qui in malis operibus a malitiae duce occupati, postea velut ad coenam a patre filii nuptias celebrante invitati, non obedierunt. In locum autem eorum, qui propter occupationem denegaverant, qui filio uuptias celebrabat pater per veritatis Prophetam jussit nobis, ut progressi ad exitus viarum, id est, ad vos, indueremus puram vestem nuptialem, quae est baptisma, quod in remissionem fit peccatorum vestrorum, et ut bonos in Dei coenam inducat ex poenitentia, licet initio ab epulis abfuerint.

fort. leg. ἔτι τι. Deinde C non recte vertit „oppignoravit“ et „ab ipso traditorum.“ Vertere debebat: „oppignoravisset“ et „ipsi traditorum.“

1. ἀσεβῶς' O, in marg. sec. man. ἴσως εὐσεβῶν.
2. καὶ ἠδυνηθεὶς C.
3. τοῖς μέλλουσιν C.
4. ὑπὸ O. Vid. Matth. 22.
5. οὐχ add. c. O.
6. κακῶν καὶ C.
7. εἰσάγει C.

www.libtool.com.cn

XXIII. Ἐνδύμια οὖν εἰ βούλεσθε[1] γενέσθαι θείου πνεύματος, σπουδάσατε πρῶτον ἐκδύσασθαι τὸ ῥυπαρὸν ὑμῶν πρόλημμα, ὅπερ ἐστὶν ἀκάθαρτον πνεῦμα, καὶ μιαρὸν περίβλημα. τοῦτο δὲ οὐκ ἄλλως ἀποδύσασθαι δύνασθε, ἐὰν μὴ πρότερον ἐπὶ καλαῖς πράξεσι βαπτισθῆτε· καὶ οὕτω καθαροὶ σώματί τε καὶ ψυχῇ γενόμενοι τῆς ἐσομένης ἀϊδίου βασιλείας ἀπολαύσετε[2]. μήτε οὖν εἰδώλοις πιστεύετε, μήτε τραπέζης αὐτοῖς κοινωνεῖτε μιαρᾶς, μὴ φονεύσητε, μὴ μοιχεύετε, μὴ μισήσητε οὓς μὴ δίκαιον, μὴ κλέπτετε, μηδὲ κακαῖς[3] τισὶν ὅλως πράξεσιν ἐπιβάλλεσθε. ἐπεὶ τῶν ἐσομένων ἀγαθῶν στερηθέντες τῆς ἐλπίδος ἐν μὲν τῷ παρόντι ὑπό τε κακῶν δαιμόνων καὶ χαλεπῶν παθημάτων συνελασθήσεσθε, ἐν δὲ τῷ ἐσομένῳ αἰῶνι ἀϊδίῳ κολασθήσεσθε πυρί. τὰ μὲν οὖν σήμερον ὑμῖν ῥηθέντα αὐτάρκως ἔχει. λοιπὸν δέ, ὑμῶν οἱ μὲν[4] ὑπὸ παθημάτων ὀχλούμενοι πρὸς τὴν ἴασιν παραμείνατε, τῶν δὲ ἄλλων οἱ βουλόμενοι μετ' εἰρήνης πορεύεσθε.

XXIV. Ταῦτα αὐτοῦ εἰπόντος οἱ πάντες παρέμειναν, οἱ μὲν τοῦ θεραπευθῆναι χάριν, οἱ δὲ τοῦ ἱστορῆσαι τοὺς τῆς θεραπείας ἐπιτυγχάνοντας. ὁ δὲ Πέτρος τὰς χεῖρας αὐτοῖς ἐπιθεὶς μόνον καὶ εὐξάμενος ἰάσατο· ὡς τοὺς μὲν παραχρῆμα θεραπευθέντας γενέσθαι περιχαρεῖς, τοὺς δὲ ἱστορήσαντας ὑπερθαυμάσαι τε καὶ εὐφημήσαντας τὸν Θεὸν βεβαίᾳ ἐλπίδι πιστεῦσαι, ἅμα τε τοῖς[5] θεραπευθεῖσιν ἐπὶ τὰ ἑαυτῶν ἀπιέναι, ἐν-

XXIII. Si vultis itaque ut fiatis vestimentum divini spiritus, enitimini primo exuere sordidam praesumtionem vestram, quae est immundus spiritus, et impurum amiculum. Non potestis autem alia ratione deponere, nisi prius in bonis actionibus baptizemini: atque ita puri corpore et anima effecti futuro perpetuo regno fruemini. Igitur nec idolis credite, nec mensae eorum impurae participes estote, non occidite, non adulterate, non odio prosequimini quos non decet, non furtum facite, neque omnino capessite ulla prava facinora. Alioquin futurorum spe privati in praesenti quidem saeculo a malis daemonibus et a gravibus morbis vexabimini, in futuro autem ignis aeterni feretis supplicium. Quae ergo hodie vobis dicta sunt, sufficiant. De cetero qui vestrum morbis afflictamini, ad recipiendam sanitatem manete, ex aliis vero, qui vultis, cum pace abite.

XXIV. Haec cum dixisset, omnes permanserunt, alii ut curarentur, alii ut viderent eos qui sanitatem reciperent. Petrus autem dumtaxat imponens illis manus et precatus sanavit: adeo, ut qui subito curati fuerant, laetarentur, qui autem viderant, magnopere mirarentur, simulque laudarent Deum, ac firma spe crederent, atque una cum iis qui sanati fuerant, ad sua abirent, mandato ac-

1. εἰ βούλεσθε O et (secundum Clericum) C ex conjectura, textus Ci ἐβούλεσθε.
2. Ita O et Epit. C. 64, ἀπολαύσητε C.
3. μὴ δεκασταῖς O.
4. οἱ μὲν accessit ex O.
5. Ita S, βεβαίας ἐλπίδος πιστεύειν, ἅμα τοῖς C, βεβαίας ἐλπιδι πιστεύειν, ἅμα τοῖς O.

τολὴν ἔχοντας πρωϊτέρου τῇ ὑστεραίᾳ συνελθεῖν. ἀπελθόντων δὲ αὐτῶν, ἐκεῖ μείνας ὁ Πέτρος μετὰ τῶν[1] συνήθων, τροφῆς μεταλαβὼν διανέπαυεν ἑαυτὸν τῷ ὕπνῳ.

## ΟΜΙΛΙΑ Θ'.

I. Τῇ μὲν οὖν[2] ἐπιούσῃ ἡμέρᾳ ὁ Πέτρος ἅμα τοῖς ἑταίροις ἐξιὼν καὶ ἐπὶ τὸν πρὸ μιᾶς τόπον ἐλθὼν καὶ ἐπιστὰς ἤρξατο λέγειν· ὁ Θεὸς τοὺς πάλαι ἀνθρώπους ἀσεβήσαντας πάντας ὕδατι διαφθείρας, ἐκ πάντων ἕνα εὐσεβῆ εὑρών, ἐν λάρνακι μετὰ τριῶν αὐτοῦ[3] υἱῶν καὶ γυναικῶν σωθῆναι ἐποίησεν. ὅθεν συνιδεῖν ἔστιν αὐτοῦ τὴν φύσιν, ὄχλου μὲν ἀσεβούντων μὴ[4] φροντίζουσαν, ἑνὸς δὲ εὐσεβοῦς σωτηρίας οὐκ ἀμελοῦσαν. πασῶν οὖν μείζων[5] ἐστὶν ἀσέβεια τὸ τὸν μόνον πάντων καταλείψαντα δεσπότην πολλοὺς τοὺς οὐκ ὄντας ὡς ὄντας[6] σέβειν θεούς.

II. Ἐὰν οὖν ἐμοῦ ὑμῖν ὑφηγουμένου καὶ δεικνύντος, ὅτι τοῦτό ἐστι τὸ μέγιστον ἁμάρτημα, ὃ πάντας ὑμᾶς ἀπολέσαι δύναται, τὸν ὑμέτερον ὑποδράμῃ[7] νοῦν, ὅτι οὐκ ἀπόλλυσθε, πολλοὶ ὄντες ὄχλοι, ἡπάτησθε· ἔχετε γὰρ τοῦ πάλαι κατακλυσθέντος κόσμου τὸ ὑπόδειγμα· καίτοι ἐκείνων μὲν τὸ ἁμάρτημα πολὺ ἧττον ἦν τοῦ καθ' ὑμᾶς. ἐκεῖνοι γὰρ εἰς

cepto, ut maturius postridie convenirent. Cumque discessissent, ibi manens Petrus una cum familiaribus, cibo sumto, se somno refecit.

## HOMILIA IX.

I. Sequenti quidem die Petrus una cum sodalibus egressus et ad locum praecedentis diei veniens ac consistens coepit dicere: Deus homines olim impios cunctos cum per aquam perdidisset, ac unum ex omnibus pium invenisset, in arca eum cum tribus filiis et eorum uxoribus salvum fecit. Unde apparet divina natura, quae impiorum quidem negligit multitudinem, unius vero pii salutem non despicit. Cunctarum ergo maxima est impietas, solum omnium dominum relinquere, et multos qui non sunt, quasi sint, deos venerari.

II. Si ergo, dum vobis enarro ac ostendo, id maximum esse peccatum, quod vos omnes possit perdere, vestrae menti subveniat, vos non perituros, quia plurimi estis, erratis; habetis quippe mundi olim diluvio inundati exemplum. Et vero illorum peccatum multo erat minus vestro. Illi namque in pares im-

1. μενόντων p. μετὰ τῶν C.
2. οὖν add. c. O. Tum id. ἑταίροις, ut legi vult C, cujus text. ἑτέροις.
3. αὐτοῦ adjunxi c. O.
4. οὐ O.
5. Ita O c. S, μεῖζον C.
6. Vbb. ὡς ὄντας ap. S. non extant.
7. ὑποδράμῃ leg. censet D suffragante O, ἀποδράμῃ C. Postea ὄχλοι; O.

www.libtool.com.cn

τοὺς ὁμοίους[1] ἠσέβουν, ἢ φονεύοντες ἢ μοιχεύοντες, ὑμεῖς δὲ εἰς τὸν τῶν ὅλων ἀσεβεῖτε Θεόν, ἀντ' αὐτοῦ ἢ καὶ σὺν αὐτῷ ἄψυχα ἀγάλματα σέβοντες, καὶ τὸ θεῖον αὐτοῦ ὄνομα πάσῃ ἀναισθήτῳ ὕλῃ ἐπιρρίψαντες. πρῶτον μὲν οὖν δεδυστυχήκατε, μὴ γνωρίσαντες τὴν διαφορὰν τὴν μεταξὺ μοναρχίας καὶ πολυαρχίας, ὅτι ἡ μὲν μοναρχία ὁμονοίας ἐστὶ παρεκτική, ἡ δὲ πολυαρχία πολέμων ἐξεργαστική. τὸ γὰρ ἓν ἑαυτῷ οὐ μάχεται, τὰ δὲ πολλὰ πρόφασιν ἔχει τὴν[2] πρὸς ἕτερον μάχην ἐπιχειρεῖν.

III. Αὐτίκα γοῦν, εὐθὺς[3] μετὰ τὸν κατακλυσμόν, ὁ Νῶε τριακόσια καὶ πεντήκοντα ἐπιζήσας ἔτη μετὰ τῶν ἐξ αὐτοῦ γενομένων ὄχλων ἐν ὁμονοίᾳ διετέλει, τοῦ μόνου Θεοῦ κατ' εἰκόνα ὑπάρξας βασιλεύς. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν πολλοὶ τῶν ἐξ αὐτοῦ βασιλείας ὠρέχθησαν, καὶ πρὸς τὸ βασιλεῦσαι σπεύδοντες τὸ πῶς δυνηθείη ἕκαστος ἐπενόει. καὶ ὁ μὲν πολέμῳ, ἄλλος δόλῳ, ἕτερος πειθοῖ[4], καὶ ἄλλος ἄλλως, ὧν εἷς τις ἀπὸ γένους ὢν Χάμ, τοῦ ποιήσαντος τὸν[5] Μεστρέμ, ἐξ οὗπερ τὰ Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Περσῶν ἐπλήθυνε φῦλα.

IV. Ἐκ τοῦ γένους τούτου γίνεταί τις κατὰ διαδοχὴν μαγικὰ παρειληφώς, ὀνόματι Νεβρώδ, ὥσπερ γίγας ἐναντία τῷ Θεῷ φρονεῖν ἑλόμενος, ὃν οἱ Ἕλληνες[6] Ζωροάστρην προσηγόρευσαν. οὗτος μετὰ τὸν κατακλυσμὸν

pie se gesserunt, aut occidendo, aut adulterando, vos autem in omnium Deum estis impii, pro eo vel cum eo inanima colentes simulacra, sacrumque ejus nomen projicientes ad omnem sensu carentem materiam. Primo itaque infeliciter vobis cessit, quod differentiam inter unius ac multorum principatum ignoratis, quoniam unius principatus concordiae faciendae vim habet, principatus vero multorum effector bellorum est. Quod enim est unum, secum non pugnat, quae vero sunt multa, occasionem habent se invicem aggrediendi certamine.

III. Statim itaque post diluvium Noe annis trecentis et quinquaginta superstes in concordia cum filiorum vixit multitudine, fuitque solius Dei ad imaginem rex. Post mortem vero illius multi posterorum regnum appetierunt, et regnandi studio unusquisque modum excogitavit quo posset regnare. Ille quidem bello, alius dolo, alter suada et alius aliter. E quibus unus exstitit de genere Chami, patris Mesraimi, ex quo Mesraimo Aegyptiorum et Babyloniorum et Persarum gentes creverunt.

IV. Ab hoc genere oritur aliquis, per successionem in magicis institutus, nomine Nebrodus, qui ut gigas contraria Deo sentire elegit: eum Graeci Zo-

1. ὁμοίως O.
2. Fortasse leg. τοῦ. S.
3. εὐθὺ C. Tum τρία καὶ pro τριακόσια C, qui quidem genuinam Ottoboniani lect. jam vidit exstare in Gen. 9, 28.
4. Ita O c. S, πειθῷ C.
5. τὸν adsumpsi ex O. Tum S: leg. Μεσραΐμ, cfr. Rec. IV, 27: „ex quibus unus Cham nomine, cuidam ex filiis suis, qui Mesraim appellabatur.“ Chron. Alex. p. 62. Rad.: οὗτος Μεσραεὶμ ὁ Αἰγύπτιος — οἰκήτωρ γίνεται Βάκτρων.
6. Rec. IV, 27: „hunc gentes, quae tunc erant, Zoroastrem appellaverunt, admiran-

www.libtool.com.cn

βασιλείας ὀρεχθεὶς καὶ μέγας ὢν μάγος, τοῦ νῦν βασιλεύοντος κακοῦ τὸν ὡροσκοποῦντα[1] κόσμον ἀστέρα πρὸς τὴν ἐξ αὐτοῦ βασιλείας δόσιν μαγικαῖς ἠνάγκαζε[2] τέχναις. ὁ δέ, ἅτε δὴ ἄρχων ὢν καὶ τοῦ βιαζομένου[3] τὴν ἐξουσίαν ἔχων, μετ' ὀργῆς τὸ τῆς βασιλείας προσέχεε πῦρ[4], ἵνα πρός τε τὸν ὁρκισμὸν εὐγνωμονήσῃ, καὶ τὸν πρώτως ἀναγκάσαντα τιμωρήσηται[5].

V. Ἐκ ταύτης οὖν τῆς ἐξ οὐρανοῦ χαμαὶ πεσούσης ἀστραπῆς ὁ μάγος ἀναιρεθεὶς Νεβρώδ, ἐκ τοῦ συμβάντος πράγματος[6] Ζωροάστρης μετωνομάσθη, διὰ τὸ[7] τὴν τοῦ ἀστέρος κατ' αὐτοῦ ζῶσαν ἐνεχθῆναι ῥοήν. οἱ δὲ ἀνόητοι τῶν τότε ἀνθρώπων, ὡς διὰ τὴν εἰς Θεὸν φιλίαν[8] κεραυνῷ μεταπεμφθεῖσαν τὴν ψυχὴν νομίσαντες, τοῦ σώματος τὸ λείψανον κατορύξαντες, τὸν μὲν τάφον ναῷ ἐτίμησαν ἐν Πέρσαις, ἔνθα ἡ τοῦ πυρὸς

roastren appellaverunt. Hic post diluvium, regni cupidus, cum magnus esset magus, regnantis nunc mali quae mundum dirigit stellam magicis artibus coëgit ad sibi dandum imperium. Illa vero, utpote princeps et illius quod adigebatur habens potestatem, cum ira ignem regni effudit, ut et adjurationem admitteret et eum qui primo coëgerat puniret.

V. Ex hoc igitur e caelo in terram decidente fulgure sublatus e medio Nebrodus magus propter rem quae contigerat, Zoroastres nominatus est, quod in eum viva irruisset astri defluxio. Sed stulti homines illius temporis, putantes propter amicitiam erga Deum fulmine arcessitam fuisse animam illius, corporis reliquiis defossis templo quidem sepulcrum honorarunt apud Persas,

tes primum magicae artis auctores, cujus nomine etiam libri super hoc plurimi habentur. Hic ergo astris multum ac frequenter intentus et volens apud homines videri Deus, velut scintillas quasdam ex stellis producere et hominibus ostentare coepit, quo rudes atque ignari in stuporem miraculi traherentur; cupiensque augere de se hujusmodi opinionem, saepius ista moliebatur, usque quo ab ipso daemone, quem importunius frequentabat, igni succensus concremaretur."

1. Immo potius ὡρονομοῦντα. S.

2. ἠνάγκασε C.

3. S: C vertit „illius, quod adigebatur", hoc est, τοῦ πυρός. Rectius: „illius, qui adegerat."

4. Vid. C. 6. Ignem regni Zoroastreum commemorant Chron. Alex. p. 88. Rad. Mich. Glycas Annal II. p. 129. Georg. Cedren. Comp. Hist. p. 13. et Suidas voc. Ζωροάστρης. Quinetiam rem ignotam non fuisse Ammiano Marcellino ostendunt ea quae de magis dicit lib. 23 p. 253. Atque hinc videtur originem sumpsisse mos ferendi ignem ante Persarum reges; quos postea imitati sunt Impp. Rom. C.

5. τιμωρήσητε O.

6. Antinoum Hadriani respicere videtur auctor Homiliarum. S.

7. τὸ adjunxi c. O. Cfr. Recogn. IV, 28: „hinc enim et nomen post mortem ejus Zoroaster, hoc est vivum sidus, appellatum est ab his, qui post unam generationem graecae linguae loquela fuerant repleti." Ad quem locum plura dedit Cl. Cfr. praeterea Diog. Laert. Prooem. §. 8: Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι. φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος, ubi vide, quae adnotaverunt Mer. Casaubonus et Menagius. S.

8. δοιλίαν O, cui voci subnotatae in marg. respondet φιλίαν man. sec.

www.libtool.com.cn

δημένοι κατέσχηνται[1] καὶ ἰσχυρῶς δέδενται, οὗ ἕνεκεν εἰς οὐρανοὺς ἀνελθεῖν οὐκέτι ἐδυνήθησαν.

XIV. Μετὰ γὰρ συνουσίαν, ὃ[2] τὸ πρῶτον ἐγίνοντο ἀπαιτηθέντες καὶ παρασχεῖν μηκέτι δυνηθέντες, διὰ τὸ ἄλλο τι μετὰ μιασμὸν ἑαυτοὺς[3] ποιῆσαι μὴ δύνασθαι, ἀρέσκειν τε ταῖς ἐρωμέναις βουλόμενοι ἀνθ' ἑαυτῶν τοὺς τῆς γῆς μυελοὺς ὑπέδειξαν, λέγω δὲ τὰ ἐκ μετάλλων ἄνθη, χρυσόν, χαλκόν, ἄργυρον, σίδηρον καὶ τὰ ὅμοια, σὺν τοῖς τιμιωτάτοις ἅπασιν λίθοις. σὺν τούτοις δὲ τοῖς μαγευθεῖσιν[4] λίθοις καὶ τὰς τέχνας τῶν πρὸς ἕκαστα πραγμάτων παρέδοσαν[5], καὶ μαγείαν συνυπέδειξαν[6] καὶ ἀστρονομίαν ἐδίδαξαν, δυνάμεις τε ῥιζῶν καὶ ὅσα ποτὲ ὑπὸ ἀνθρωπίνης ἐννοίας εὑρεθῆναι ἀδύνατον, ἔτι δὲ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ὁμοίων χύσιν, τάς τε τῶν ἐσθήτων[7] ποικίλας βαφάς. καὶ πάνθ' ἁπλῶς, ὅσαπερ πρὸς κόσμου καὶ τέρψεώς ἐστι γυναικῶν, τῶν ἐν σαρκὶ δεθέντων δαιμόνων ἐστὶν εὑρήματα[8].

XV. Ἐκ δὲ τῆς νόθου μίξεως αὐτῶν ἄνθρωποι ἐγένοντο νόθοι, πολλῷ γε τῶν ἀνθρώπων κατὰ κορυφὴν μείζους, οὓς οἱ[9] μετὰ ταῦτα γίγαντας ὠνόμασαν, οὐ δρακοντόποδες ὄντες καὶ πρὸς Θεὸν πόλεμον ἀράμενοι, ὡς οἱ βλάσφημοι τῶν Ἑλλήνων ᾄδουσι μῦθοι, ἀλλὰ θηριώδεις τὸν τρόπον, καὶ μείζους μὲν ἀνθρώπων τὰ μεγέθη, ἐπείπερ ἐξ ἀγγέλων ἐγένοντο, ἀγ-

Siquidem, carnis vinculis compediti, detenti sunt ac fortiter ligati, propter quod non potuerunt amplius in caelos adscendere.

XIV. Etenim post concubitum, quod ante fuerant repetere jussi nec amplius valentes praestare, quoniam aliud non poterant post inquinamentum facere, et adamatis mulieribus placere cupientes, pro se ipsis viscera terrae ostenderunt, decus, inquam, metallorum, aurum, aes, argentum, ferrum et similia, cum omnibus pretiosis lapidibus. Cum his autem praestigiosis gemmis tradiderunt et artes ad singula pertinentes, et magicas scientias monstraverunt, et astronomiam docuerunt, item stirpium vires, nec non quaecumque humana mens non potuisset invenire, adhuc et auri argentique ac similium fusionem, atque vestium diversas tincturas. Denique omnia prorsus, quae ad ornatum et oblectationem mulierum spectant, daemonum in carne ligatorum sunt inventa.

XV. Ex adulterina autem illarum conjunctione nati sunt homines spurii, multo hominibus statura majores, quos postea Gigantes nominaverunt, non anguipedes et adversus Deum bellum adorti, ut impiae Graecorum decantant fabulae, sed feri moribus, et hominibus quidem mole corporis majores, utpote

1. *κατέχονται* C.
2. Ita O et C ex conject., *ὃν* id. in textu.
3. *αὐτοὺς* C.
4. *μεγευθεῖσι* O.
5. Ita O c. S, *παρέδωσαν* C.
6. *μαγείας ὑπέδειξαν* C.
7. *ἐσθημάθων* O.
8. *εὑρέματα* O.
9. *οἱ* inserui c. O. Dein *τοῦτο* C.

www.libtool.com.cn

γέλων δὲ ἐλάττους, ἐπείπερ ἐκ γυναικῶν γεγένηντο[1]. ὁ οὖν Θεὸς εἰδὼς αὐτοὺς πρὸς τὸ θηριῶδες ἐξηγριωμένους, καὶ πρὸς τὴν ἑαυτῶν πλησμονὴν τὸν κόσμον οὐκ ἔχοντας[2] αὐτάρκη (πρὸς γὰρ ἀνθρώπων ἀναλογίαν ἐδημιουργήθη καὶ χρῆσιν ἀνθρωπίνην), ἵνα μὴ ἐνδείᾳ τροφῆς[3] ἐπὶ τὴν παρὰ φύσιν τῶν ζώων βορὰν τρεπόμενοι ἀνεύθυνοι δοκῶσιν εἶναι, ὡς δι' ἀνάγκην τοῦτο τετολμηκότες, μάννα αὐτοῖς ὁ παντοδύναμος Θεὸς ἐπώμβρισεν[4] ἐκ ποικίλης ἐπιθυμίας, καὶ παντὸς οὗπερ ἐβούλοντο ἀπήλαυον· οἱ δ'[5] ὑπὸ νόθου φύσεως, τῷ καθαρῷ τῆς τροφῆς οὐκ ἀρεσκόμενοι, μόνης τῆς τῶν αἱμάτων γεύσεως ἐγλίχοντο. διὸ καὶ πρῶτοι σαρκῶν ἐγεύσαντο.

XVI. Οἱ δὲ σὺν αὐτοῖς ἄνθρωποι τὸ ὅμοιον τότε πρῶτον ποιεῖν ἐζήλωσαν. οὕτως εἴτε ἀγαθοὶ εἴτε κακοὶ οὐ γεννώμεθα[6], ἀλλὰ γινόμεθα· καὶ ἐθισθέντες δυσαποσπάστως ἔχομεν. τῶν δὲ ἀλόγων ζώων τότε ἐπιλιπόντων, οἱ νόθοι ἄνθρωποι καὶ ἀνθρωπίνων σαρκῶν ἐγεύσαντο[7], οὐκέτι γὰρ αὐτοῖς ἦν μακράν, τὴν ἴσην διαφθεῖραι σάρκα, πρότερον ἐν ἑτέραις μορφαῖς αὐτῆς[8] γευσάμενοι.

XVII. Ἐπὶ δὲ τῇ πολλῇ τῶν αἱμάτων ῥύσει ὁ καθαρὸς ἀὴρ ἀκαθάρτῳ ἀναθυμιάσει μιανθεὶς καὶ νοσήσας τοὺς ἀναπνέοντας αὐτὸν νοσώδεις ἀπεργάζετο[9], ὡς τοὺς ἀνθρώπους λοιπὸν ἀώρους ἀποθνήσκειν. ἡ δὲ γῆ ἐκ τού-

ex Angelis orti, Angelis vero minores, ut ex feminis geniti. Deus ergo, cernens illos ad feritatem exasperatos, quibusque ad satictatem mundus non sufficeret (nam ad hominum proportionem et ad usus humanos conditus est orbis), ne victus inopia ad naturae repugnantem esum animalium conversi insontes esse viderentur, quasi id ex necessitate auderent, illis Deus omnipotens manna pluit ex varia cupiditate, atque omni desiderato fruiti sunt. At illi, ob spuriam naturam puro cibo non delectati, solum sanguinis gustum appetebant. Quare et primi carnes degustarunt.

XVI. Qui vero cum illis degebant homines, tunc primum idem aemulatione ducti fecerunt. Ita vel boni vel mali non nascimur, sed fimus; et assuefacti vix retrahimur. Porro cum brutae animantes tunc deficerent, nothi homines etiam humanas ederunt carnes: non enim jam longe aberant a vivilanda sua carne, qui prius in aliis speciebus carnem gustaverant.

XVII. Per multum vero sanguinem fusum purus aër impuro foedatus vapore et insalubris factus ipsum spirantes reddidit morbis obnoxios, ut deinceps homines immaturi morerentur. Terra autem ideo valde polluta tunc primum

1. γεγέννηντο O.
2. Ita correxit C, cujus Cod. ἔχοντες, ut O.
3. Ita dedi ex conject., ἐνδείᾳ τροφαῖς O, ἐν διατροφῇ C. Postea τραπόμενοι O.
4. Ita S. Idem est Cod. Oi ἐπώνβρησεν, ap. C ἐπόνβρισεν.
5. Ita S, οἵθ' C O.
6. οὐκ ἐγεννώμεθα C.
7. ἐγεύσοντο S. Tum ἰδίαν p. ἴσην C.
8. Ita O c. S, αὐτοῖς C. Subinde γευσαμένοις C.
9. ἀπειργάζετο S O, ἀπεργάζετο C.

www.libtool.com.cn

τῶν σφόδρα μιανθεῖσα πρῶτον τότε τὰ ἰοβόλα καὶ λυμαντικὰ ζῶα ἐξέβρασεν. τῶν οὖν πάντων πρὸς τὸ χεῖρον χωρησάντων διὰ τοὺς θηριώδεις δαίμονας, ὁ Θεὸς αὐτοὺς ὥσπερ κακῆν ζύμην ἐξελεῖν ἐβουλεύετο, ἵνα μὴ ἀπὸ σπορᾶς κακῆς[1] κατ' ἀκολουθίαν ἑκάστη γενεὰ τῇ πρὸ αὐτῆς ἐξομοιουμένη, ὁμοίως ἀσεβοῦσα, τὸν ἐσόμενον αἰῶνα σωζομένων ἀνδρῶν κενώσῃ. τούτου δὴ ἕνεκεν ἑνί τινι δικαίῳ μετὰ τῶν ἐξ αὐτοῦ τριῶν, σὺν ταῖς αὐτῶν γυναιξίν, ἅμα τοῖς υἱοῖς[2], ἐν λάρνακι διασώζεσθαι προαγγείλας ὕδωρ εἰς κατακλυσμὸν ἐπέκλυσεν, ἵνα πάντων ἀναλωθέντων ὁ κόσμος κατεκκαθαρισθεὶς αὐτῷ τῷ ἐν λάρνακι διασωθέντι εἰς δευτέραν βίου ἀρχὴν καθαρὸς ἀποδοθῇ. καὶ δὴ οὕτως ἐγένετο.

XVIII. Ἐπεὶ οὖν αἱ τῶν τεθνεώτων γιγάντων ψυχαὶ τῶν ἀνθρωπίνων[3] ψυχῶν μείζους ἦσαν, ἅτε δὴ καὶ τοῖς σώμασιν ὑπερέχουσαι, ὡς[4] καινὸν γένος καινῷ καὶ τῷ ὀνόματι προσηγορεύθησαν. οἷς ἐπιλοίποις τῷ κόσμῳ ὡς δεῖ βιοῦν, ὑπὸ Θεοῦ δι' ἀγγέλου νόμος ὡρίσθη. ὄντες γὰρ νόθοι τῷ γένει ἐκ πυρὸς ἀγγέλων καὶ αἵματος γυναικῶν, καὶ διὰ τοῦτο ἰδίου τινὸς γένους ἐπιθυμεῖν μέλλοντες, δικαίῳ τινὶ προελήφθησαν νόμῳ. ἐξεπέμφθη γὰρ αὐτοῖς ὑπὸ τοῦ Θεοῦ[5] ἄγγελός τις, τὴν αὐτοῦ βουλὴν μηνύων καὶ λέγων.

XIX. Τάδε δοκεῖ τῷ παντεπόπτῃ Θεῷ, μηδενὸς ἀνθρώπων ὑμᾶς κυριεύειν, μηδὲ παρενοχλεῖν μηδενί, ἐὰν μή τις ἑκὼν ἑαυτὸν ὑμῖν καταδου-

animalia venenata et nocentia fecit ebullire. Cunctis ergo ad deteriora propter feros daemones vergentibus, Deus illos tamquam malum fermentum tollere decrevit, ne a malo semine per seriem unaquaeque aetas praecedenti assimilata, pariterque impia, futurum salvandorum hominum saeculum aboleret. Quapropter postquam uni viro justo, cum tribus cumque illorum uxoribus atque filiis, ut in arca evaderent praenuntiasset, aquam diluvii immisit, ut omnibus consumtis, mundus purgatus ei, qui in arca servatus fuerat, in secundum vitae humanae principium purus redderetur. Atque ita evenit.

XVIII. Quia ergo mortuorum Gigantum animae humanis animabus erant majores, ut quae ex ratione corporum excellerent, tamquam novum genus novum nomen acceperunt. Quibus superstitibus in mundo, quo modo vivendum, a Deo per Angelum sancita est lex. Cum enim essent genere spurii, ex igne Angelorum et mulierum sanguine, et ideo proprium quoddam genus essent concupituri, justa aliqua lege praeoccupati sunt. Missus enim ad eos est a Deo quidam Angelus, illius voluntatem declarans, his verbis:

XIX. Haec visa sunt omnium inspectori Deo, vos in neminem hominum dominari, neque ulli molestiam inferre, nisi quis volens se vobis in servitutem

1. Vox κακῆς a S omissa in textum rediit ex O.
2. λοιποῖς C.
3. ἀνθρωπείων O.
4. ἕως O. Idem deinde προσηγορεύθης οἷς ἐπηλύτοις sine interpunctione.
5. ὑπ' αὐτοῦ p. ὑπὸ τοῦ Θεοῦ O.

www.libtool.com.cn

ίσῃ, προσκυνῶν ὑμᾶς καὶ θύων καὶ σπένδων καὶ τῆς ὑμετέρας μετα-
μβάνων τραπέζης, ἢ ἕτερόν τι ὧν οὐ χρὴ ἐκτελῶν, ἢ αἷμα χέων, ἢ
ρκῶν νεκρῶν[1] γευόμενος, ἢ θηρίου λειψάνου ἢ τμητοῦ ἢ πνικτοῦ ἢ ἄλ-
υ τινὸς ἀκαθάρτου ἐμπιπλάμενος[2]. τῶν δὲ νόμῳ ἐμῷ προσφευγόντων
μόνον οὐ ψαύσετε, ἀλλὰ καὶ τιμὴν δώσετε, καὶ ἐκ προσώπου φεύ-
σθε[3]. ὅ τι γὰρ ἂν αὐτοῖς δικαίοις οὖσι καθ' ὑμῶν δοκῇ, τοῦθ' ὑμᾶς
ήσει παθεῖν. ἐὰν δέ τινες τῶν[4] ἐμοὶ προκειμένων ἐξαμάρτωσιν, ἢ μοι-
υσάμενοι[5] ἢ μαγεύσαντες ἢ ἀκαθάρτως βιώσαντες ἢ ἄλλο τι τῶν ἐμοὶ
δοκούντων πράξαντες, τότε ἐξ ἐμῆς κελεύσεως πάσχειν τι αὐτοὺς ὑφ'
ῶν ἢ ὑφ' ἑτέρων δεήσει· οἷς καὶ μετανοήσασιν, τὴν μετάνοιαν κρίνας,
ε ἀξία[6] ἐστὶ συγγνώμης εἴτε καὶ οὔ, τὴν ἀπόφασιν ποιήσομαι. ταῦτα
ν μνημονεύειν καὶ ποιεῖν[7] ὀφείλετε, εὖ εἰδότες, ὅτι οὐδὲ αἱ ἐνθυμήσεις
ῶν λαθεῖν αὐτὸν δυνήσονται.

XX. Τοιαῦτα παρακελευσάμενος αὐτοῖς ὁ ἄγγελος ἀπηλλάγη. ὑμεῖς
ἔτι τοῦτον ἀγνοεῖτε τὸν νόμον, ὅτι προσκυνῶν τις δαίμονας ἢ θύων ἢ
πέζης αὐτοῖς κοινωνῶν ὑπόδουλος αὐτοῖς γενόμενος ὡς ὑπὸ κακῶν δεσπο-
ν πάσης τῆς ἐξ αὐτῶν μεθέξει τιμωρίας· καὶ διὰ τὴν ἄγνοιαν ταύτην
ς αὐτῶν βωμοῖς προσφθαρέντες καὶ αὐτῶν ἐκπληρωθέντες ὑπὸ τὴν αὐ-

jecit, adorans vos, et sacrificans, et libans, et vestrae coenae particeps,
quidpiam aliud quod non deceat perficiens, vel fundens sanguinem, vel
statis mortuis carnibus, vel ferae reliquiis, secto, suffocato, aut alio immundo
letus. Eos vero qui ad legem meam confugiunt, non modo non tangetis,
et honore donabitis, et coram fugietis. Quodcumque enim ipsis, utpote
is, contra vos placuerit, id vos necesse erit pati. Quod si nonnulli ex
, qui mihi adhaerent, aberrarint, vel adulterantes, vel magiam exercentes,
impure viventes, vel aliquid aliud eorum quae mihi displicent operati, tunc
ortebit, ut ipsi ex jussu meo aliquid patiantur aut a vobis, aut ab aliis.
ibus et poenitentibus, poenitentiam ponderans, an ea veniam mereatur nec
sententiam pronuntiabo. Haec ergo reducere in memoriam et facere de-
is, probe gnari, quod nec cogitationes vestrae eum latere poterunt.

XX. Haec postquam illis suasisset Angelus, abiit. Vos autem adhuc il-
ignoratis legem, quod qui colit daemones, vel sacrificat, vel cum illis
nsa communicat, sub servitutem eorum redactus, tamquam a malis dominis
nes ex illis feret poenas. Et propter hanc ignorantiam, qui ad eorum aras
niciose accessistis atque iis expleti estis, venistis sub eorum potestatem: et

1. νεκρῶν praetermiserunt Cl (Edd. 95. 1724) et S. Subinde γευόμενος c. S, γευομένων C. Tum θνητοῦ p. τοῦ C.
2. ἐμπιμπλώμενος C.
3. Ita O c. S, φεύξησθε C. Subinde ὅτι O
4. τῶν om. O.
5. ἐξαμαρτῶσιν, ἢ μοιχησάμενοι C.
6. ἀξι (sic) O.
7. ποιεῖν excidit ap. S.

www.libtool.com.cn

τῶν ἐξουσίαν γεγόνατε, καὶ παντὶ τρόπῳ ὑβριζόμενοι τὰ σώματα ἀγνοεῖτε. εἰδέναι δὲ ὑμᾶς χρὴ ὅτι οὐδενὸς οἱ δαίμονες ἔχουσιν ἐξουσίαν, ἐὰν μὴ πρότερόν τις αὐτοῖς ὁμοδίαιτος [1] γένηται. ὁπότε οὐδὲ ὁ αὐτῶν ἄρχων παρὰ τὸν ὑπὸ τοῦ Θεοῦ κατ' αὐτῶν κινούμενον [2] νόμον ποιεῖν τι δύναται, διὸ ἐξουσίαν τινὸς οὐκ ἔχει μὴ προσκυνήσαντος αὐτόν· ἀλλ' οὐδὲ λαβεῖν τις παρ' αὐτῶν δύναταί τι ὧν θέλει, ἀλλ' οὐδὲ βλαβῆναι οὐδέν, ὡς ἐκεῖθεν δύνασθε [3] μαθεῖν.

XXI. Τῷ γὰρ τῆς εὐσεβείας ἡμῶν βασιλεῖ προσῆλθέ ποτε [4] ὁ πρόσκαιρος βασιλεύς, καὶ [5] οὐ βίαν ποιῶν, οὐ γὰρ ἐξῆν, ἀλλὰ προτρέπων καὶ ἀναπείθων, ὅτι τὸ πεισθῆναι ἐπὶ τῇ [6] ἑκάστου κεῖται ἐξουσίᾳ. προσελθὼν οὖν, ὡς τῶν παρόντων ὢν [7] βασιλεύς, τῷ τῶν μελλόντων βασιλεῖ ἔφη· πᾶσαι αἱ τοῦ νῦν κόσμου βασιλεῖαι ὑπόκεινταί μοι, ἔτι τε ὁ χρυσὸς καὶ ὁ ἄργυρος καὶ πᾶσα ἡ τρυφὴ τοῦ κόσμου τούτου ὑπὸ ταῖς ἐμαῖς ἐστὶν ἐξουσίαις· διὸ πεσὼν προσκύνησόν μοι, καὶ δώσω σοι πάντα ταῦτα. ταῦτα δὲ ἔλεγεν εἰδώς, ὅτι μετὰ τὸ [8] προσκυνῆσαι καὶ τὴν κατ' αὐτοῦ εἶχεν ἐξουσίαν, καὶ οὕτω [9] τῆς μελλούσης δόξης καὶ βασιλείας αὐτὸν [10] ἀφῄρει. καὶ πάντα εἰδὼς οὐ μόνον αὐτὸν οὐ προσεκύνησεν, ἀλλ' οὐδὲ τῶν ὑπ' αὐτοῦ δεδομένων [11] λαβεῖν τι ἠθέλησεν· ἑαυτὸν γὰρ σὺν τοῖς ἑαυτοῦ κατενεχύραζεν, ὅπερ ἐστίν, μὴ ἐξεῖναι τοῦ λοιποῦ τῶν αὐτῷ [12] ἀποδοθέντων μηδὲ ψαῦσαι

cum corpora omni modo fuerint contumeliae objecta, nescitis. Scire autem vos oportet, in nullum daemones habere potestatem, nisi quis prius conviva eorum fuerit. Quandoquidem neque princeps illorum aliquid potest facere contra legem a Deo in eos latam. Quare nullius habet potestatem, qui non ipsum adoraverit. Sed nec quis potest aliquid eorum, quae cupit, ab illis consequi, neque etiam laedi ullatenus, ut isthinc discere potestis.

XXI. Nam ad nostrum pietatis regem accessit aliquando temporalis rex, non vi facta, neque enim licebat, sed hortans et suadens, quia persuaderi in uniuscujusque situm est arbitrio. Accedens ergo, ut rerum praesentium rex, ad futurarum regem dixit: omnia praesentis mundi regna mihi subjacent, et praeterea aurum et argentum omnesque istius mundi deliciae sub mea sunt potestate, quare cadens adora me, et dabo tibi ea omnia. Haec porro dicebat, quia noverat, quod post adorationem habuisset in illum potestatem, sicque et futuro honore ac regno privasset. At qui omnia sciebat, non modo illum non adoravit, sed nec quidquam, illius donorum voluit accipere. Se enim cum suis oppignoravit, quod est, non licere posthac quidquam ab ipso traditorum

1. ὁμοδίαιτον O.
2. κείμενον O. Tum δι' ὃ C.
3. δύνασαι C.
4. Vide Matth. 4. Luc. 4.
5. καὶ transcripsi ex O.
6. τῇ S O, τοῦ C.
7. ἂν Cl, non C, ut falso scribit S.
8. τοῦ O.
9. οὕτως C.
10. Ita S, ἑαυτὸν C O.
11. δεδομένων in text. recepi c. O.
12. αὐτῷ non legitur in O S. Tum

www.libtool.com.cn

τε. ἀποκριναμενος οὖν ἔφη· Γέγραπται, κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ λατρεύσεις μόνῳ.

XXII. Πλὴν ὁ τῶν ἀσεβῶν[1] βασιλεὺς κατὰ πολλὰ τὸν τῶν εὐσεβῶν βασιλέα πρὸς τὸ ἑαυτοῦ βούλημα παράγειν πειρώμενος καὶ μὴ δυνηθεὶς[2] ἐπαύσατο, πρὸς τὰ λοιπὰ τῆς πολιτείας θηρεύειν αὐτὸν ἐπιχειρῶν. ὑμεῖς τὸν προορισθέντα νόμιον ἀγνοοῦντες διὰ τῶν κακῶν πράξεων ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ ἐγένεσθε. διὸ σῶμα καὶ ψυχὴν ἐμιάνθητε. καὶ ἐν μὲν τῷ παρόντι ὑπό τε παθῶν καὶ δαιμόνων ἐνυβρίζεσθε, ἐν δὲ τῷ μέλλοντι[3] εἰς ψυχὰς κολασθησομένας ἔξετε. τοῦτο δὲ οὐχ ὑμεῖς μόνοι ὑπὸ ἀγνοίας πεπόνθατε, ἀλλὰ καί τινες τοῦ ἡμετέρου ἔθνους, οἵτινες ἐπὶ κακαῖς πράξεσιν ὑπὸ τοῦ τῆς κακίας ἡγεμόνος προληφθέντες, ἔπειτα ὥσπερ ἐπὶ[4] δεῖπνον ὑπὸ πατρὸς υἱῷ τελοῦντος γάμους κληθέντες οὐχ[5] ὑπήκουσαν. ἀντὶ τῶν ἀπειθησάντων διὰ τὴν πρόληψιν ὁ τοὺς γάμους τῷ υἱῷ τελῶν πατὴρ διὰ τοῦ προφήτου τῆς ἀληθείας ἐκέλευσεν ἡμῖν, εἰς τὰς διεξόδους τῶν ὁδῶν ἐλθοῦσιν, ὅ ἐστι πρὸς ὑμᾶς, καθαρὸν ἔνδυμα γάμου περιβαλεῖν, ὅ ἐστι βάπτισμα, ὃ εἰς ἄφεσιν γίνεται τῶν πεπραγμένων ὑμῖν κακῶν, εἰσάγει[6] τοὺς ἀγαθοὺς εἰς τὸ Θεοῦ δεῖπνον εἰσάγειν[7] ἐκ τῆς μεταμελείας, εἰ καὶ τὴν ἀρχὴν ἀπελείφθησαν τῆς εὐωχίας.

I tangere. Respondit ergo: *Scriptum est, Dominum Deum tuum revereberis, illi soli servies.*

XXII. Ceterum impiorum rex, cum regem piorum ad suam adducere voluntatem plurimum conatus esset nec potuisset, finem fecit, et in reliqua vita in nitebatur captare. Vos vero praefinitam ignorantes legem ob mala opera b illius estis potestate. Quocirca corpore et anima maculam geritis: et in nesenti quidem a morbis et daemonibus illudimini, in futuro autem animabus niemini. Hoc vero non vos soli ab ignorantia passi estis, sed et nonnulli nostra gente, qui in malis operibus a malitiae duce occupati, postea velut coenam a patre filii nuptias celebrante invitati, non obedierunt. In locum tem eorum, qui propter occupationem denegaverant, qui filio uuptias celebat pater per veritatis Prophetam jussit nobis, ut progressi ad exitus viarum, id est, ad vos, indueremus puram vestem nuptialem, quae est baptisma, quod remissionem fit peccatorum vestrorum, et ut bonos in Dei coenam inducat poenitentia, licet initio ab epulis abfuerint.

t. leg. ἔτι τε. Deinde C non recte tit „oppignoravit" et „ab ipso traditorum." Vertere debebat: „oppignoravisset" „ipsi traditorum."
1. ἀσεβῶς O, in marg. sec. man. ς εὐσεβῶν.
2. καὶ ἠδυνηθεὶς C.
3. τοῖς μέλλουσιν C.
4. ὑπὸ O. Vid. Matth. 22.
5. οὐχ add. c. O.
6. κακῶν καὶ C.
7. εἰσάγει C.

www.libtool.com.cn

XXIII. Ἐνθύμια οὖν εἰ βούλεσθε[1] γενέσθαι θείου πνεύματος, σπουδάσατε πρῶτον ἐκδύσασθαι τὸ ῥυπαρὸν ὑμῶν πρόλημμα, ὅπερ ἐστὶν ἀκάθαρτον πνεῦμα, καὶ μιαρὸν περίβλημα. τοῦτο δὲ οὐκ ἄλλως ἀποδύσασθαι δύνασθε, ἐὰν μὴ πρότερον ἐπὶ καλαῖς πράξεσι βαπτισθῆτε· καὶ οὕτω καθαροὶ σώματί τε καὶ ψυχῇ γενόμενοι τῆς ἐσομένης ἀϊδίου βασιλείας ἀπολαύσετε[2]. μήτε οὖν εἰδώλοις πιστεύετε, μήτε τραπέζης αὐτοῖς κοινωνεῖτε μιαρᾶς, μὴ φονεύσητε, μὴ μοιχεύετε, μὴ μισήσητε οὓς μὴ δίκαιον, μὴ κλέπτετε, μηδὲ κακαῖς[3] τισὶν ὅλως πράξεσιν ἐπιβάλλεσθε. ἐπεὶ τῶν ἐσομένων ἀγαθῶν στερηθέντες τῆς ἐλπίδος ἐν μὲν τῷ παρόντι ὑπό τε κακῶν δαιμόνων καὶ χαλεπῶν παθημάτων συνελασθήσεσθε, ἐν δὲ τῷ ἐσομένῳ αἰῶνι ἀϊδίῳ κολασθήσεσθε πυρί. τὰ μὲν οὖν σήμερον ὑμῖν ῥηθέντα αὐτάρκως ἔχει. λοιπὸν δέ, ὑμῶν οἱ μὲν[4] ὑπὸ παθημάτων ὀχλούμενοι πρὸς τὴν ἴασιν παραμείνατε, τῶν δὲ ἄλλων οἱ βουλόμενοι μετ' εἰρήνης πορεύεσθε.

XXIV. Ταῦτα αὐτοῦ εἰπόντος οἱ πάντες παρέμειναν, οἱ μὲν τοῦ θεραπευθῆναι χάριν, οἱ δὲ τοῦ ἱστορῆσαι τοὺς τῆς θεραπείας ἐπιτυγχάνοντας. ὁ δὲ Πέτρος τὰς χεῖρας αὐτοῖς ἐπιθεὶς μόνον καὶ εὐξάμενος ἰάσατο· ὡς τοὺς μὲν παραχρῆμα θεραπευθέντας γενέσθαι περιχαρεῖς, τοὺς δὲ ἱστορήσαντας ὑπερθαυμάσαι τε καὶ εὐφημήσαντας τὸν Θεὸν βεβαίᾳ ἐλπίδι πιστεῦσαι, ἅμα τε τοῖς[5] θεραπευθεῖσιν ἐπὶ τὰ ἑαυτῶν ἀπιέναι, ἐν-

XXIII. Si vultis itaque ut fiatis vestimentum divini spiritus, enitimini primo exuere sordidam praesumtionem vestram, quae est immundus spiritus, et impurum amiculum. Non potestis autem alia ratione deponere, nisi prius in bonis actionibus baptizemini: atque ita puri corpore et anima effecti futuro perpetuo regno fruemini. Igitur nec idolis credite, nec mensae eorum impurae participes estote, non occidite, non adulterate, non odio prosequimini quos non decet, non furtum facite, neque omnino capessite ulla prava facinora. Alioquin futurorum spe privati in praesenti quidem saeculo a malis daemonibus et a gravibus morbis vexabimini, in futuro autem ignis aeterni feretis supplicium. Quae ergo hodie vobis dicta sunt, sufficiant. De cetero qui vestrum morbis afflictamini, ad recipiendam sanitatem manete, ex aliis vero, qui vultis, cum pace abite.

XXIV. Haec cum dixisset, omnes permanserunt, alii ut curarentur, alii ut viderent eos qui sanitatem reciperent. Petrus autem dumtaxat imponens illis manus et precatus sanavit: adeo, ut qui subito curati fuerant, laetarentur, qui autem viderant, magnopere mirarentur, simulque laudarent Deum, ac firma spe crederent, atque una cum iis qui sanati fuerant, ad sua abirent, mandato ac-

1. εἰ βούλεσθε O et (secundum Clericum) C ex conjectura, textus Ci ἐβούλεσθε.
2. Ita O et Epit. C. 64, ἀπολαύσητε C.
3. μὴ δεκασταῖς O.
4. οἱ μὲν accessit ex O.
5. Ita S, βεβαίας ἐλπίδος πιστεύειν, ἅμα τοῖς C, βεβαίας ἐλπιδι πιστεύειν, ἅμα τοῖς O.

τολὴν ἔχοντας πρωϊτέρου τῇ ὑστεραίᾳ συνελθεῖν. ἀπελθόντων δὲ αὐτῶν, ἐκεῖ μείνας ὁ Πέτρος μετὰ τῶν[1] συνήθων, τροφῆς μεταλαβὼν διανέπαυεν ἑαυτὸν τῷ ὕπνῳ.

## ΟΜΙΛΙΑ Θ'.

I. Τῇ μὲν οὖν[2] ἐπιούσῃ ἡμέρᾳ ὁ Πέτρος ἅμα τοῖς ἑταίροις ἐξιὼν καὶ ἐπὶ τὸν πρὸ μιᾶς τόπον ἐλθὼν καὶ ἐπιστὰς ἤρξατο λέγειν· ὁ Θεὸς τοὺς πάλαι ἀνθρώπους ἀσεβήσαντας πάντας ὕδατι διαφθείρας, ἐκ πάντων ἕνα εὐσεβῆ εὑρών, ἐν λάρνακι μετὰ τριῶν αὐτοῦ[3] υἱῶν καὶ γυναικῶν σωθῆναι ἐποίησεν. ὅθεν συνιδεῖν ἔστιν αὐτοῦ τὴν φύσιν, ὄχλου μὲν ἀσεβούντων μὴ[4] φροντίζουσαν, ἑνὸς δὲ εὐσεβοῦς σωτηρίας οὐκ ἀμελοῦσαν. πασῶν οὖν μείζων[5] ἐστὶν ἀσέβεια τὸ τὸν μόνον πάντων καταλείψαντα δεσπότην πολλοὺς τοὺς οὐκ ὄντας ὡς ὄντας[6] σέβειν θεούς.

II. Ἐὰν οὖν ἐμοῦ ὑμῖν ὑφηγουμένου καὶ δεικνύντος, ὅτι τοῦτό ἐστι τὸ μέγιστον ἁμάρτημα, ὃ πάντας ὑμᾶς ἀπολέσαι δύναται, τὸν ὑμέτερον ὑποδράμῃ[7] νοῦν, ὅτι οὐκ ἀπόλλυσθε, πολλοὶ ὄντες ὄχλοι, ἠπάτησθε· ἔχετε γὰρ τοῦ πάλαι κατακλυσθέντος κόσμου τὸ ὑπόδειγμα· καίτοι ἐκείνων μὲν τὸ ἁμάρτημα πολὺ ἧττον ἦν τοῦ καθ' ὑμᾶς. ἐκεῖνοι γὰρ εἰς

cepto, ut maturius postridie convenirent. Cumque discessissent, ibi manens Petrus una cum familiaribus, cibo sumto, se somno refecit.

## HOMILIA IX.

I. Sequenti quidem die Petrus una cum sodalibus egressus et ad locum praecedentis diei veniens ac consistens coepit dicere: Deus homines olim impios cunctos cum per aquam perdidisset, ac unum ex omnibus pium invenisset, in arca eum cum tribus filiis et eorum uxoribus salvum fecit. Unde apparet divina natura, quae impiorum quidem negligit multitudinem, unius vero pii salutem non despicit. Cunctarum ergo maxima est impietas, solum omnium dominum relinquere, et multos qui non sunt, quasi sint, deos venerari.

II. Si ergo, dum vobis enarro ac ostendo, id maximum esse peccatum, quod vos omnes possit perdere, vestrae menti subveniat, vos non perituros, quia plurimi estis, erratis; habetis quippe mundi olim diluvio inundati exemplum. Et vero illorum peccatum multo erat minus vestro. Illi namque in pares im-

1. μανόντων p. μετὰ τῶν C.
2. οὖν add. c. O. Tum id. ἑταίροις, ut legi vult C, cujus text. ἑτέροις.
3. αὐτοῦ adjunxi c. O.
4. οὐ O.
5. Ita O c. S, μεῖζον C.
6. Vbb. ὡς ὄντας ap. S. non extant.
7. ὑποδράμῃ leg. censet D suffragante O, ἀποδράμῃ C. Postea ὄχλοι; O.

www.libtool.com.cn

τοὺς ὁμοίους[1] ἠσέβουν, ἢ φονεύοντες ἢ μοιχεύοντες, ὑμεῖς δὲ εἰς τὸν τῶν ὅλων ἀσεβεῖτε Θεόν, ἀντ' αὐτοῦ ἢ καὶ σὺν αὐτῷ ἄψυχα ἀγάλματα σέβοντες, καὶ τὸ θεῖον αὐτοῦ ὄνομα πάσῃ ἀναισθήτῳ ὕλῃ ἐπιρρίψαντες. πρῶτον μὲν οὖν δεδυστυχήκατε, μὴ γνωρίσαντες τὴν διαφορὰν τὴν μεταξὺ μοναρχίας καὶ πολυαρχίας, ὅτι ἡ μὲν μοναρχία ὁμονοίας ἐστὶ παρεκτική, ἡ δὲ πολυαρχία πολέμων ἐξεργαστική. τὸ γὰρ ἓν ἑαυτῷ οὐ μάχεται, τὰ δὲ πολλὰ πρόφασιν ἔχει τὴν[2] πρὸς ἕτερον μάχην ἐπιχειρεῖν.

III. Αὐτίκα γοῦν, εὐθὺς[3] μετὰ τὸν κατακλυσμόν, ὁ Νῶε τριακόσια καὶ πεντήκοντα ἐπιζήσας ἔτη μετὰ τῶν ἐξ αὐτοῦ γενομένων ὄχλων ἐν ὁμονοίᾳ διετέλει, τοῦ μόνου Θεοῦ κατ' εἰκόνα ὑπάρξας βασιλεύς. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν πολλοὶ τῶν ἐξ αὐτοῦ βασιλείας ὠρέχθησαν, καὶ πρὸς τὸ βασιλεῦσαι σπεύδοντες τὸ πῶς δυνηθείη ἕκαστος ἐπενόει. καὶ ὁ μὲν πολέμῳ, ἄλλος δόλῳ, ἕτερος πειθοῖ[4], καὶ ἄλλος ἄλλως, ὧν εἷς τις ἀπὸ γένους ὢν Χάμ, τοῦ ποιήσαντος τὸν[5] Μεστρέμ, ἐξ οὗπερ τὰ Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Περσῶν ἐπλήθυνε φῦλα.

IV. Ἐκ τοῦ γένους τούτου γίνεταί τις κατὰ διαδοχὴν μαγικὰ παρειληφώς, ὀνόματι Νεβρώδ, ὥσπερ γίγας ἐναντία τῷ Θεῷ φρονεῖν ἑλόμενος, ὃν οἱ Ἕλληνες[6] Ζωροάστρην προσηγόρευσαν. οὗτος μετὰ τὸν κατακλυσμὸν

pie se gesserunt, aut occidendo, aut adulterando, vos autem in omnium Deum estis impii, pro eo vel cum eo inanima colentes simulacra, sacrumque ejus nomen projicientes ad omnem sensu carentem materiam. Primo itaque infeliciter vobis cessit, quod differentiam inter unius ac multorum principatum ignoratis, quoniam unius principatus concordiae faciendae vim habet, principatus vero multorum effector bellorum est. Quod enim est unum, secum non pugnat, quae vero sunt multa, occasionem habent se invicem aggrediendi certamine.

III. Statim itaque post diluvium Noe annis trecentis et quinquaginta superstes in concordia cum filiorum vixit multitudine, fuitque solius Dei ad imaginem rex. Post mortem vero illius multi posterorum regnum appetierunt, et regnandi studio unusquisque modum excogitavit quo posset regnare. Ille quidem bello, alius dolo, alter suada et alius aliter. E quibus unus exstitit de genere Chami, patris Mesraimi, ex quo Mesraimo Aegyptiorum et Babyloniorum et Persarum gentes creverunt.

IV. Ab hoc genere oritur aliquis, per successionem in magicis institutus, nomine Nebrodus, qui ut gigas contraria Deo sentire elegit: eum Graeci Zo-

1. ὁμοίως O.
2. Fortasse leg. τοῦ. S.
3. εὐθὺ C. Tum τρία καὶ pro τριακόσια C, qui quidem genuinam Ottobonianı lect. jam vidit exstare in Gen. 9, 28.
4. Ita O c. S, πειθῷ C.
5. τὸν adsumpsi ex O. Tum S: leg. Μεσραΐμ, cfr. Rec. IV, 27: „ex quibus unus Cham nomine, cuidam ex filiis suis, qui Mesraim appellabatur.“ Chron. Alex. p. 62. Rad.: οὗτος Μεσραεὶμ ὁ Αἰγύπτιος — οἰκήτωρ γίνεται Βάκτρων.
6. Rec. IV, 27: „hunc gentes, quae tunc erant, Zoroastrem appellaverunt, admiran-

www.libtool.com.cn

βασιλείας ὀρεχθεὶς καὶ μέγας ὢν μάγος, τοῦ νῦν βασιλεύοντος κακοῦ τὸν ὡροσκοποῦντα[1] κόσμον ἀστέρα πρὸς τὴν ἐξ αὐτοῦ βασιλείας δόσιν μαγικαῖς ἠνάγκαζε[2] τέχναις. ὁ δέ, ἅτε δὴ ἄρχων ὢν καὶ τοῦ βιαζομένου[3] τὴν ἐξουσίαν ἔχων, μετ' ὀργῆς τὸ τῆς βασιλείας προσέχεε πῦρ[4], ἵνα πρός τε τὸν ὁρκισμὸν εὐγνωμονήσῃ, καὶ τὸν πρώτως ἀναγκάσαντα τιμωρήσηται[5].

V. Ἐκ ταύτης οὖν τῆς ἐξ οὐρανοῦ χαμαὶ πεσούσης ἀστραπῆς ὁ μάγος ἀναιρεθεὶς Νεβρώδ, ἐκ τοῦ συμβάντος πράγματος[6] Ζωροάστρης μετωνομάσθη, διὰ τὸ[7] τὴν τοῦ ἀστέρος κατ' αὐτοῦ ζῶσαν ἐνεχθῆναι ῥοήν. οἱ δὲ ἀνόητοι τῶν τότε ἀνθρώπων, ὡς διὰ τὴν εἰς Θεὸν φιλίαν[8] κεραυνῷ μεταπεμφθεῖσαν τὴν ψυχὴν νομίσαντες, τοῦ σώματος τὸ λείψανον κατορύξαντες, τὸν μὲν τάφον ναῷ ἐτίμησαν ἐν Πέρσαις, ἔνθα ἡ τοῦ πυρὸς

roastren appellaverunt. Hic post diluvium, regni cupidus, cum magnus esset magus, regnantis nunc mali quae mundum dirigit stellam magicis artibus coëgit ad sibi dandum imperium. Illa vero, utpote princeps et illius quod adigebatur habens potestatem, cum ira ignem regni effudit, ut et adjurationem admitteret et eum qui primo coëgerat puniret.

V. Ex hoc igitur e caelo in terram decidente fulgure sublatus e medio Nebrodus magus propter rem quae contigerat, Zoroastres nominatus est, quod in eum viva irruisset astri defluxio. Sed stulti homines illius temporis, putantes propter amicitiam erga Deum fulmine arcessitam fuisse animam illius, corporis reliquiis defossis templo quidem sepulcrum honorarunt apud Persas,

tes primum magicae artis auctores, cujus nomine etiam libri super hoc plurimi habentur. Hic ergo astris multum ac frequenter intentus et volens apud homines videri Deus, velut scintillas quasdam ex stellis producere et hominibus ostentare coepit, quo rudes atque ignari in stuporem miraculi traherentur; cupiensque augere de se hujusmodi opinionem, saepius ista moliebatur, usque quo ab ipso daemone, quem importunius frequentabat, igni succensus concremaretur."

1. Immo potius ὡρονομοῦντα. S.

2. ἠνάγκασε C.

3. S: C vertit „illius, quod adigebatur", hoc est, τοῦ πυρός. Rectius: „illius, qui adegerat."

4. Vid. C. 6. Ignem regni Zoroastreum commemorant Chron. Alex. p. 88. Rad. Mich. Glycas Annal II. p. 129. Georg. Cedren. Comp. Hist. p. 13. et Suidas voc. Ζωροάστρης. Quinetiam rem ignotam non fuisse Ammiano Marcellino ostendunt ea quae de magis dicit lib. 23 p. 253. Atque hinc videtur originem sumpsisse mos ferendi ignem ante Persarum reges; quos postea imitati sunt Impp. Rom. C.

5. τιμωρήσητε O.

6. Antinoum Hadriani respicere videtur auctor Homiliarum. S.

7. τὸ adjunxi c. O. Cfr. Recogn. IV, 28: „hinc enim et nomen post mortem ejus Zoroaster, hoc est vivum sidus, appellatum est ab his, qui post unam generationem graecae linguae loquela fuerant repleti." Ad quem locum plura dedit Cl. Cfr. praeterea Diog. Laert. Prooem. §. 8: Δείνων ἐν τῇ πέμπτῃ τῶν ἱστοριῶν μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι. φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος, ubi vide, quae adnotaverunt Mer. Casaubonus et Menagius. S.

8. δοιλίαν O, cui voci subnotatae in marg. respondet φιλίαν man. sec.

www.liptool.com.cn

καταφορὰ γέγονεν, αὐτὸν δὲ ὡς θεὸν ἐθρήσκευσαν. τούτῳ τῷ[1] ὑποδείγματι καὶ οἱ λοιποὶ ἐκεῖσε τοὺς κεραυνῷ θνήσκοντας ὡς θεοφιλεῖς[2] θάπτοντες ναοῖς τιμῶσιν, καὶ τῶν τεθνεώτων ἰδίων μορφῶν ἱστᾶσιν[3] ἀγάλματα. ἐντεῦθεν ὁμοίως ἐζήλωσαν καὶ τῶν κατὰ τόπους οἱ δυναστεύοντες[4], ὧν οἱ πλεῖστοι τῶν αὐτοῖς ἠγαπημένων καὶ μὴ κεραυνῷ θνησκόντων τοὺς τάφους ναοῖς καὶ ξοάνοις τιμῶντες καὶ βωμοὺς ἀνάπτοντες ὡς θεοὺς προσκυνεῖσθαι προσέταξαν. πολλῷ[5] δὲ ὕστερον διὰ τὸν πολὺν χρόνον ὑπὸ τῶν μεταγενεστέρων ὄντως θεοὶ εἶναι ἐνομίσθησαν.

VI. Ὅμως τῆς ἀπαρχῆς[6] μιᾶς οὔσης βασιλείας πολλαὶ διαιρέσεις τοῦτον ἐγένοντο τὸν τρόπον. Πέρσαι πρῶτοι τῆς ἐξ οὐρανοῦ πεσούσης ἀστραπῆς λαβόντες ἄνθρακας τῇ οἰκείᾳ διεφύλαξαν τροφῇ, καὶ ὡς θεὸν οὐράνιον προτιμήσαντες τὸ πῦρ ὡς πρῶτοι προσκυνήσαντες ὑπ' αὐτοῦ τοῦ πυρὸς πρώτῃ βασιλείᾳ[7] τετίμηνται. μεθ' οὓς Βαβυλώνιοι ἀπὸ τοῦ ἐκεῖ πυρὸς ἄνθρακας κλέψαντες καὶ διασώσαντες εἰς τὰ ἑαυτῶν καὶ προσκυνήσαντες καὶ αὐτοὶ ἀκολούθως ἐβασίλευσαν. Αἰγύπτιοι δὲ ὁμοίως πράξαντες, καὶ τὸ πῦρ ἰδίᾳ διαλέκτῳ Φθαὲ[8] καλέσαντες, ὃ ἑρμηνεύεται Ἥφαιστος [ἢ

ubi acciderat ignis delapsio, ipsum vero tamquam deum coluerunt. Hoc exemplo et reliqui ibi eos, qui fulmine obierunt, velut amicos dei sepultos templis honorant, eriguntque simulacra propriam mortuorum speciem referentia. Inde aemulati sunt idem, qui per loca imperium tenebant, quorum plerique sepulcra eorum quos amaverant, licet fulmine non interiissent, honorantes templis et statuis, arasque dedicando, praeceperunt illos velut deos adorari. Multo autem post propter longum tempus a posterioribus vere dii esse crediti sunt.

VI. Ceterum cum initio unum esset regnum, multae divisiones ad hunc factae sunt modum. Primi Persae delapsi e caelo ignis prunas sumtas proprio conservarunt alimento, atque ignem ut caelestem deum colentes, tamquam qui primi adorassent, ab ipso igne primo regno decorati sunt. Post quos Babylonii, de igne ibi posito prunas furati, cum in patriam detulissent atque adorassent, et ipsi consequenter regnarunt. Item Aegyptii, postquam similiter fecissent, atque ignem lingua sua Phthae appellassent, quod idem est ac Vul-

1. τῷ, quod S omisit, textui reddidi c. O.

2. Mos quippe erat, isque testatissimus, ut κεραυνοπλῆγες, sacro fulminis igne icti, non cremarentur, sed quo loco exstincti fuerant eodem terra conderentur: locum autem sacrum censebant, templum vocabant, et aris, sacrificiis ceteroque cultu dignabantur. Ad vocem θεοφιλεῖς vide nos supra in Recogn. IV, 28. C.

3. ἱστῶσιν O.

4. δυναστεύσαντες C, quae lectio etiam pr. man. apparet in marg. Codicis O.

5. Ita O et ex conject. C, in cuj. textu πολλῶν. Tum μεταταγενεστέρων O.

6. ὑπαρχῆς O, qui comma ponit post οὔσης.

7. πρῶτοι βασιλείας C.

8. φθάε O. Legat, qui voluerit, φθάς, ex Suida. Cl. Lacunam Codd. Ott. post Ἥφαιστος explevi duce Jamblicho de myster. Aegypt. 8, 3. Ἕλληνες δὲ εἰς

*Ὄσιρις*], *οὗ τῷ ὀνόματι καὶ ὁ παρ' αὐτοῖς πρῶτος βασιλεύσας προσαγορεύεται. τοῦτον μὲν οὖν τὸν τρόπον χρησάμενοι καὶ οἱ κατὰ τόπον βασιλεύσαντες, καὶ ἵδρυμα ποιήσαντες καὶ βωμοὺς εἰς τιμὴν τοῦ πυρὸς ἀνάψαντες, τῆς μὲν βασιλείας οἱ πλεῖστοι ἀπεσβέσθησαν.*

VII. *Τοῦ δὲ τὰ ξόανα σέβειν οὐκ ἐπαύσαντο, διὰ τὴν κακὴν τῶν μάγων ἐπίνοιαν, εὑρύντων αὐτοῖς προφάσεις, κρατεῖν αὐτοὺς πρὸς τὴν ματαίαν λατρείαν δυναμένας· ἱδρύσαντες γὰρ αὐτὰ μαγικαῖς τελεταῖς ἑορτὰς αὐτοῖς ὥρισαν ἔκ τε θυμάτων, σπονδῶν, αὐλῶν τε καὶ κρότων, ὧν προφάσει οἱ ἀνόητοι ἀπατώμενοι, καίτοι τῆς βασιλείας αὐτῶν ἀφαιρεθείσης, αὐτοὶ τῶν συνελθουσῶν*[1] *θρησκειῶν οὐκ ἀπολείποντες· ἐπὶ τοσοῦτον τῆς ἀληθείας διὰ*[2] *τὴν ἡδυπάθειαν προετίμησαν, τὴν πλάνην*[3]. *οἳ καὶ μετὰ μέθην παραβώμιον ἐπολολύζουσιν, τῆς ψυχῆς ἐκ βάθους ὥσπερ δι' ὀνείρων αὐτοῖς τὴν μέλλουσαν ἐπὶ ταῖς τοιαύταις αὐτῶν πράξεσι προαγγελλούσης τιμωρίαν.*

VIII. *Πολλῶν οὖν ἐν βίῳ παρελθουσῶν θρησκειῶν πάρεσμεν φέροντες ὑμῖν, οἱ ἀγαθοὶ ἔμποροι ἐκ προγόνων ἡμῖν παραδοθείσης καὶ φυλαχθείσης θρησκείας*[4], *ὡς σπέρματα φυτῶν δεικνύντες καὶ ἐπὶ τῇ ὑμετέρᾳ κρίσει καὶ ἐξουσίᾳ τιθέντες. τὸ ὑμῖν δοκοῦν ἐπιλέξασθε. ἐὰν μὲν οὖν τὰ ἡμέτερα*[5] *ἕλησθε, οὐ μόνον*[6] *δαίμονας καὶ τὰ ἐκ δαιμόνων πάθη φυγεῖν δυνήσεσθε,*

canus [vel Osiris], cujus nomine et primus apud illos rex appellatur. Pari igitur modo usi et qui per loca regnaverunt, et statuam ac delubrum facientes, atque aras in ignis honorem accedentes, a regno quidem plerique decciderunt.

VII. A cultu tamen simulacrorum non cessarunt, propter malas magorum excogitationes, illis causas inventientium, quae eos in vano cultu retinerent. Nam simulacra magicis caerimoniis erigentes festa instituerunt ex sacrificiis, libationibus, tibiis, et plausibus, quorum gratia decepti stulti homines, quamvis regno suo sublato, a concurrentibus non desistunt superstitionibus: in tantum veritati propter voluptatem errorem praeferunt. Qui et post crapulam ad aras contractam emittunt ululatus, nimirum anima ex profundo, velut in somniis, ipsis praenuntiante futuram de talibus operibus vindictam.

VIII. Cum ergo multae in vita praeterierint religiones, adsumus boni negotiatores religionis a majoribus nobis traditae et servatae, eam vobis apportantes, quasi semina stirpium ostendentes, ac sub vestra ponentes censura et potestate. Quod vobis placebit, eligite. Si ergo nostra delegeritis, non solum

*Ἥφαιστον μεταλαμβάνουσι τὸν Φθᾶ, τῷ τεχνικῷ μόνον προσβάλλοντες — ἀγαθῶν δὲ ποιητικὸς ὤν, Ὄσιρις κέκληται.*

1. *παρελθουσῶν* O.

2. *διὰ* excidit e recens. Clerico — Schwegleriana.

3. Fort. leg. *τῆς πλάνης*. S.

4. Conjectaverim *παραδοθεῖσαν καὶ φυλαχθεῖσαν θρησκείαν*, cl. Rec. IV, 14. S.

5. Vbb. *κρίσει καὶ ἐξουσίᾳ — ἐὰν μὲν οὖν τὰ ἡμέτερα* des. in O.

6. *μόνον* O, conj. etiam S, *μόνους* C.

www.libtool.com.cn

ἀλλὰ αὐτοὶ αὐτὰ[1] φυγαδεύοντες καὶ ἱκετευόμενοι ὑπ' αὐτῶν καὶ τῶν εἰσαεὶ ἐσομένων ἀγαθῶν ἀπολαύσετε.

IX. Ἐπείγε τοὐναντίον ἐν μὲν τῷ νῦν βίῳ ὑπὸ δαιμόνων ἀλλοκότοις πάθεσιν ἐνυβριζόμενοι, ἐπὶ τῇ ἐκ τοῦ σώματος ἀπαλλαγῇ καὶ τὰς ψυχὰς εἰσαεὶ κολασθησομένας ἕξετε, τὰ ἀληθῆ[2] οὐ Θεοῦ καταδικάζοντος, ἀλλὰ κακῶν πράξεων τοιαύτην ἐχουσῶν κρίσιν. οἱ γὰρ δαίμονες, διὰ τῆς αὐτοῖς ἀποδοθείσης τροφῆς ἐξουσίαν ἔχοντες, ὑπὸ τῶν ὑμετέρων χειρῶν εἰς τὰ ὑμέτερα εἰσκρίνονται[3] σώματα. ἐνδομυχήσαντες γὰρ πολλῷ τῷ χρόνῳ καὶ τῇ ψυχῇ ἀνακίρνανται[4]. καὶ διὰ τὴν ἀμέλειαν τῶν ἑαυτοῖς[5] βοηθεῖν μὴ νοούντων ἢ καὶ μὴ βουλομένων, τούτων αὐτῶν ἐπὶ τῇ τοῦ σώματος λύσει ἡ ψυχὴ τῷ δαίμονι ἡνωμένη ἀνάγκην ἔχει φέρεσθαι ὑπ' αὐτοῦ εἰς οὓς βούλεται τόπους. τὸ δὲ πάντων χαλεπώτατον, ἐπὰν[6] ἐν τῇ τῶν ὅλων συντελείᾳ ὁ δαίμων τὰ πρῶτα εἰς τὸ καθαίρον πῦρ ἀποδοθῇ, ἡ συγκραθεῖσα αὐτῷ ψυχὴ ἀνάγκην ἔχει αὐτὴ μὲν ἀπορρήτως κολάζεσθαι, ὁ δὲ δαίμων ἥδεσθαι. ἡ γὰρ ἐκ φωτὸς οὖσα τὴν ἀλλόφυλον τοῦ πυρὸς φλόγα μὴ φέρουσα βασανίζεται, ὁ δὲ ἐν τῇ τοῦ γένους αὐτοῦ ὢν οὐσίᾳ, μεγάλως ἥδεναι, δεσμὸς δύρρηκτος γενόμενος τῆς ὑπ' αὐτοῦ συμποθείσης[7] ψυχῆς.

X. Τὸ δὲ[8] τοὺς δαίμονας γλίχεσθαι εἰς τὰ τῶν ἀνθρώπων εἰσδύειν

daemones et morbos ab iis immissos poteritis effugere, sed fugatis utrisque et a daemonibus suppliciter rogati etiam futuris bonis perpetuo fruemini.

IX. Alioquin contra in hac quidem vita per daemones atrocibus morbis illudemini, quando autem animae vestrae e corpore migrabunt, in aeternum poenas solvent, profecto non quod Deus condemnet, sed quod mala opera hoc mereantur judicium. Nam daemones potestate per ipsis traditum cibum accepta, vestris manibus in vestra immittuntur corpora. Ubi enim latuerunt multo tempore, etiam cum anima commiscentur. Et propter negligentiam eorum, qui sibi providere aut non cogitant, aut non volunt, eorundem anima, cum a corpore separatur, daemoni unita necessario ab eo in loca quae ipse vult defertur. Quodque gravissimum est, quando in omnium consummatione daemon primo in expiationis ignem traditus fuerit, necesse est, ut ei quidem permista anima infandum in modum vexetur, daemon vero gaudeat. Illa siquidem, quae ex lumine est, extraneam ignis flammam non ferens torquetur, hic autem, qui in generis sui est substantia, valde laetatur, cum animae ab ipso deglutitae vinculum factus sit ruptu difficillimum.

X. Quod autem daemones gestiunt in corpora hominum intrare, haec

1. τοιαῦτα p. αὐτοὶ αὐτὰ C.
2. Cotelerius haec male vertit: „vera non quod Deus condemnet.“ Eodem modo τὰ ἀληθῆ (= ἀληθῶς) usurpatur Hom. XI, 12, 29. XIV, 7. S.
3. Ita S, εἰσκρίνεται C O.
4. ἀνακίρνανται S O, ἀνακίρνατα C.
5. αὐτοῖς O.
6. ἐπὰν S O, ἐπ' ἂν C.
7. συμποθείσης D O, συμπαθείσης C, qui conj. συμπαγείσης.
8. τοῦ δὲ scribit Schliemannus Clem.

www.libtool.com.cn

σώματα, αἰτία αὕτη. πνεύματα ὄντες καὶ τὴν ἐπιθυμίαν ἔχοντες εἰς βρωτὰ καὶ ποτὰ καὶ συνουσίαν, μεταλαμβάνειν δὲ μὴ δυνάμενοι διὰ τὸ πνεύματα εἶναι καὶ [1] δεῖσθαι ὀργάνων τῶν πρὸς τὴν χρῆσιν ἐπιτηδείων, εἰς τὰ ἀνθρώπων εἰσίασιν σώματα, ἵνα, ὥσπερ ὑπουργούντων ὀργάνων τυγχάντες, ὧν θέλουσιν ἐπιτυγεῖν δυνατοὶ ὦσιν, εἴτε βρωτῶν διὰ τῶν [2] ἀνθρώπου ὀδόντων, εἴτε συνουσίας, διὰ τῶν ἐκείνου αἰδοίων. ὅθεν πρὸς τὴν τῶν δαιμόνων φυγὴν ἡ ἔνδεια καὶ ἡ νηστεία καὶ ἡ κακουχία οἰκειότατόν ἐστι βοήθημα. εἰ γὰρ τοῦ μεταλαμβάνειν χάριν εἰσέρχονται εἰς ἀνθρώπου σῶμα, δηλονότι [3] κακουχίᾳ φυγαδεύονται. ἀλλ' ἐπειδὴ ἔνια δεινότερα τυγχάνοντα προσφιλονεικήσαντα, καίτοι τιμωρούμενα, τῷ τιμωρουμένῳ προσμένει σώματι, διὰ τοῦτο χρὴ προσφεύγειν Θεῷ εὐχαῖς καὶ δεήσεσιν, ἀπεχομένους πάσης [4] ἀκαθάρτου προφάσεως, ὅπως ἡ τοῦ Θεοῦ χεὶρ εἰς ἴασιν αὐτοῦ ἐπιψαῦσαι δυνηθῇ, ὡς ἁγνοῦ καὶ πιστεύοντος.

XI. Δεῖ δὲ καὶ ἐν ταῖς εὐχαῖς τὸ [5] θεῷ προσπεφευγέναι ὁμολογεῖν, καὶ διαμαρτύρασθαι [6] τὴν τοῦ δαίμονος οὐκ ἀπάθειαν, ἀλλὰ βραδυτῆτα [7]. πάντα γὰρ τῷ πιστεύοντι γίνεται, ἀπιστοῦντι δὲ οὐδέν. ὅθεν αὐτοὶ οἱ δαίμονες, εἰδότες ὧν ἐπικρατοῦσι τῆς πίστεως τὴν ποσότητα, ἀναλογοῦσαν ἐπιμετροῦσιν αὐτῶν τὴν ἐπιμονήν. διὰ τοῦτο τοῖς ἀπιστοῦσιν ἐπιμένουσιν, τοῖς δὲ δυσπίστοις ἐμβραδύνουσιν, τοῖς δὲ παντάπασι πιστεύσασι καὶ εὖ

causa est. Cum sint spiritus et appetant cibos et potus ac libidinem, nec possint capere, quia, quum spiritus sint, indigent organorum ad usum necessariorum, in hominum ingrediuntur corpora, ut tamquam ministrantia membra nacti quae cupiunt possint obtinere, sive cibos, per dentes hominis, sive libidinem, per genitalia illius. Unde ad fugandos daemonas abstinentia et jejunium et afflictatio aptissimum est auxilium. Si enim ad fruendum ingrediuntur in corpus hominis, patet illos fugari afflictione. Verum quia quidam molestiores, ubi contenderint, quamvis fuerint castigati, tamen in castigato corpore permanent, ideo ad Deum oportet confugere precibus et orationibus, atque omni impura occasione abstinendo, ut Dei manus in illius sanitatem possit accedere, tamquam puri ac fidelis.

XI. Oportet autem in precibus confiteri, confugisse nos ad Deum, atque attestari daemonis non indolentiam, sed tarditatem. Cuncta enim fideli fiunt, infideli vero nihil. Unde ipsi daemones, scientes eorum quos obtinent fidei quantitatem, ex proportione suam metiuntur mansionem. Quocirca in infidelibus perseverant, in iis autem qui aegre credunt immorantur, cum iis vero,

p. 166. 569. Recte. Cf. Hom. IV, 9. S. Dein deest τῶν in O.

1. καὶ S O, desideratur ap. C. D legi vult πνεύματα ὄντα δεῖσθαι.
2. τοῦς C. Tum id. ὀδόντας et τὰ ἐκείνου αἰδοῖα.
3. δῆλον ὅτι C.
4. Ci τε ante πάσης omisi c. O.
5. τῷ C.
6. διαμαρτύρεσθαι O.
7. βραδύτητα C. Tum δὲ om. O.

www.libtool.com.cn

πράττουσιν οὐδὲ πρὸς ῥοπὴν ὥρας συνεῖναι δύνανται. ἡ γὰρ ψυχὴ τῇ πρὸς Θεὸν πίστει ὡς εἰς ὕδατος φύσιν τραπεῖσα τὸν δαίμονα ὡς σπινθῆρα πυρὸς ἀποσβέννυσιν. κάμιατος οὖν ἐστιν ἑκάστῳ ἐννοηθῆναι[1] τὴν τοῦ ἑαυτοῦ δαίμονος φυγήν. ἀνακιρνάμενοι γὰρ ταῖς ψυχαῖς, ὅπως τις τῆς αὐτοῦ σωτηρίας ἀμελήσῃ[2], ἐνθυμήσεις πρὸς ἃ βούλονται[3] ὑποβάλλουσιν εἰς τὸν ἑκάστου νοῦν.

XII. Ὅθεν πολλοί, οὐκ εἰδότες πόθεν ἐνεργοῦνται, ταῖς τῶν δαιμόνων κακαῖς ὑποβαλλομέναις ἐπινοίαις ὡς τῷ τῆς ψυχῆς αὐτῶν λογισμῷ συντίθενται. διὸ πρὸς τοὺς σώζειν αὐτοὺς δυναμένους ἐλθεῖν ὀκνηρότεροι γίνονται καὶ αὐτοὺς[4] ὑπ' αὐτῶν τῶν ἐνεδρευόντων δαιμόνων ἀναλισκόμενοι ἀγνοοῦσιν. ὑπὸ μὲν οὖν τῶν ταῖς ψυχαῖς αὐτῶν ἐνδομυχούντων δαιμόνων ἐνεδίδοται αὐτοῖς ἐνθυμεῖσθαι, ὡς οὐ δαίμονος ἐνοχλοῦντος, ἀλλὰ σωματικῆς νόσου, οἷον ἢ ὕλης δριμείας, ἢ χολῆς, ἢ φλέγματος, ἢ αἵματος ἀμετρίας[5], ἢ μήνιγγος φλεγμονῆς, ἢ ἄλλου τινός. εἰ δὲ καὶ τοῦτο ἦν, οὐδ' αὐτὸ ἀπήλλακται δαίμονος εἶδος εἶναι. ἡ γὰρ καθόλου καὶ γεώδης ψυχή, αἰτίᾳ[6] πάντων τῶν βρωτῶν διικνουμένη, ὑπὸ τῆς πλείονος τροφῆς ἐπὶ πλεῖον προσληφθεῖσα, αὐτὴ μὲν ὡς συγγενεῖ ἑνοῦται τῷ πνεύματι, ὅπερ

qui penitus crediderunt et sancte vivunt, nec ad momentum temporis possunt consistere. Anima quippe per fidem in Deum quasi in aquae naturam conversa, daemonem velut scintillam ignis exstinguit. Labor itaque est unicuique, ut intelligat daemonis sui fugam. Siquidem cum animabus conjuncti, quo aliquis salutem suam negligat, cogitationes ad quae volunt in cujusque mentem injiciunt.

XII. Quare multi, nescientes unde inspirentur, pravis daemonum suggestionibus tamquam animae suae considerationi consentiunt. Quapropter ad illos adeundos, qui ipsos servare possint, fiunt segniores, eosque, ab insidiantibus daemonibus capti, ignorant. Itaque per latentes in eorum animabus daemones datur illis intelligi, se non a daemone vexari, sed a corporis morbo, exempli gratia vel ab acri materia, vel a bile, vel a pituita, vel a nimio sanguine, vel ab inflammata cerebri membrana, vel ab alio quopiam. Quod etsi essent, neque ipsum desineret esse daemonis species. Universalis enim ac terrestris anima, propter omnes cibos penetrans, ex nimio alimento nimis adsumta, ipsa quidem unitur spiritui tamquam affini, hoc est hominis animae,

1. ἐκνοηθῆναι C. Deinde τοῦ ἐν αὐτῇ p. τοῦ ἑαυτοῦ O.
2. ἀμελήσει O.
3. βούλονται O, ut voluit S, βούλεται C.
4. Ita S, τους absque accentu Cod. Ci, qui καὶ τούτους proposuit, τοὺς O.
5. ἀμετρία O.
6. S: ἡ διὰ conj. Neander gnost. Syst. p. 418. Vocem αἰτίᾳ explicavit Crednerus in commentatione sua de Essenis et Ebionaeis (Winer, Zeitschr. für wiss. Theol. 1829.) p. 282. τῶν ante βρωτῶν adscripsi c. O.

www.libtool.com.cn

ἐστὶν ἀνθρώπου ψυχή, τὸ δὲ τῆς τροφῆς ὑλῶδες τῷ σώματι ἐνωθὲν ὡς δεινὸς αὐτῷ ὑπολείπεται ἰός. διὸ ἐπὶ πάντων καλὸν ἡ αὐτάρκεια.

XIII. Τινὲς δὲ τῶν κακούργων δαιμόνων ἄλλως ἐνεδρεύουσιν. τὴν ἀρχὴν οὐδὲ ὅτι[1] εἰσὶν ἐμφαίνοντες, ὅπως ἡ κατ' αὐτῶν σπουδὴ μὴ γένηται, εὐκαίρως δὲ ὀργῆς προφάσει, ἔρωτος, ἢ ἄλλου τινός, ἤτοι[2] ξίφει, ἢ βρόχῳ, ἢ κρημνῷ, ἢ ἑτέρῳ τινὶ τὸ σῶμα αἰφνιδίως ἐνυβρίζουσιν, καὶ εἰς τέλος κολασθησομένας καθεστῶσι[3] τῶν ἀνακεκραμένων τὰς ἠπατημένας[4] αὐτοῖς ψυχάς, ὡς ἔφαμεν, εἰς τὸ καθάρσιον χωρήσαντες πῦρ. ἄλλοι δὲ ἄλλως ἐνεδρευόμενοι οὐ προσίασιν ἡμῖν, ταῖς τῶν κακούργων δαιμόνων ἐνθυμήσεσιν ἀπατώμενοι, ὡς ὑπὸ μὲν τῶν θεῶν αὐτῶν ταῦτα πάσχοντες διὰ τὴν πρὸς αὐτοὺς ἀμέλειαν, θυσίαις δὲ αὐτοὺς διαλλάσσειν δυνάμενοι, καὶ ὅτι μὴ χρὴ αὐτοὺς ἡμῖν προσιέναι, ἀλλὰ τοὐναντίον φεύγειν καὶ μισεῖν. καὶ ὁμῶς[5] μισοῦσι καὶ φεύγουσι τοὺς μᾶλλον ἐλεοῦντας[6] καὶ ἐπ' εὐεργεσίᾳ αὐτοὺς διώκοντας.

XIV. Μισοῦντες οὖν καὶ φεύγοντες ἡμᾶς ἐνεδρεύονται, οὐκ εἰδότες πόθεν αὐτοῖς τὰ ἐναντία τῇ αὐτῶν σωτηρίᾳ φρονεῖν γίνεται· οὔτε γὰρ ἡμεῖς αὐτοὺς μὴ βουλομένους πρὸς σωτηρίαν νεῦσαι βιάσασθαι δυνάμεθα, ἐπεὶ μὴ τοσαύτην νῦν κατ' αὐτῶν ἔχομεν ἐξουσίαν, οὔτε αὐτοὶ ἀφ' ἑαυτῶν τὴν κακὴν τοῦ δαίμονος ἐνθύμησιν νοῆσαι δύνανται, οὐ γὰρ ἴσασιν ὅθεν αὐ-

quod autem in nutrimento crassum est, cum corpore unitum ut grave illi relinquitur venenum. Quocirca in omnibus bona est frugalitas.

XIII. Alii vero malitiosorum daemonum insidiantur aliter. Nullatenus enim manifestant se, ne contra illos adhibeatur diligentia, oportune autem, occasione irae, amoris aut alterius cujuspiam repente seu gladio, seu laqueo, seu praecipitio, seu alio quodam contumeliam inferunt corpori, et in fine punitioni subjiciunt deceptas ab ipsis eorum animas, quibuscum fuere permisti, sicut diximus, abeundo in ignem expiatorium. Alii vero homines aliter insidias passi non accedunt ad nos, decepti malignorum daemonum inspirationibus, tamquam a diis ipsis ista propter negligentiam erga eos patiantur, possint vero per sacrificia in gratiam cum iis redire, quodque non debeant nobis accedere, sed contra fugere ac odio prosequi. Sicque oderunt ac refugiunt eos, qui illorum potius miserentur, quique illos ad beneficia insequuntur.

XIV. Dum igitur nos odio habent et fugiunt, insidiis appetuntur, ignari unde ipsis contingat, ut contraria saluti suae sentiant. Neque enim nos, si nolint ad salutem propendere, cogere eos possumus, quia tantam nunc non habemus in ipsos potestatem, neque ipsi a se ipsis pravam daemonis inspira-

1. Pro ὅτι S legi vult ὅλως. Tum inserui εἰσὶν c. O. Deinde ἡ delendum putat S.
2. ἤ τε C, ἤτε S.
3. καθεστᾶσιν C, καθιστᾶσιν S.
4. ἠπατημένους O.
5. Ita S, qui οὕτως conj., ὅμως C O.
6. ἐλεῶντας C.

www.libtool.com.cn

τοῖς αἱ τῶν κακῶν ἐνθυμήσεις ὑποβάλλονται. εἰσὶν δὲ[1] οὗτοι, οὓς οἱ δαίμονες καθ' ἃς βούλονται μορφὰς ἐπιφαινόμενοι φοβοῦσιν. ἔσθ' ὅτε δὲ καὶ τοῖς νοσοῦσι θεραπείας συντάσσουσιν, καὶ οὕτως τοῖς προηπατημένοις θεῶν δόξαν ἀποφέρονται. καὶ τοὺς δαίμονας[2] εἶναι τοὺς πολλοὺς λανθάνουσιν, ἀλλὰ οὐχ ἡμᾶς τοὺς εἰδότας αὐτῶν τὸ μυστήριον, τίνος ἕνεκα τοιαῦτα πράττουσιν, ἑαυτοὺς κατ' ὄναρ καθ' ὧν τὴν ἐξουσίαν ἔχουσι μεταμορφοῦντες, καὶ οὓς μὲν φοβοῦσιν, οἷς δὲ χρηματίζουσι καὶ θυσίας ἀπαιτοῦσι καὶ συνεστιᾶσθαι κελεύουσιν, ἵνα αὐτῶν τὰς ψυχὰς συμπίνωσιν[3].

XV. Ὡς γὰρ οἱ δεινοὶ ὄφεις τοῖς αὐτῶν πνεύμασι τοὺς στρούθους ἐπισπῶνται, οὕτω καὶ αὐτοὶ τοὺς μεταλαμβάνοντας τῆς αὐτῶν τραπέζης, διά γε τῶν βρωτῶν καὶ ποτῶν ἀνακραθέντες αὐτῶν τῷ νῷ, εἰς τὸ ἴδιον αὐτῶν[4] ἐπισπῶνται βούλημα, μεταμορφοῦντες ἑαυτοὺς κατ' ὄναρ κατὰ τὰς τῶν ξοάνων ἰδέας[5], ἵνα τὴν πλάνην αὐξήσωσιν. τὸ γὰρ ξόανον οὔτε ζῷόν ἐστιν, οὔτε θεῖον ἔχει πνεῦμα, ὁ δὲ ὀφθεὶς δαίμων τῇ μορφῇ ἀπεχρήσατο. πόσοι[6] κατ' ὄναρ ὁμοίως ἄλλοις ὤφθησαν, καὶ ὕπαρ συναντήσαντες[7] ἀλλήλοις πρὸς τὸ κατ' ὄναρ ἀντιβάλλοντες οὐ συνεφώνησαν; ὥστε οὐκ ἔτι

tionem possunt intelligere. Nesciunt enim unde sibi malorum suggerantur cogitationes. Sunt autem illi, quos daemones qua volunt forma apparentes terrent. Interdum vero aegrotis remedia praescribunt. Atque ita ab iis, quos prius deceperunt, deorum honorem reportant. Et quod daemones sint, multos latet, non tamen nos, qui eorum scimus mysterium, quam ob causam haec faciant, ut in somnis se transforment adversus illos qui in eorum sunt potestate, et alios quidem terreant, alios vero moneant oraculis et poscant sacrificia, ac secum vesci jubeant, quo illorum deglutiant animas.

XV. Quemadmodum enim tetri serpentes suo habitu passeres attrahunt, sic et daemones eos, qui mensae illorum participes sunt, per cibos et potus cum mente eorum temperati ad suam trahunt voluntatem, transformantes se in somnis juxta formas simulacrorum, ut errorem augeant. Nam simulacrum neque animal est, neque divinum habet spiritum, qui vero apparuit daemon, specie abusus est. Quot similiter homines per somnium ab aliis visi sunt, et inter vigilandum obvii facti, factaque comparatione cum somni viso, non con-

1. Cotelerius in versione vehementer labitur. Ceterum graeca quoque haud sana sunt. Fortasse verba εἰσὶν δὲ mutanda sunt in ἄλλους δὲ, cui emendationi fidem facit Recognitionum liber, cujus paraphrasis haec est: „aliis etiam Daemones in visu per diversas imagines apparentes interdum minas intendunt, interdum sanitates pollicentur“ (IV, 19). Cfr. infra c. 14. S. Post οὗτοι commate distinxi, assumpsique οὓς ex O.

2. τοὺς δαίμονας dedi ex conject., τοῦ δαίμονος C, qui conj. τοῦ δαίμονας, ut est in O, τὸ δαίμονες S.

3. συμπίνωσιν S O, συμπίνουσιν C.

4. δι' αὐτῶν p. ἴδιον αὐτῶν O.

5. εἰδέας C.

6. Ita C ex conject. in marg., πόσοις id. in textu, ut O.

7. Ita in marg. C, qui in textu ὑπερσυναντήσαντες, ut O.

www.libtool.com.cn

ὄναρ ἐπιφάνεια[1] ἐκεῖνό ἐστιν, ἀλλ' ἢ δαίμονός ἐστιν ἢ ψυχῆς τὰ[2] ἐπιγεννήματα τοῖς παριοῦσι φόβοις καὶ ἐπιθυμίᾳ ἀποδιδούσης τὰς ἰδέας[3]· ἡ γάρ, φόβῳ τὸν νοῦν πληγεῖσα, δι'[4] ὀνείρων τὰς ἰδέας ἀποκυΐσκει. εἰ δὲ τὰ ξόανα οἴεσθε ὡς ἔμπνοα ὑπάρχοντα τὰ τοιαῦτα ἐνεργεῖν δύνασθαι, ἐπὶ ζυγοῦ ἐπιστήσαντες αὐτά, ἴσου ὄντος τοῦ κανόνος, τὸ ἀντίρροπον ἐπὶ τῆς ἑτέρας πλάστιγγος θέντες, ἀξιώσατε αὐτὰ ἢ ὁλκότερα γενέσθαι ἢ κουφότερα, καὶ οὕτως ἐὰν γένηται, ἔμπνοά ἐστιν· ἀλλ' οὐ γίνεται· εἰ δὲ ἔσται, οὔπω τὸ τοιοῦτο θεός ἐστιν. καὶ γὰρ δακτύλῳ δαίμονος τοῦτο γενέσθαι δύναται. καὶ σκώληκες κινοῦνται, καὶ θεοὶ οὐ λέγονται.

XVI. Ὅτι δὲ πρὸς τὰς προλήψεις ἡ ἑκάστου ψυχὴ ἰδέας[5] δαιμόνων ἀπεικονίζει, καὶ οὐχ οἱ λεγόμενοι θεοὶ ἐπιφαίνονται, σαφής ἐστιν ἐκ τοῦ Ἰουδαίοις μὴ ἐπιφαίνεσθαι. ἀλλ' ἐρεῖ τις· πῶς οὖν χρηματίζουσι τὰ μέλλοντα προσημαίνοντες; καὶ τοῦτο ψεῦδός ἐστιν. δεδόσθω δὲ ἀλήθειαν[6] εἶναι, οὔπω τὸ τοιοῦτο θεός ἐστιν. οὐ γὰρ εἴ τι[7] μαντεύεται, θεός ἐστιν. ὅτι καὶ πύθωνες μαντεύονται, ἀλλ' ὑφ' ἡμῶν ὡς δαίμονες ἐκριζούμενοι φυγαδεύονται. ἀλλ' ἐρεῖ τις· ἐνίοις θεραπείας προστάσσουσιν. ψεῦδός ἐστιν· δεδόσθω δὲ οὕτως ἔχειν, οὔπω τὸ τοιοῦτο θεός ἐστιν. καὶ γὰρ ἰατροὶ ἰῶνται πολλούς, καὶ θεοὶ οὐκ εἰσίν. ἀλλά φησιν· ἰατροὶ οὐ πάντως ἰῶνται ἐκείνους, ὧν τὴν πρόνοιαν ποιοῦνται, οὗτοι δὲ καὶ χρηματίσαντες

sonuerunt? Adeo ut insomnium hoc jam non sit apparitio, sed accessio vel daemonis vol animae, quae ex praesentibus et cupiditate formas seu ideas exprimit: illa enim timore mentem perculsa per quietem ideas parit. Si autem existimatis statuas, utpote vivas et spirantes, ista posse efficere, in aequilibri statera imponite eas et in altera lance par pondus collocate, tuncque rogate illas ut aut graviores fiant aut leviores, atque si ita evenerit, vivunt: sed non eveniet: quod etsi fieret, nondum hujusmodi res esset numen. Etenim daemonis digito id effici potest. Et vermes moventur, nec tamen dicuntur dii.

XVI. Quod autem ex anticipatione anima uniuscujusque ideas daemonum effingat, non vero qui dicuntur dii appareant, clarum est ex eo quod a Judaeis non cernuntur. Sed objiciet aliquis: quo modo igitur responsa dant, futura praenuntiantes? Et hoc falsum est; sed verum esse concedatur, nondum id deus est. Non enim, si quid vaticinatur, deus est. Nam et Pythones praesagiunt, verum a nobis, ut daemones, eradicati fugantur. At dicet quispiam: nonnullis remedia tribuunt. Falsum est: sed ita habere concedatur, nondum id est deus. Etenim medici multos curant, nec dii sunt. Sed, inquit, medici non omnes illos sanant, quorum curam suscipiunt, hi vero et per oracula

1. ἐπιφανείη O.
2. τὰ melius abesset. S. Deinde παροῦσι C ex conject., παρία in textu.
3. εἰδέας C.
4. διὰ C.
5. εἰδέας C.
6. Ita scriptura Cod. Ottob. explicanda esse videtur. Accusativo opus esse, jam vidit S. ἀλήθεια vulgo.
7. Fort. leg. τις. S.

www.libtool.com.cn

ἰῶνται. ἀλλ' ἴσασιν οἱ δαίμονες τὰ ὄντως πρὸς ἕκαστον πάθος προσοικειωμένα[1] βοηθήματα· διὸ ἰατροὶ ἐπιστήμονες ἰᾶσθαι δυνάμενοι, καὶ ταῦτα τὰ[2] ὑπὸ ἀνθρώπων ἰσθῆναι δυνάμενα, ἀλλὰ καὶ μαντικὰ ὄντα καὶ εἰδότα πότε ἕκαστον ἐξ αὐτομάτου θεραπεύεται, τότε συντάσσουσι τὰς θεραπείας, ἵνα ἑαυτοὺς ἐπιγράφωσιν.

XVII. Ἐπεὶ διὰ τί[3] μετὰ πολὺν χρόνον χρηματίζουσι τὰς ἰάσεις; διὰ τί δέ, εἰ πάντα δύνανται, ἄνευ τοῦ προσφέρειν τι[4] τὴν ἴασιν οὐ ποιοῦνται; τίνος δὲ ἕνεκα τισὶ μὲν εὐξαμένοις θεραπείας προστάσσουσιν, ἐνίοις δὲ ἔσθ' ὅτε καὶ οἰκειοτέροις οὖσιν οὐ χρηματίζουσιν; οὕτως ὁπόταν ἐξ αὐτομάτου θεραπεία μέλλῃ γίνεσθαι, ἐπαγγέλλονται, ἵνα ἑαυτοὺς ἐπιγράψωσιν. ἄλλοι δὲ νοσήσαντες καὶ εὐξάμενοι ἐξ αὐτομάτου ὑγιάναντες, οὓς ἐπεκαλέσαντο, ἐπέγραψαν, καὶ ἀναθήματα ἐποίησαν. οἱ μέντοι γε μετ' εὐχὴν διαφωνήσαντες τὰς ἀποτυχίας ἀναθεῖναι οὐ δύνανται. πλὴν εἰ οἱ συγγενεῖς τῶν τεθνεώτων ἢ[5] ἐξ αὐτῶν τινες ἀνεζήτησαν[6] τὰς ἀποτυχίας, πλείονας ἂν εὑρήκοιτε τὰς ἀποτυχίας τῶν[7] ἐπιτευγμάτων. ἀλλ' οὐδεὶς προειλημμένος αὐτοῖς φὸν κατ' αὐτῶν ἔλεγχον ἐκφάναι θέλει, αἰδούμενος ἢ φοβούμενος, ἀλλὰ τοὐναντίον, τὰ πιστὰ αὐτῶν ἀποπήματα συγκρύβουσιν.

sanant. At sciunt daemones, quae vere ad unumquemque morbum apta sunt remedia. Quare cum sint periti medici, mederi valentes, idque morbis, qui ab hominibus possunt cognosci, cumque vates sint, sciantque quando quisque morbus ex se ipso curetur, ita dant remedia, ut sibi eventum attribuant.

XVII. Alioquin cur post multum temporis promittunt curationes? Cur vero, si cuncta possunt, absque rei alicujus admotione non reddunt sanitatem? Quam etiam ob causam nonnullis quidem precantibus remedia imperant, quibusdam vero, interdumque magis familiaribus, non dant responsa? Scilicet quando sanitas ultro recuperanda est, pollicentur, ut sibi sanationem vindicent. Alii vero aegroti, post preces casu recepta sanitate, iis quos invocaverant adscripserunt et donaria appenderunt. Qui autem post votum decepti exspirarunt, infortunia non possunt dedicare. Quodsi mortuorum affines vel eorum aliqui, quoties voti sui compotes facti non fuerint, indagarent, plura invenireris adversa quam prospera. Sed nullus iis praeoccupatus eorum redargutionem vult eloqui, reveritus aut metuens, immo contra, explorata illorum crimina occultant.

1. προσωκειώμενα O.
2. τὰ dele. S. Tum ἰαθῆναι C, ἰασθῆναι Cl. Labitur Schweglerus quod ad lectionem Cotelerii. — Deinde μαντικὰ ὄντα καὶ εἰδότα ad daemonas referendum est, de quibus saepe, quasi τὰ δαιμόνια parecesserit, neutro genere loquitur auctor homiliarum. Supra c. 10, et infra c. 19, 20. S.
3. δύνανται p. διὰ τὶ O. Tum idem πολὺν χρόνον χρόνον χρηματίζουσι.
4. τὶς O.
5. ἢ addidit D.
6. συνεζήτησαν C. Post ἀποτυχίας perperam puncto majori distinxerat. Verum restituit D. Tum εὑρήκειτε S O, εὑρήκητε C.
7. τὴν O.

www.libtool.com.cn

XVIII. Πόσοι δὲ καὶ καταψεύδονται χρηματισμοὺς καὶ θεραπείας ἐξ αὐτῶν ἀποτελεσθείσας, καὶ ταύτας βεβαιοῦνται μετὰ ὅρκων; πόσοι δὲ ἐπὶ μισθῷ ἑαυτοὺς ἐξέδωκαν, δι' ἐνίων ἐπινοιῶν πάσχειν τινὰ ἀναδεξάμενοι, καὶ οὕτως κηρύξαντες, αὐτῶν τὸ πάθος ἀντιπαθείᾳ ἀποκατασταθέντες, κεχρηματίσθαι[1] τὴν θεραπείαν λέγουσιν, ἵνα τὸ ἀναίσθητον ἐπιγράψωσι σέβασμα; πόσα δὲ αὐτῶν ἐκ καταρχῆς μαγικῇ τέχνῃ ἐτελέσθη, ἵνα ὀνειροπολῇ καὶ χρηματίζῃ; καὶ ὅμως μακρῷ χρόνῳ καὶ ταῦτα διεφώνησεν. πόσοι δὲ νῦν[2] τὰ τοιαῦτα κρατύνειν θέλοντες γοητεύουσιν; πλὴν οὐκ εἴ τε[3] μαντικόν ἐστιν ἢ θεραπευτικόν, τοῦτο θεός ἐστιν.

XIX. Ὁ γὰρ Θεὸς πάντα δύναται. ἐκεῖνος γάρ ἐστιν ἀγαθὸς καὶ δίκαιος, νῦν πᾶσι μακροθυμῶν, ἵνα οἱ βουλόμενοι ἐφ' οἷς ἔπραξαν κακοῖς μεταμεληθέντες καὶ καλῶς[4] πολιτευσάμενοι, ἐν ἡμέρᾳ ᾗ τὰ πάντα κρίνεται τῶν[5] κατ' ἀξίαν ἀπολαύσωσιν. διὸ νῦν ἄρξασθε, ἀγαθῆς γνώσεως αἰτίᾳ Θεῷ πειθόμενοι, ἀντιλέγειν ὑμῶν ταῖς κακαῖς ἐπιθυμίαις καὶ ἐννοίαις, ἵνα δυνηθῆτε ἀνακαλέσασθαι τὴν πρώτην τῇ ἀνθρωπότητι παραδοθεῖσαν[6] σωτήριον θρησκείαν. οὕτω γὰρ ὑμῖν ἑαυτῆς[7] ἀνατελεῖ τὰ ἀγαθά, ἃ τινα λαβόντες πεῖραν τῶν κακῶν τοῦ λοιποῦ καταλείψετε. ἀλλὰ τῷ δεδωκότι

XVIII. Quam multi vero et oracula ementiuntur curationesque ex iisdem factas, quas juramentis quoque confirmant? Quot autem mercede ipsos se tradiderunt, qui commentis quibusdam nonnulla sponte passi atque ita praedicantes, cum e morbo per remedium convaluerint, oraculo promissam fuisse sanitatem asserunt, ut stolidum cultum stabiliant? Quam multa porro ex illis principio per magicam artem peracta sunt, ut per somnia et oracula praedicerentur? attamen longo tempore haec quoque fraus desiit. Quot autem jam ista firmare cupientes praestigiis utuntur? Ceterum si quid vaticinatur vel curat, non id statim deus est.

XIX. Nam Deus omnia potest. Is enim est bonus ac justus, nunc in cunctos patiens, ut qui voluerint, poenitentia de malis a se commissis acta et vita pie transacta, eo die quo universa judicabuntur pro merito percipiant. Quapropter nunc incipite, propter bonam cognitionem, persuasi a Deo, resistere vestris pravis cupiditatibus et cogitationibus, quo possitis primam, quae humano generi tradita fuit, salutarem observantiam revocare. Sic enim vobis continuo orientur bona, quibus acceptis ab experientia malorum deinceps cessabitis. Sed ei qui dedit agite gratias, cum pacis rege perpetuo ineffabilium

1. Ita O c. S, κεχρηματείσθαι C.
2. νῦν transcripsi ex O.
3. οὐκ εἴ τι O c. D, οὐχί τι C.
4. καλῶς, quod exh. Cod. Reg. 804, deest in utroque Hom. Codice. μεταμεληθέντες καὶ κατὰ τὸ ἀρέσκον αὐτῷ βιώσαντες habet Epit. c. 66.
5. τῶν adjungunt Cod. Reg. 804 et Epit. c. 66.
6. παραδοθεῖσαν ἐντολὴν Cod. Reg. 804.
7. ἐξ αὐτῆς O. Dein πεῖραν D, πείρᾳ C D.

www.libtool.com.cn

εὐχαριστήσατε, μετὰ τοῦ τῆς εἰρήνης βασιλέως εἰσαεὶ τῶν ἀπορρήτων βασιλεύοντες[1] ἀγαθῶν. ἐν δὲ τῷ παρόντι, ἀενάῳ[2] ποταμῷ ἢ πηγῇ ἐπεί γε κἂν θαλάσσῃ ἀπολουσάμενοι ἐπὶ τῇ τρισμακαρίᾳ ἐπονομασίᾳ οὐ μόνον τὰ ἐνδομυχοῦντα ὑμῖν πνεύματα ἀπελάσαι δυνήσεσθε, ἀλλ' αὐτοὶ μηκέτι ἁμαρτάνοντες καὶ Θεῷ ἀνενδοιάστως πιστεύοντες τὰ ἄλλων κακὰ πνεύματα καὶ δαιμόνια χαλεπὰ σὺν τοῖς δεινοῖς πάθεσιν ἀπελάσετε. ἐνίοτε δὲ μόνον ἐνιδόντων[3] ὑμῶν φεύξονται. ἴσασι γὰρ τοὺς ἀποδεδωκότας ἑαυτοὺς τῷ Θεῷ. διὸ τιμῶντες αὐτοὺς πεφοβημένοι φεύγουσιν, ὥσπερ ἐχθὲς[4] ἑωράκατε, πῶς ἐμοῦ ἀναθεμένου μετὰ τὴν προσομιλίαν εὔξασθαι ὑπὲρ τῶν πασχόντων αὐτὰ τὰ πάθη, τῇ πρὸς τὴν θρησκείαν τιμῇ ἀνέκραγεν, βραχεῖαν ὥραν στέξαι μὴ δυνηθέντα.

XX. Μὴ οὖν νομίσητε ὅτι ἡμεῖς ἄλλης φύσεως ὄντες κατὰ τοῦτο δαίμονας οὐ φοβούμεθα. τῆς γὰρ αὐτῆς ὑμῖν ἐσμὲν φύσεως, ἀλλ' οὐ θρησκείας. διὸ ὑμῶν οὐ πολύ, ἀλλὰ τὸ πᾶν κρείττονες ὄντες καὶ ὑμᾶς[5] τοιούτους γενέσθαι οὐ φθονοῦμεν, ἀλλὰ τοὐναντίον συμβουλεύομεν, εἰδότες ὅτι τοὺς Θεῷ προσοικειωθέντας ταῦτα πάντα ἀγνώστως προσιμᾷ καὶ φοβεῖται.

XXI. Ὅνπερ γὰρ τρόπον Καίσαρος χιλιάρχῳ οἱ ὑποκείμενοι στρατιῶται διὰ τὴν τοῦ δεδωκότος ἐξουσίαν τὸν εἰληφότα οἴδασι τιμᾶν, τοσοῦτον

bonorum regnum habituri. In praesenti vero, perenni flumine vel fonte aut etiam mari loti in ter beata invocatione non solum latitantes in vobis spiritus poteritis expellere, sed ipsi non amplius delinquendo et Deo indubitate credentes aliorum malos spiritus ac truculentos daemones gravesque morbos abigetis. Et interdum ubi solum inspexeritis vos, fugient. Agnoscunt enim eos qui se tradiderint Deo. Quare honorantes eos ac veriti fugiunt, sicut heri vidistis, quo modo cum ego distulissem post allocutionem orare pro iis qui morbis afflictabantur, daemones propter honorem religionis exclamarunt et ne parvo quidem tempore potuerunt sustinere.

XX. Nolite ergo arbitrari, nos alterius esse naturae, ideoque daemonas non timere. Unius enim ejusdemque vobiscum sumus naturae, at non religionis. Quare vobis non multum, sed omnino meliores vos quoque fieri similes non invidemus, immo contra consilium damus, gnari quod hi omnes eos qui Deo conjuncti sunt, ignotum mirumque in modum honorant ac metuunt.

XXI. Sicut enim Caesaris tribuno subjecti milites propter eum, qui potestatem dedit, ei qui potestatem accepit, honorem deferunt, in tantum, ut

1. Ita O et C ex conject., βασιλευοῦντες id. in textu, ἀπολαύοντες Epit. l. c.
2. ἀενάφ C.
3. Fortasse leg. ἐπόντων: „sola praesentia propelluntur“ vertunt Recogn. IV, 32. S.
4. χθές O. Tum fortasse leg. ἐπιθεμένου. S.
5. ὑμᾶς S O, ὑμεῖς C.

www.libtool.com.cn

ὥστ' ἂν τοὺς ἐφεστῶτας λέγειν τούτῳ, ἐλθέ, καὶ ἔρχεται [1], καὶ ἄλλῳ, πορεύου, καὶ πορεύεται [2], οὕτως καὶ ὁ Θεῷ ἑαυτὸν ἀποδούς, πιστὸς ὤν, δαίμοσί τε καὶ πάθεσι μόνον λέγων ἀκούεται, καὶ ὑποχωροῦσι δαίμονες, πολὺ ἰσχυρότεροι ὄντες τῶν κελευόντων. ἀφράστῳ γὰρ δυνάμει τὸν ἑκάστου νοῦν ὁ Θεὸς ὑποτάσσει ᾧ βούλεται. ὡς γὰρ τὸν Καίσαρα πεφόβηνται ὄντα ἄνθρωπον πολλοὶ ἡγεμόνες μετὰ πασῶν τῶν παρεμβολῶν καὶ πόλεων, τῆς ἑκάστου καρδίας [3] τῶν ὅλων εἰκόνα προτιμᾶν σπευδούσης· Θεοῦ γὰρ βουλῇ τὰ πάντα δεδουλωμένα φόβῳ τὴν αἰτίαν οὐκ οἶδεν· οὕτω καὶ τὸν Θεῷ προσφεύγοντα καὶ τὴν δικαίαν πίστιν ὥσπερ εἰκόνα αὐτοῦ ἐν τῇ αὐτοῦ βαστάζοντα καρδίᾳ πάντα τὰ παθοποιὰ πνεύματα τιμᾷ καὶ φεύγει, φυσικῇ τινὶ ὁδῷ πεφοβημένα.

XXII. Ἀλλ' ὅμως κἂν [4] πάντες δαίμονες μετὰ πάντων τῶν παθῶν ὑμᾶς φεύγωσιν, οὐκ ἔστιν ἐν τούτῳ μόνῳ [5] χαίρειν, ἀλλ' ἐν τῷ δι' εὐαρεστίαν τὰ ὀνόματα ὑμῶν ἐν οὐρανῷ ὡς ἀεὶ ζώντων ἀναγραφῆναι. οὕτω καὶ τὸ θεῖον ἅγιον πνεῦμα χαίρει, ὅτι τὸν θάνατον νενίκηκεν ἄνθρωπος· τὸ γὰρ [6] δαίμονας φυγαδεύειν εἰς τὴν ἄλλου ἴασιν γίνεται. ταῦτα δὲ λέγομεν, οὐχ ὡς ἀρνούμενοι τὸ μὴ δεῖν ἄλλοις βοηθεῖν, ἀλλ' ὅτι μὴ χρὴ ἐπὶ τούτῳ τυφωθέντας ἑαυτῶν ἀμελεῖν. ἔσθ' ὅτε δὲ [7] τινας ἀνόμους ἄν-

qui praepositi sunt dicant, huic veni, et veniat, et alteri, vade, et vadat: sic et qui se Deo tradiderit estque fidelis, daemonibus ac morbis dumtaxat locuens auditur, et recedunt daemones, qui multo fortiores sunt jubentibus. Ineffabili quippe vi Deus mentem singulorum subdit cui vult. Nam quemadmodum Caesarem, qui homo est, metuunt duces plurimi cum omnibus castris et urbibus, singulorum corde imaginem domini cunctorum venerari properante: Dei siquidem voluntate omnia timore in servitutem redacta causam nesciunt: ita et eum qui ad Deum confugit, et fidem justam, velut illius imaginem, in corde portat, cuncti morborum auctores spiritus honorant et fugiunt, naturali quadam ratione perterriti.

XXII. Attamen licet cuncti daemones cum omnibus morbis vos fugiant, in eo solo non est gaudendum, sed in eo quod propter beneplacitum nomina vestra in caelo, tamquam semper viventium, descripta sunt. Sic etiam sanctus Dei spiritus gaudet, quod homo mortem vicerit; nam quod daemones fugantur, in alterius sanitatem fit. Haec vero dicimus, non quasi negemus aliis esse succurrendum, sed quia non oportet, ut eam ob rem elati negligamus nos. Contingit autem aliquando, ut daemones viros quosdam impios fugiant propter

1. ἔρχεσθαι O. Matth. 8, 9.
2. πορεύεσθαι O.
3. Post καρδίας C inserendum putat τοῦ vel θεοῦ. Cfr. e. g. Hom. XI. 24. Fortasse τῶν ὅλων mutandum in τὸν θεοῦ. S.
4. Ita O c. marg. Ci, in cujus textu καὶ.
5. μόνον O.
6. Ita locum corruptum atque mancum sanavi c. O. Ap. C est οὕτω τὸ θεῖον ἅγιον. Ita conject. θεοῦ ἅγιον vel θεοῦ ὀνόματα non opus est.
7. δέ subnotatur in O, ad cuj. oram διά.

δρας δαίμονες φεύγουσι δι' ὄνομα τίμιον· καὶ ἐνεδρεύονται ὅ τε ἀπελάσας καὶ ἱστορήσας. ὁ μὲν ἀπελάσας, ὡς διὰ δικαιοσύνην προτιμηθείς, οὐκ εἰδὼς τοῦ δαίμονος τὸ κακοῦργον· ἅμα τε γὰρ τὸ ὄνομα τετίμηκεν, καὶ τῇ φυγῇ τὸν ἀσεβῆ εἰς οἴησιν δικαιοσύνης περιβαλὼν τοῦ μὴ μεταγοεῖν ἠπάτησεν. ὁ δὲ ἱστορήσας, ὡς εὐσεβεῖ συγχρησάμενος τῷ ἀπελάσαντι, πρὸς τὴν ὁμοίαν πολιτείαν σπεύσας ἀπόλλυται. ἐνίοτε δὲ καὶ τοὺς μὴ Θεῷ προσκειμένους ὅρκους φεύγειν ὑποκρίνονται, ἵνα ἀπατήσαντες αὐτοὺς ὅτε θέλουσιν, ἀνέλωσιν [1].

XXIII. Καὶ τοῦτο οὖν ὑμᾶς εἰδέναι βουλόμεθα, ὅτι ἐὰν μή τις ἑαυτὸν ἑκὼν [2] δαίμοσι δοῦλον ἐκδῷ, ὡς τάχιον εἶπον, ὁ δαίμων τὴν κατ' αὐτοῦ ἐξουσίαν οὐκ ἔχει. ἕνα οὖν Θεὸν σέβειν ἑλόμενοι καὶ τραπέζης δαιμόνων ἀποσχόμενοι καὶ σωφροσύνην μετὰ φιλανθρωπίας καὶ δικαιοσύνης ἀναδεξάμενοι καὶ τρισμακαρίᾳ ἐπονομασίᾳ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτισάμενοι, τῷ [3] ὅσον δύνασθε ἐπὶ τὸ τέλειον τῆς ἁγνείας ἑαυτοὺς ἐπιδιδόναι [4], δύνασθε κολάσεως ἀϊδίου ῥυσθέντες αἰωνίων ἀγαθῶν κληρονόμοι κατασταθῆναι. ταῦτα εἰπὼν τοῖς ὑπὸ παθῶν ὀχλουμένοις προαιέναι ἐκέλευσεν, καὶ οὕτως πολλοὶ πείρᾳ τῶν ἐχθὲς [5] θεραπευθέντων συνελήλυθότες προσῆεσαν [6], ὁ δὲ τὰς χεῖρας αὐτοῖς ἐπιθεὶς καὶ εὐξάμενος ἐξ αὐτῆς ἰασάμενος, ἐντει-

venerandum nomen, tunc que insidiis appetuntur et qui expellit et qui cernit: qui expellit, quasi propter justitiam fuerit honoratus, nesciens daemonis malitiam; simul enim ac nomen honore prosecutus est, et fuga sua impium in opinionem justitiae injecit, atque ita ad poenitentiam non agendam fraude induxit. Qui vero cernit, dum commercium habet cum expellente tamquam cum homine pio, ad similem vivendi rationem festinans perit. Interdum vero et eos, qui ad Deum non referunt adjurationes, fugere simulant, ut deceptos, cum velint, interimant.

XXIII. Et hoc igitur vos scire volumus, quod nisi quis sponte se ipsum daemonibus servum tradat, quemadmodum dixi modo, daemon non habet potestatem in eum. Itaque unius Dei cultum amplexi, daemonum mensa abstinentes, temperantiam cum humanitate ac justitia consectati et ter beata invocatione in remissionem peccatorum baptizati, pro viribus ad puritatis perfectionem vos tradendo, potestis ab aeterna eripi damnatione et bonorum aeternorum constitui heredes. Quae postquam dixisset, eos qui aegritudinibus vexabantur jussit accedere, et ita multi propter eos, quos hesterno die curatos viderant, congregati accesserunt. Ille vero impositis super eos manibus et precatus con-

1. θελήσωσιν ἀνελῶσιν C.
2. ἑκὼν addidi c. O. Subinde ἐκδῷ S, ἐκδώῃ C O.
3. Ita S, τὸ C O.
4. ἐπιδιδόντες O.
5. χθὲς O.
6. Ita O c. S, προσίεσαν C.

www.libtool.com.cn

λάμενος αὐτοῖς καὶ τοῖς ἄλλοις ὀρθρίτερον [1] συνεδρεύειν, αὐτὸς λουσάμενος καὶ τροφῆς μεταλαβὼν ὕπνωσεν.

## ΟΜΙΛΙΑ Ι' [2].

I. Τῇ μὲν οὖν ἐν Τριπόλει τρίτῃ ἡμέρᾳ ὀρθρίτερον [3] ἐξ ὕπνου ἐγερθεὶς ὁ Πέτρος εἰς τὸν κῆπον εἰσῄει [4], ἔνθα ἦν ὑδροχοεῖον μέγα, εἰς ὃ διηνεκῶς πλούσιον ἔρρεεν ὕδωρ. ἐκεῖ λουσάμενος εἶθ' οὕτως εὐξάμενος ἐκαθέσθη, ἡμᾶς δὲ περικαθεζομένους καὶ εἰς αὐτὸν ἀτενίζοντας ὥσπερ ἀκοῦσαί τι βουλομένους συνεὶς ἔφη·

II. Πολλή μοι δοκεῖ εἶναι διαφορὰ τῶν ἀγνοούντων πρὸς τοὺς πεπλανημένους. ὁ γὰρ ἀγνοῶν ἐοικέναι μοι δοκεῖ ἀνδρὶ ἐπ' εὐθηνουμένην πόλιν μὴ ὁρμιᾶν [5] βουληθέντι, διὰ τὸ ἀγνοεῖν τὰ ἐκεῖ καλά, ὁ δὲ πεπλανημένος μαθόντι μὲν τὰ κατὰ τὴν πόλιν ἀγαθά, ἐν δὲ τῷ ὁρμιᾶν κατὰ τὴν ὁδὸν τρίβον παραλλάξαντι καὶ διὰ τοῦτο πλανωμένῳ. οὕτως οὖν μοι δοκεῖ πολλὴν διαφορὰν εἶναι τῶν εἰδώλα σεβόντων πρὸς τοὺς ἐν θεοσεβείᾳ ἁλωμένους. οἵ τε γὰρ εἴδωλα σέβοντες ἀγνοοῦσι τὴν αἰώνιον ζωήν, οὗ εἵνεκεν οὐδὲ ὀρέγονται αὐτῆς· ὃ γὰρ μὴ ἴσασιν, ἀγαπᾶν οὐ δύνανται. οἱ δὲ τὸν

festim sanavit, praecepitque cum iis, tum aliis, ut majori mane convenirent: atque lotus, ciboque sumto, somno se tradidit.

## HOMILIA DECIMA.

I. Tertio itaque apud Tripolim die maturius e somno suscitatus Petrus ingreditur in hortum, ubi ingens erat aquae receptaculum, in quod continue plurima fluebat unda. Ibi lotus sicque postea precatus consedit: nos vero circumsedentes ac in eum respicientes, quasi qui aliquid desideraremus audire, animadvertens dixit:

II. Multa mihi videtur esse differentia inter ignaros et errantes. Qui enim ignorat, videtur mihi similis esse homini ad praeclaram civitatem pergere nolenti, inscitia bonorum ibi positorum; qui vero errat, homini scienti quidem civitatis bona, sed qui in itinere suscepto semitam mutaverit ideoque aberrarit. Ad eum igitur modum puto magnam esse differentiam inter idolorum cultores et eos qui in vera religione peccant. Nam idolorum cultores vitam aeternam nesciunt, quam ideo nec appetunt: quod enim ignorant, non possunt diligere.

1. ὀρθριώτερον Cl et S, qui hic et infra mavult ὀρθριαίτερον.
2. δεκάτη O.
3. ὀρθριώτερον Cl et S.
4. εἰσῄει S O, εἰσίει C. Tum ὑδροχοεῖον S, ὑδροχόϊον C O.
5. ὁρᾶν O in in textu, quod in marg. ead. man. correxit in ὁρμᾶν. Subinde βουληθέντι ex conject. Ci, cuj. textus βούλεσθαι, ut O.

ἕνα Θεὸν σέβειν ἑλόμενοι καὶ αἰώνιον ζωὴν τοῖς ἀγαθοῖς δεδομένην μεμαθηκότες ἐάν τι παρὰ τὰ δοκοῦντα τῷ Θεῷ ἢ πιστεύσωσιν ἢ ποιήσωσιν, ἐοίκασι τοῖς τὴν [1] μὲν πόλιν τῆς τιμωρίας ἐκβεβηκόσιν, ἐλθεῖν δὲ εἰς τὴν εὐθηνουμένην [2] [ἐπιθυμοῦσιν,] καὶ ἐν τῇ ὁδῷ τῆς εὐθείας πλανηθεῖσιν.

III. Ταῦτα αὐτοῦ διαλεγομένου ἡμῖν εἰσῄει τις τῶν ἡμετέρων ὁ ἐπὶ τῷ ἀπαγγέλλειν αὐτῷ τὰ τοιαῦτα καθεστηκὼς λέγων [3]· πολλοὶ ὄχλοι, κύριέ μου Πέτρε, πρὸ τῶν θυρῶν ἑστήκασιν. ἐπιτρέψαντος οὖν αὐτοῦ πολὺς ἐπεισῆλθεν ὄχλος. ὁ δὲ ἐγερθεὶς καὶ τῇ ἐχθὲς [4] βάσει ἐπιστάς, τῷ τῆς θεοσεβείας ἔθει προσαγορεύσας, ἔφη· Θεοῦ τοῦ τὸν οὐρανὸν κτίσαντος καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς πεποιηκότος, ὡς ὁ ἀληθὴς ἡμῖν εἴρηκε [5] προφήτης, ὁ ἄνθρωπος κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν γεγονὼς ἄρχειν τε καὶ κυριεύειν κατεστάθη, λέγω δὲ τῶν ἐν ἀέρι καὶ γῇ καὶ ὕδασιν, ὡς [6] ἐξ αὐτοῦ τοῦ πράγματος ἔστι συνιδεῖν, ὅτι τῇ ἑαυτοῦ συνέσει τὰ μὲν ἐν ἀέρι φέρει κάτω, τὰ ἐν βυθῷ ἀνάγει ἄνω, τὰ ἐν γῇ ἀγρεύει, καί τοι γε κατ' ἀλκὴν αὐτοῦ πολλῷ μείζονα ὄντα, λέγω δὲ ἐλέφαντας καὶ λέοντας καὶ τὰ τούτοις παραπλήσια [7].

IV. Ὅτε μέν τοι δίκαιος ἐτύγχανεν, καὶ πάντων παθημάτων ἀνώτα-

Qui autem unum Deum colere sibi proposuerunt, et aeternam vitam bonis datam edocti sunt, si quid contra voluntatem Dei aut crediderint aut fecerint, assimilantur iis qui ex supplicii civitate eruperunt, ut venirent ad urbem felicitatis, atque itinere a recta via aberrarunt.

III. Haec cum nobis edissereret, ingressus est is qui ad hujusmodi referenda destinatus erat ex nostris, ut nuntiaret illi: magna hominum multitudo, domine mi Petre, pro foribus stat. Ejus ergo permissu intravit magna hominum frequentia. Ille vero surgens et in basi hesterna positus, cum religionis ritu salutasset, dixit, Dei, creatoris caeli et terrae omniumque iis contentorum (ut verus nos docuit propheta) ad imaginem et ad similitudinem homo factus, constitutus est ut imperaret ac dominaretur, dico autem in ea quae sunt in aëre, terra et aquis, quemadmodum ex ipsa re cernere est. Nam industria sua quae in aëre versantur dejicit, quae in profundo degunt extollit, quae terram incolunt venatur, quamvis robore multum eo praestantiora, elephantos inquam et leones ac his similia.

IV. Quamdiu ergo justus exstitit, omnibus malis superior fuit, ac velut

1. τὴν om. O. Tum idem ἐκβεβηκόσιν, ut conj. C, in cuj. textu ἐκβεβοηκόσι. Subinde inserui δὲ c. O.
2. εὐθυνουμένην O, cuj. lacunae subsequenti inscripsi [ἐπιθυμοῦσιν,]. Deinde τῆς εὐθείας id. c. D, τὴν εὐθείαν C.
3. τῶν ἡμετέρων ἐπὶ τῷ ἀπαγγελεῖν αὐτῷ, ὁ τὰ τοιαῦτα καθεστηκὼς λέγειν C.
4. χθὲς O.
5. ὡς ἀληθὴς εἴρηκεν ἡμῖν C.
6. Vbb. ὕδασιν ὡς bis exarata sunt in O.
7. Ita O c. Cl, τῶν τούτοις παραπλησίων C.

τος ἦν, ὡς ἀθανάτῳ σώματι τοῦ ἀλγεῖν πεῖραν λαβεῖν μὴ δυνάμενος, ὅτε δὲ ἥμαρτεν, ὡς ἐχθὲς [1] καὶ τῇ πρὸ αὐτῆς ἐδείξαμεν, ὡς δοῦλος γεγονὼς τῆς ἁμαρτίας πᾶσιν ὑπέπεσε τοῖς παθήμασιν, πάντων καλῶν δικαίᾳ κρίσει στερηθείς. οὐ γὰρ εὔλογον ἦν, τοῦ δεδωκότος ἐγκαταλειφθέντος τὰ δοθέντα παραμένειν τοῖς ἀγνώμοσιν. ὅθεν ἐξ ὑπερβαλλούσης αὐτοῦ εὐσπλαγχνίας πρὸς τὸ ἀπολαβεῖν [2] ἡμᾶς ἅμα τοῖς πρώτοις καὶ τὰ ἐσόμενα αἰώνια ἀγαθά, τὸν αὐτοῦ ἔπεμψε προφήτην. ὁ δὲ προφήτης πρὸς ὑμᾶς λέγειν ἡμῖν [3] ἃ δεῖ φρονεῖν καὶ ποιεῖν ἐνετείλατο. ἔλεσθε οὖν, ὃ ἐπὶ τῇ ὑμετέρᾳ κεῖται ἐξουσίᾳ. ἃ μὲν οὖν δεῖ φρονεῖν, ἐστὶ ταῦτα· τὸν πάντα πεποιηκότα σέβειν Θεόν, ὃν ἂν ἀπολάβητε τῷ νῷ, ἀπ' [4] αὐτοῦ ἀπολήψεσθε ἅμα τοῖς πρώτοις καλοῖς καὶ τὰ ἐσόμενα αἰώνια ἀγαθά.

V. Πεῖσαι οὖν ἑαυτοὺς πρὸς τὰ συμφέροντα δυνήσεσθε, ἐάνπερ τῷ ἐμφωλεύοντι ἐν τῇ ὑμετέρᾳ καρδίᾳ δεινῷ ὄφει ὡσπερ ἐπᾴδοντες λέγητε [5]· Κύριον τὸν Θεὸν φοβηθήσῃ καὶ αὐτῷ μόνῳ λατρεύσεις. Ἐκ παντὸς οὖν λογισμοῦ συμφέρει τὸ αὐτὸν μόνον φοβεῖσθαι, οὐχ ὡς ἄδικον, ἀλλ' ὡς δίκαιον. καὶ γὰρ ἄδικόν τις φοβεῖται, μὴ ἀδίκως ἀναιρεθῇ, καὶ τὸν δίκαιον, μὴ [6] ἁμαρτίᾳ φωραθεὶς τιμωρηθῇ. δύνασθε οὖν ἐν τῷ πρὸς αὐτὸν φόβῳ πολλῶν τῶν ἐπιβλαβῶν [7] ἀπαλλαγῆναι φόβων. ἕνα γὰρ τὸν πάντων κύριον καὶ ποιητὴν ἐὰν μὴ φοβῆσθε [8], πάντων τῶν κακῶν δοῦλοι ἐπὶ τῇ

in corpore immortali experimentum doloris capere non poterat. Ubi autem peccavit, sicut die hesterno et illum praecedente ostendimus, tamquam factus servus peccati cunctis perpessionibus subjacuit et omnibus bonis justo judicio privatus est. Haud enim aequum fuisset, ut relicto datore data apud ingratos manerent. Unde per exsuperantem misericordiam, quo una cum prioribus futura quoque aeterna perciperemus bona, suum misit prophetam. Qui propheta nobis praecepit, ut diceremus vobis quae sentire et facere debeatis. Eligite ergo et capessite. Id in vestra situm est potestate. Equidem quae sentire debetis, ista sunt: omnium auctorem Deum venerari, quem si mente receperitis, ab ipso cum prioribus commodis futura quoque perpetua bona consequemini.

V. Vosmet igitur ad utilia poteritis persuadere, si ad latitantem in vestro corde horridum serpentem velut incantantes dixeritis: *Dominum Deum revereberis, et illi soli servies.* Ex tota ergo mente convenit eum solum vereri, non ut iniquum, sed ut justum. Etenim iniquum quis veretur, ne inique de medio tollatur, justum vero, ne in peccato deprehensus poenas det. Potestis itaque per timorem erga illum effugere multos noxios metus. Unum enim cunctorum dominum et creatorem nisi timeatis, omnium malorum servi magno vestro incom-

1. χθὲς O.
2. πρὸς τὸ ἀπολαύειν C ex conject., πρὸς τῷ ἀπολαύειν id. in textu.
3. ὁ δὲ προφήτης ἡμᾶς πρὸς ὑμᾶς λέγειν ὑμῖν O.
4. Ita D, ὑπ' C O.
5. Matth. 4, 10.
6. Fort. addendum ἐφ' post μή. S.
7. ἐπιλαβῶν O in textu, ἐπιβλαβῶν in marg.
8. Ita S, φοβεῖσθε C O.

www.patrol.com.cn

ἑαυτῶν βλάβη ἔσεσθε, λέγω δὲ δαιμόνων καὶ παθημάτων καὶ παντὸς οἵῳ[1] δή τινι τρόπῳ βλάπτειν δυναμένου.

VI. Θαρσήσαντες οὖν πρόσιτε[2] τῷ Θεῷ, οἱ τὴν ἀρχὴν ἐπὶ τῷ πάντων ἄρχειν καὶ κυριεύειν γεγενημένοι, οἵ τινες ἔχετε αὐτοῦ ἐν μὲν τῷ σώματι τὴν εἰκόνα, ὁμοίως τε ἔχετε ἐν τῷ νῷ τῆς γνώμης τὴν ὁμοιότητα. ἐπεὶ οὖν ἀλόγοις ζώοις ἐοικότα[3] πράξαντες ἐκ τῆς ψυχῆς [ὑμῶν][4] τὴν ἀνθρώπου ψυχὴν ἀπωλέσατε, ὥσπερ χοῖροι γενόμενοι δαιμόνων αἰτήματα ἐγένεσθε. ἐὰν οὖν τοῦ Θεοῦ νόμον ἀναδέξησθε[5], ἄνθρωποι γίνεσθε. οὐ γὰρ οἷον ἀλόγοις ἔστιν εἰπεῖν· οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις καὶ τὰ ἑξῆς. διὸ μὴ φθονήσητε ἑαυτοῖς εἰς τὴν πρώτην ἀνακαλούμενοι εἰσελθεῖν εὐγένειαν[6]. δυνατὸν γάρ ἐστιν, ἐὰν τῷ Θεῷ διὰ τῶν ἀγαθῶν πράξεων ἐξομοιωθῆτε[7]. καὶ διὰ τὴν ὁμοιότητα υἱοὶ ἐκείνου εἶναι λογισθέντες πάντων δεσπόται ἀποκατασταθῆναι δυνήσεσθε.

VII. Ἄρξασθε οὖν ἀποδύεσθαι τῶν κενῶν εἰδώλων τοὺς ἐπιβλαβεῖς φόβους, ὅπως τὴν ἄδικον φύγητε δουλείαν. δεσπόται γὰρ γεγόνασιν ὑμῶν ἐκεῖνοι, οἳ καὶ εἰς δούλους ὑμῖν ἄχρηστοι τυγχάνουσιν. λέγω δὲ περὶ ὕλης τῶν ἀψύχων ἀγαλμάτων τῶν μηδὲ πρὸς τὸ δουλεύειν ὑμῖν χρησιμευόντων. οὔτε γὰρ ἀκούει, οὔτε βλέπει, οὔτε αἰσθάνεται, ἀλλ' οὐδὲ μὴν[8] κινηθῆ-

modo eritis, daemonum inquam et morborum omnisque rei quae aliquo modo potest nocere.

VI. Cum fiducia ergo ad Deum accedite, qui principio ad cunctis imperandum et dominandum facti estis. Qui ipsius fertis in corpore imaginem, pariter feratis in mente sententiae similitudinem. Quoniam igitur facientes similia cum brutis animantibus ex anima vestra humanam animam perdidistis, instar porcorum effecti daemonum facti fuistis petitio. Itaque si Dei legem receperitis, fietis homines. Neque enim brutis animantibus dici potest: non occides, non adulterabis, non furaberis et sequentia. Quare ne vobis invideatis, ut ad primam revocati introeatis nobilitatem. Fieri enim id potest, si Deo per bona opera similes efficiamini. Et per similitudinem filii ejus esse reputati, in dominium cunctorum restitui poteritis.

VII. Incipite ergo deponere vanorum idolorum noxios metus, ut iniquam effugiatis servitutem. Domini namque vestri facti sunt illi, qui et ad servitium vobis fuissent inutiles. Loquor autem de materia inanimorum simulacrorum, quae ne ad serviendum quidem vobis usui esse possunt. Nam neque audiunt,

1. ᾧ C.
2. Ita O et C ex conject., id. προσεῖτε in textu.
3. Ita conj. C, cuj. textus ἐοίκατε, ut O. S: Porro ἐκ addidi de conject., quum nullum aliud remedium invenire potuissem. C emendat τῇ ψυχῇ.
4. τῆς ψυχῆς p. τῆς ψυχ[ῆς ὑμῶν] C sine lacuna.
5. ἀναδέξασθε O.
6. ἀγένειαν O.
7. ἐξομοιοθῆτε O.
8. μὲν Cl et S, qui legi vult μή — conjectura ap. C jam diu expressa, ac-

www.libtool.com.cn

ναι δύναται. εἰ γὰρ βούλεταί τις ὑμῶν οὕτως ὁρᾶν ὡς ὑρᾷ καὶ ἀκούειν ὡς ἀκούει καὶ αἰσθάνεσθαι καὶ κινεῖσθαι; ἀλλ' ἀπείη λοιδορία λοιδορεῖν πάνθ' ὁντινοῦν[1] ἄνθρωπον, εἰκόνα περιφέροντα Θεοῦ, εἰ καὶ τὴν ὁμοιότητα ἀπώλεσεν.

VIII. Τοὺς γοῦν θεοὺς ὑμῶν τοὺς χρυσέους καὶ ἀργυρέους ἢ καὶ ἐξ ἄλλης τινὸς ὕλης γεγενημένους εἰς τὴν πρώτην αὐτῶν φύσιν ἀποκαταστήσατε, εἴς τε φιάλας[2] λέγω καὶ λεκάνας καὶ τὰ λοιπὰ πάντα, ὅσα ὑμὶν πρὸς ὑπηρεσίαν χρήσιμα[3] εἶναι δύναται· καὶ ταῦτα ὑμῖν ἀπαρχῆς δοθέντα ἀγαθὰ ἀποκατασταθῆναι δυνηθήσεται. ἀλλ' ἴσως ἐρεῖτε· οὐκ ἐῶσιν ἡμᾶς τοῦτο ποιῆσαι οἱ τῶν ἐφεστώτων νόμοι. καλῶς, ὅτι νόμοι, καὶ οὐκ αὐτῶν τῶν εἰκαίων σεβασμάτων ἡ μὴ οὖσα δύναμις. πῶς οὖν αὐτοὺς θεοὺς νενομίκατε, ὑπ'[4] ἀνθρωπίνων νόμων ἐκδικουμένους, ὑπὸ κυνῶν φρουρουμένους, ὑπ' ὄχλων φυλασσομένους; καὶ ταῦτα ἐὰν χρύσεα ἢ ἀργύρεα ἢ χάλκεα· τὰ γὰρ λίθινα ἢ ὀστράκινα ὑπὸ τῆς ἀτιμίας φυλάσσεται, ὅτι οὐδεὶς ἀνθρώπων λίθινον ἢ ὀστράκινον ὀρέγεται κλέψαι θεόν. ὥστε μεγάλῳ κινδύνῳ ὑπόκεινται οἱ ἐκ πολυτελεστέρας ὕλης γεγενημένοι ὑμῶν θεοί. πῶς δὴ καὶ θεοί εἰσιν, κλεπτόμενοι, χωνευόμενοι, σταθμιζόμενοι, φρουρούμενοι[5];

IX. Ὦ τῶν ταλαιπώρων ἀνθρώπων φρένες, νεκρῶν νεκρότερα δεδιό-

neque vident, neque sentiunt, sed nec possunt moveri. An enim vellet aliquis vestrum sic videre, ut vident, et audire, ut audiunt, et sentire, et moveri? Sed absit, hac contumelia afficere hominem quemlibet, qui Dei circumfert imaginem, etiamsi similitudinem perdiderit.

VIII. Deos igitur vestros aureos et argenteos vel ex alia factos materia in primam suam naturam restituite, in pocula dico et pelves et reliqua omnia quae vobis ad ministerium possunt esse utilia. Atque haec vobis initio data bona reddi poterunt. Sed forsan dicetis, non permittunt nobis id facere praepositorum leges. Bene, quia leges, et non ipsorum futilium numinum quae non est virtus. Qua ergo ratione deos existimastis, qui humanis legibus defenduntur, a canibus servantur, a populis custodiuntur? et hoc si idola fuerint aurea vel argentea vel aenea: nam lapidea aut fictilia ipsa sui vilitate muniuntur, quia nemo hominum lapideum vel fictilem furari avet deum. Adeo ut magno subjiciantur periculo, qui ex pretiosiore materia constant dii vestri. Et quo modo dii sunt, qui furto auferuntur, qui conflantur, appenduntur, qui custodiuntur?

IX. O miserorum mortalium mentes, qui mortuis magis mortua verentur!

cedente O. Subinde ἢ γὰρ p. εἰ γὰρ conj. S.

1. Ita C c. D, ὅτι οὖν C.
2. φιάλοις O.
3. χρήσιμον O.
4. ὑπὸ O, ut mox ὑπὸ ὄχλων.
5. Recogn. 5, 15: „Qui ergo furari possunt, qui ab hominibus custodiri, qui conflari et appendi et malleis caedi, isti hominibus sensum habentibns Dii debent videri?“ Quasi Ruf. praeter φρουρούμενοι legerit σφυροῦμενοι. C.

www.libtool.com.cn

*των· οὐδὲ γὰρ νεκρὰ αὐτὰ λέγειν δύναμαι, τὰ μηδέποτε ζήσαντα, ἐκτὸς εἰ μὴ*[1] *τάφοι ἀρχαίων ἀνθρώπων εἰσίν. ἐνίοτε γὰρ ἐπιβάς τις ἀγνώστοις τόποις οὐκ οἶδεν, οὓς ὁρᾷ ναούς, πότερόν ποτε νεκρῶν ἀνδρῶν μνήματά ἐστιν, ἢ τῶν λεγομένων θεῶν· πυθόμενος δὲ καὶ ἀκούσας ὅτι θεῶν*[2]*, προσεκύνησεν οὐκ αἰδεσθείς, ὅτι εἰ μὴ ἐξετάσας μεμαθήκοι*[3]*, διὰ τὸ ἴσον τῆς ὁμοιότητος ὡς νεκροῦ μνημεῖον ἂν παρεληλύθει. πλὴν οὐ χρή με πρὸς τῆς*[4] *τοιαύτης δεισιδαιμονίας πολλὴν παρέχειν ἀπόδειξιν. ῥᾴδιον γάρ ἐστι τῷ θέλοντι νοῆσαι, ὅτι οὐδέν ἐστιν, ἐκτὸς εἰ μή τις οὐ βλέπῃ. πλὴν κἂν νῦν ἄκουσον, ὅτι οὐκ ἀκούει, καὶ νόησον, ὅτι οὐ νοεῖ. χεῖρες γὰρ αὐτὸ θανόντος ἀνθρώπου ἐποίησαν. εἰ δὲ ὁ ποιήσας ἐτελεύτησεν, πῶς τὸ ὑπ' αὐτοῦ γεγονὸς οὐ λυθήσεται; τί οὖν θνητοῦ ἔργον προσκυνεῖς, παντελῶς ἀναίσθητον ὄν; ὁπότε οἱ λογισμοὺς ἔχοντες οὐδὲ τὰ ζῶα προσκυνοῦσιν, οὐδὲ στοιχεῖα τὰ ὑπὸ Θεοῦ γεγενημένα κολακεύουσιν, λέγω δὲ οὐρανόν, ἥλιον, σελήνην, ἀστραπήν*[5]*, θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς, ὀρθῶς κρίνοντες μηδὲ*[6] *τὰ ὑπ' αὐτοῦ γενόμενα προσκυνεῖν, ἀλλὰ τὸν τούτων δημιουργὸν καὶ πάροχον σέβειν Θεόν. ἐπὶ τούτῳ γὰρ καὶ αὐτὰ χαίρει, ὅτι τὴν τοῦ πεποιηκότος τιμὴν οὐδεὶς αὐτοῖς προσῆψεν.*

Neque enim possum ea mortua dicere, quae numquam vixerunt. Nisi forte sepulcra sunt antiquorum hominum. Interdum enim ingressus aliquis loca ignota nescit, utrum quae videt templa sint hominum mortuorum monumenta, an vocatorum deorum, interrogans vero et audiens, ea esse deorum, adoravit pudore non suffusus, quod, nisi percontando didicisset, propter aequam similitudinem velut mortui praeteriisset sepulcrum. Sed non oportet ut in hac superstitione multam afferam probationem. Facile enim est volenti intelligere, quod nihil sit, nisi quis forte nullatenus videat. Attamen vel nunc audi simulacrum non audire, ac intellige, non intelligere. Nam illud mortalis hominis manus fecerunt. Si autem, qui fecit, obiit, quo modo ab illo factum non destruetur? Cur itaque adoras mortalis opus, omnino sensu destitutum? cum, qui mentem habent, ne animalia quidem adorent, nec elementa a Deo condita colant atque adulentur, caelum dico, solem, lunam, astra, terram, mare et cuncta iis contenta: recte judicantes, nec ab ipso creata coli debere, sed eorum opificem et largitorem Deum esse adorandum. In hoc quippe et ipsa gaudent, cum honorem creatoris nemo ipsis attribuit.

1. Nisi vocibus transpositis legas *ἐκτός εἰ μὴ τάφοι* omnino rescripserim *εἰκὸς τάφοι*. Templa fuisse mortuorum sepulcra, ex Clementis *προτρεπτικῷ* docet Euseb. Praep. Ev. II, 6. Cyrill. in Jul. X. p. 341. Theodoret. Therapeut. VIII. p. 115. Ed. Sylb. D. *εἰ μὴ ἐκτὸς* C O.

2. Ita O c. S, *θεὸν* C, *θεοῦ* conj. D. C, cum totum locum perperam distinxisset, corrigere voluerat *οὐκ αἰδέσθη*. Debebat saltem scribere *ᾐδέσθη*. At quae sit verborum conjunctio, recte explanavit D, quem ego secutus sum. S.

3. *μεμαθήκει* C. Tum id. *ἴσον*.

4. *πρὸς τῆς* conj. C, *πρὸς τὴν τῆς* uterque Hom. Codex.

5. Fort. *ἄστρα*, *γῆν* ex Recogn. 5, 16. C.

6. *μὴ δεῖν* conj. D.

X. Αὐτοῦ γὰρ μόνου ἐστὶν ἡ ἔντιμος δόξα τοῦ μόνου ἀγενήτου, ὅτε[1] τὰ λοιπὰ πάντα γενητὰ τυγχάνει. ὡς οὖν τοῦ ἀγενήτου ἴδιον τὸ Θεὸς εἶναι, οὕτως πᾶν ὁτιοῦν γενόμενον θεὸς τῷ ὄντι οὐκ ἔστιν. πρὸ πάντων οὖν ἐννοηθῆναι ὀφείλετε τὴν τοῦ ἐν ὑμῖν ἀπατῶντος ὄφεως κακοῦργον ἐπίνοιαν, ὃς φρονίμως ὑμᾶς ἀπατᾷ ὑποσχέσει κρείττονος λογισμοῦ, ἕρπων ὑμῶν ἐκ τοῦ ἐγκεφάλου εἰς τὸν νωτιαῖον μυελὸν καὶ μέγα κέρδος ἡγούμενος τὴν ὑμετέραν ἀπάτην.

XI. Εἰδὼς[2] γὰρ τὸν ἀπαρχῆς νόμον, ὅτι ἐὰν ὑμᾶς εἰς ὑπόνοιαν τῶν[3] ϑήποτε λεγομένων ϑεῶν ἐνέγκῃ, μόνον ἵνα εἰς τὸ τῆς μοναρχίας ἀγαθὸν ἁμάρτητε[4], κέρδος αὐτῷ γίνεται ἡ ὑμῶν καταστροφή. λόγῳ δὲ τούτῳ ὅτι γῆν ἤσθιε καταδικασθείς, τὸν δι' ἁμαρτίαν εἰς γῆν λυθέντα, γῆν γενόμενον, ἐσθίειν ἔχει ἐξουσίαν, τῶν ψυχῶν ὑμῶν εἰς τὴν τοῦ πυρὸς αὐτοῦ γαστέρα χωρουσῶν. ἵνα οὖν ταῦτα πάθητε, πᾶσαν τὴν καθ' ὑμῶν ὑμῖν ὑποβάλλει οἴησιν.

XII. Ἀπ'[5] αὐτοῦ γὰρ πᾶσαι αἱ κατὰ τῆς μοναρχίας ἀπατηλοὶ τῷ νῷ ὑμῶν ἐπὶ βλάβῃ ἐνσπείρονται ὑπολήψεις. πρῶτον μὲν ἵνα μὴ τοὺς[6] τῆς ϑεοσεβείας ἀκούσαντες λόγους τὴν τῶν κακῶν αἰτίαν ἀπελάσητε ἄγνοιαν,

X. Ad ipsum enim solum pertinet eximia gloria, qui solus increatus est, quoniam reliqua omnia creaturae sunt. Sicut ergo increati proprium est, Deum esse, ita quidquid creatum est, deus vere non est. Ante omnia ergo intelligere debetis malignum vos intus decipientis daemonis commentum, qui perite seducit vos promissione mentis melioris, serpitque e cerebro vestro in dorsi medullam, et lucrum magnum computat deceptionem vestram.

XI. Scit enim primam legem, quod, si vos in opinionem vulgatorum deorum inducat, solummodo, ut contra monarchiae bonum peccetis, lucrum ipsi fiat vestra subversio. Hac vero ratione, quod terram edere condemnatus fuerit, eum qui peccati causa in terram resolutus est, terram factum potestatem habet manducandi, animabus vestris in igneum illius ventrem abeuntibus. Ut ergo ista perpetiamini, omnem vobis contrariam suggerit opinionem.

XII. Ab ipso enim cunctae, quae contra Dei monarchiam sunt, sententiae fallaces perniciose inseruntur menti vestrae. Primo quidem, ne pietatis verba audientes malorum causam ignorantiam expellatis, insidias praetextu

1. ὅτι O.

2. Participium εἰδὼς arcte connectendum est cum enunciatione antecedenti, cum qua grammatice cohaeret. S. Tum ἀπ' ἀρχῆς O. Idem praep. εἰς bis exhibet.

3. τῶν S, ὧν C O. Tum ἐνέγκῃ μόνον, ἵνα S, quod in Annott. cr. emendari vult in ἐνέγκῃ, μόνον ἵνα. Atqui ita jam ediderunt C et Cl.

4. Ita C in marg., ἁμάρτῃ in textu, ut O. Tum γίνηται C O.

5. Ἀπ' ex conject. Ci, deest in utroque Hom. Cod.

6. Scripsi ἵνα μὴ τοὺς duce libro Ottob., in quo habes ἵνα τοὺς μὴ κτλ., ἵνα τοὺς C. Qui cum μὴ deesse recte monuisset, non expectares lect. μὴ τοὺς in edit. Schweg. evulgatam.

www.libool.com.cn

προφάσει γνώσεως ἐνεδρεύει, δοὺς τὰ μὲν[1] πρῶτα μιᾷ τῇ κατὰ πάντων προλήψει χρώμενος, ἥ τίς ἐστι τὸ νομίζειν καὶ[2] κακῶς βεβουλεῦσθαι[3], ὅτι ἐὰν μή τις ἀκούσῃ τοῦ τῆς θεοσεβείας λόγου, οὐκ ἔστιν ἔνοχος τῇ κρίσει. διὸ καὶ οὕτως ἀπατώμενοί τινες ἀκούειν οὐ θέλουσιν, ἵνα ἀγνοῶσιν, οὐκ εἰδότες ὅτι ἡ ἄγνοια αὐτὴ καθ' αὑτὴν[4] ἱκανὸν θανάσιμόν ἐστι φάρμακον. οὐ γάρ, εἴ τις προσλάβοι θανασίμου φαρμάκου ἀγνοῶν, οὐκ ἀποθνήσκει. οὕτως φυσικῶς αἱ ἁμαρτίαι ἀναιροῦσι τὸν ἁμαρτάνοντα, κἂν ἀγνοῶν πράσσῃ[5] ἃ μὴ δεῖ.

XIII. Εἰ δὲ ἐπὶ παρακοῇ λόγων κρίσις γίνεται, πολλῷ μᾶλλον ὁ Θεὸς ὀλοθρεύσει τοὺς μὴ θελήσαντας τὴν εἰς αὐτὸν θρησκείαν ἀναδέξασθαι. ὁ γὰρ μὴ θέλων μαθεῖν ἵνα μὴ ἔνοχος ᾖ, ἤδη ὡς εἰδὼς κρίνεται. ἔγνω γὰρ ὃ μὴ ἀκοῦσαι θέλει· ὥστε οὐδὲν δύναται πρὸς ἀπολογίαν ἐπίνοια[6] πρὸς καρδιογνώστην Θεόν. διὸ φεύγετε τοῦ ὄφεως τὴν πανοῦργον ὑποβαλλομένην ὑμῖν τῷ νῷ ἐνθύμησιν. ἵνα δὴ[7] καὶ ὄντως ἀγνοήσας τις τὸν παρόντα βίον τελευτήσῃ, ἔγκλημα ἕξει, ὅτι βιώσας χρόνον οὐκ ἔγνω τίς αὐτῷ τε καὶ τῶν αὐτῷ[8] ἐπιχορηγηθεισῶν τροφῶν ὑπῆρξεν εὐεργέτης, καὶ

cognitionis struit: suggerens primum et una in omnes utens praesumtione, quae est, ut malo accepto consilio putetur, quod si quis non audierit verae religionis sermonem, non sit reus judicio. Quare ita decepti quidam nolunt audire, ut ignorent: nescientes, ignorantiam ipsam per se esse validum venenum ac lethale. Nam si quis mortiferum pharmacum per ignorantiam sumat, non ideo non moritur. Sic peccata naturaliter interimunt peccatorem, licet ex ignoratione faciat quae non oportet.

XIII, Si autem de eo erit judicium, quod non sit obeditum sermoni, multo magis Deus eos perdet, qui noluerint ejus religionem suscipere. Nam qui noluit discere, ne esset reus, jam ut peritus judicatur. Agnovit enim quod noluit audire, adeo ut istud commentum nullatenus ad excusationem valeat apud cordis cognitorem Deum. Quocirca fugite vafram cogitationem, vestrae menti a serpente suggestam. Ut vero aliquis vere ignarus praesentem vitam finierit, culpa non carebit, quod in toto vitae tempore non agnoverit benefi-

1. Fort. scrib. γνώσεως ἐνεδρεύει ἄλλης, τὰ μὲν κτλ. Cl. Recogn. 5, 18: „occasione alterius scientiae: "
2. καὶ add. S.
3. Ita O c. S, βεβουλεύεσθαι C.
4. κατ' αὐτὴν C.
5. Ita O c. Joan. Damasc. (Mrscr. cap. περὶ μισομαθῶν), qui hoc caput et sequens excerpsit: καὶ — πράσσει Cod. Hom. Parisin., καὶ ἀγνοῶν πράσσει C.
6. „Calliditas" Recog. 5, 18. Fort. leg. ἀγχίνοια. S.
7. ἵνα δὲ C. ἐὰν p. ἵνα proponit S.
8. αὐτοῦ conj. D. Tam ἐπιχορηγηθεισῶν D ex conject., approbante O, ἐπικουρηθεισῶν C.

www.libtool.com.cn

ὅτι[1] ὡς ἀναίσθητος καὶ ἀχάριστος πολὺ ἀνάξιος δοῦλος τῆς τοῦ θεοῦ ἀποδοκιμάζεται[2] βασιλείας.

XIV. Πάλιν τε[3] ὑποβάλλει ὑμῖν ὁ δεινὸς ὄφις ὑπόληψιν, τοῦτο νοεῖν καὶ λέγειν τοῦτο αὐτό, ὃ[4] σχεδὸν οἱ πλεῖστοι ὑμῶν λέγουσιν· ἴσμεν καὶ ἡμεῖς ὅτι εἷς ἐστὶν ὁ πάντων κύριος, ἀλλὰ καὶ οὗτοι θεοί εἰσιν. ὅνπερ γὰρ τρόπον εἷς ἐστὶν ὁ Καῖσαρ[5], ἔχει δὲ ὑπ' αὐτὸν τοὺς διοικητάς, ὑπατικούς, ἐπάρχους, χιλιάρχους, ἑκατοντάρχους, δεκαδάρχους[6], τὸν αὐτὸν τρόπον ἑνὸς ὄντος τοῦ μεγάλου Θεοῦ ὥσπερ Καίσαρος καὶ οὗτοι[7] κατὰ τὸν τῶν ὑποκειμένων ἐξουσιῶν λόγον θεοί εἰσιν, ὑποκείμενοι μὲν ἐκείνῳ, διοικοῦντες δὲ ἡμᾶς. ἀκούσατε οὖν οἱ ταύτῃ τῇ ὑπονοίᾳ[8] ὡς δεινῷ ἀπολειφθέντες ἰῷ ὑπ' αὐτοῦ, λέγω δὲ τοῦ παραδείγματος τὴν κακὴν ὑπόνοιαν, ὅπως εἰδῆτε τί καλὸν καὶ τί πονηρόν· οὔπω γὰρ ἀνεβλέψατε, ὅτι οὐδὲ τοῖς προβαλλομένοις ὑφ' ὑμῶν ἐνορᾶτε.

XV. Εἰ γάρ φατε, ὡς εἰς[9] τὸν τοῦ Καίσαρος λόγον τὸν Θεὸν ἔχειν τὰς ὑποκειμένας ἐξουσίας, τοὺς λεγομένους θεούς, οὐδ' οὕτως τῷ ὑμῶν στοιχεῖτε παραδείγματι. εἰ γὰρ ἐστοιχεῖτε, ἐχρῆν τοῦτ'[10] εἰδέναι, ὅτι, ὡς οὐκ ἔξεστι τὸ Καίσαρος ὄνομα ἑτέρῳ δοῦναι, λέγω δὴ ἢ ὑπάτῳ ἢ ἐπάρχῳ

ciorum ciborumque largitorem, et, velut sensu carens multumque ingratus, indignus servus e regno Dei rejicietur.

XIV. Subjicit iterum vobis nequissimus serpens existimationem, ut hoc cogitetis ac dicatis, hoc ipsum quod plerique vestrum dicunt: Scimus et nos, unum esse omnium dominum, sed et isti dii sunt. Sicut enim unus est Caesar, habet autem sub se administros, consulares, praefectos, tribunos, centuriones, decanos: eodem modo, cum unus sit magnus Deus, instar Caesaris, et isti, ad similitudinem minorum potestatum, dii sunt, ei quidem subjecti, nostri tamen gubernatores. Audite igitur, qui ex hac susceptione per eum velut gravi veneno estis infecti, pravam intelligo allati exempli suspicionem ut sciatis quid bonum et quid malum; nondum enim perspexistis, quoniam nec quae proponitis intelligitis.

XV. Si enim dicitis, quod ad similitudinem Caesaris Deus in locum subjectarum potestatum habet quos putatis deos, neque sic vestrum sequimini exemplum. Nam si sequeremini, id scire oportuit, quia sicut non licet nomen Caesaris dare alteri, dico autem vel consuli vel praefecto vel tribuno vel al-

1. Fortasse leg. ἔτι vel ἐπί. S.
2. ἀποδοκιμάσεται S.
3. δὲ scribit Schliemannus Clem. p. 136. 569. S. Tum ἄλλο p. τοῦτο conj. S. Cfr. Recogn. 5, 19: „aliam — opinionem.“
4. τοῦ τὸ αὐτὸ οὐ O, τοῦτο οὐ C, qui conj. τοῦτο ὅ. Correxi interpunctionem Ci.
5. καίσαρ O.
6. δεκάρχους C.
7. Ita S, αὐτοὶ C O. „isti“ Recogn. l. c.
8. Lect. Ottob. suspicatus est S, expressit tamen ταύτην τὴν ὑπόνοιαν c. C. Tum ἀπαλειφθέντες idem, ἐπαλειφθέντες S.
9. Fortasse leg. ὡσεί. S.
10. τοῦτο C.

ἢ χιλιάρχῳ ἢ ἑτέρῳ τινί (ὅτι ὁ διδοὺς οὐ ζήσεται, καὶ ὁ λαμβάνων ἀναιρεθήσεται), οὕτως ἐκ τοῦ ὑμετέρου παραδείγματος τὸ[1] Θεοῦ ὄνομα ἑτέρῳ δοθῆναι οὐκ ἔξεστιν· ἐπεὶ καὶ ὁ πειραθεὶς ἤτε λαβεῖν ἤτε[2] δοῦναι ἀπόλλυται. εἰ δὲ ἡ ἐπ' ἀνθρώπου[3] ὕβρις δίκην παρέχει, πολλῷ μᾶλλον οἱ ἑτέρους θεοὺς λέγοντες ὡς Θεὸν ὑβρίσαντες αἰωνίῳ ὑποκείσονται κολάσει. καὶ εὐλόγως, ὅτι τὸ εἰς τὴν αὐτοῦ μοναρχίαν παραδοθὲν ὑμῖν[4] τιμῶν ὄνομα πάσῃ ᾗ ἠδυνήθητε ὑπεβάλετε ὕβρει· οὐ γὰρ τὸ ὄντως ἐστὶν αὐτοῦ ὄνομα Θεός, ἀλλ' ὑμεῖς τέως[5] παρειληφότες ὑβρίσατε ὃ ἐδόθη ὑμῖν, ἵνα ὡς ἂν αὐτῷ χρήσησθε, εἰς τὸ ὄντως αὐτοῦ ὄνομα λογισθῇ· ὑμεῖς δὲ αὐτὸ πάσῃ ὕβρει ὑπεβάλετε.

XVI. Αὐτίκα γοῦν τῶν Αἰγυπτίων ὑμῶν οἱ ἀρχηγέται, οἱ περὶ μετεωρολογίας αὐχοῦντες καὶ τῶν ἄστρων τὰς φύσεις διακρίνειν ἐπαγγελλόμενοι, ὑπὸ κακῆς αἰτοῖς ἐνδομυχούσης ὑπονοίας πάσῃ αὐτὸ[6] ἀτιμίᾳ ὅσον τὸ κατ' αὐτοὺς[7] ὑπέβαλον. οἱ μὲν γὰρ αὐτῶν παρέδοσαν βοῦν τὸν λεγόμενον Ἆπιν[8] σέβειν, οἱ δὲ τράγον, οἱ δὲ αἴλουρον, οἱ δὲ ὄφιν[9], ἀλλὰ καὶ ἰχθὺν καὶ κρόμμυα καὶ γαστρῶν πνεύματα καὶ ὀχετοὺς[10] καὶ ἀλόγων ζώων μέλη. καὶ ἄλλοις μυρίοις πάνυ αἰσχροῖς ἀτοπήμασιν.

teri cuipiam (etenim qui dederit non vivet et qui acceperit occidetur), ita ex vestro exemplo Dei nomen alteri nefas est imponi, alioquin et qui tentaverit vel accipere vel tradere interibit. Quod si contumelia homini illa poenas dat, multo magis, qui alios deos dicunt, tamquam in Deum contumeliosi aeterno subjicientur supplicio. Et merito, quia nomen, quod in monarchiam ejus vobis ad honorandum traditum est, omni qua potuistis affecistis contumelia. Non enim vere nomen ejus est Deus: at vos, qui illud quondam accepistis, tractatis contumeliose, quod vobis concessum fuit; ut quemadmodum eo usi fueritis, id ad verum illius nomen referatur. Vos autem illud omni exposuistis opprobrio.

XVI. Itaque vestrorum Aegyptiorum primi, qui de rerum caelestium scientia gloriantur et de astrorum natura se jactant judicare, illud nomen per malam in se latentem opinionem omni ejus ignominiae, quantum in ipsis fuit, subjecerunt. Nam alii eorum bovem qui dicitur Apis colendum tradidere, alii hircum, alii felem, alii serpentem, sed et piscem et cepas et ventris crepitus et cloacas et brutarum animantium membra. Et mille aliis subdiderunt illud nomen pravis turpitudinibus.

1. τοῦ C.
2. πεισθεὶς εἴτε λαβεῖν εἴτε O.
3. ἐπ' ἀνθ. conj. C., ἀπ' id. in textu, ut O.
4. ἡμῖν O.
5. τὸ ὡς C, quod deleri vult D, τοῦτο S. Jam nihil mutandum.
6. αὐτὸ add. c. O.
7. αὐτοὺς O et C ex conject., αὐτοῦ idem in textu. S: Fort. scribendum αὐτοὺς αὐτὸ.
8. ἅπην O.
9. ὄφην O. Tum id. ἰσχὺν καὶ κρύμνα. S: Plura congessit de hac Aegyptiorum superstitione C ad Recogn. V, 20.
10. Rufinus: „cloacas." Verti etiam potest „canales", „rivos", „aquas decurrentes ac semper fluentes", juxta illud Cae-

www.libtool.com.cn

XVII. *Ταῦτα τοῦ Πέτρου εἰπόντος ἐγέλασεν ὁ παρεστηκὼς ὄχλος. καὶ ὁ Πέτρος ἔφη πρὸς τὸν γέλωτα· γελᾶτε ὑμεῖς τὰ ἐκείνων, οὐκ εἰδότες πολλῷ μᾶλλον ὑπ' ἐκείνων γελώμενοι. πλὴν τὰ ἀλλήλων γελᾶτε, τὰ γὰρ ἴδια ὑπὸ συνηθείας κακῆς εἰς ἀπάτην ἀχθέντες οὐ βλέπετε. ὅτι δὲ ὄντως ὀρθῶς*[1] *καταγελᾶτε τῶν Αἰγυπτίων, σύμφημι, ἐπεὶ ἄλογα ζῶα λογικοὶ ὄντες προσκυνοῦσιν, τὰ πάντως θνήσκοντα. πῶς δὲ κἀκεῖνοι ὑμῶν καταγελῶντες λέγουσιν, ἀκούσατε· ἡμεῖς, φασίν*[2]*, εἰ καὶ θνήσκοντα προσκυνοῦμεν, ἀλλά γε*[3] *κἂν ζήσαντά ποτε, ὑμεῖς δὲ τὰ μηδέποτε ζήσαντα σέβεσθε. πρὸς τούτοις φασίν· τοῦ ἑνὸς Θεοῦ τιμᾶν θέλοντες τὴν μορφὴν καὶ μὴ εὑρόντες ποία ἐστίν, πᾶσαν μορφὴν προτιμᾶν εἰλόμεθα· καὶ ὅμως τοιαῦτά τινα λέγοντες ὀρθότερον ὑμῶν οἴονται φρονεῖν.*

XVIII. *Διὸ καὶ ὑμεῖς ἀποκρίνεσθε*[4] *πρὸς αὐτούς· ψεύδεσθε, οὐ γὰρ τιμῇ τῇ πρὸς τὸν ὄντως Θεὸν αὐτὰ σέβεσθε, πᾶσαν γὰρ ἂν μορφὴν προσκυνεῖτε οἱ πάντες, οὐχ ὡς ἐποιεῖτε· οἱ μὲν γὰρ ὑμῶν κρόμμυον*[5] *ὑπονοήσαντες εἶναι τὸ θεῖον καὶ γαστρὸς πνεύματα σέβοντες πολεμοῦσιν*[6]*· καὶ οὕτως ὁμοίως οἱ πάντες ἕν τι προτιμήσαντες τὰ ἄλλων ψέγετε. διαφόρῳ δὲ γνώμῃ τοῦ αὐτοῦ ζώου μελῶν ὃς μὲν ἄλλο σέβει, ἕτερος δὲ τὸ*[7]

XVII. Haec dicente Petro risit quae adstabat multitudo. Et Petrus ad risum dixit: ridetis illorum sententiam, nescientes, multo magis vos ab illis irrideri. Attamen alii aliorum res deridetis, nam proprias, per malam consuetudinem in fraudem inducti, non cernitis. Quod vero recte Aegyptios irrideatis fateor: quandoquidem animalia ratione carentia ipsi ratione praediti adorant, eaque omnino mortalia. Quo modo autem et illi vos deridendo loquantur, audite. Nos, inquiunt, etsi mortalia adoremus, tamen quae aliquando vixerunt: at vos quae numquam vixerunt colitis. Ad haec ajunt, unius Dei honorare volentes formam, nec invenientes qualis ea sit, omnem formam colendam censuimus. Porro hujusmodi quaedam locuti rectius vobis se putant sentire.

XVIII. Quapropter et vos iis respondete: falsum dicitis, non enim in honorem veri Dei colitis illa, quia omnes omnem adoraretis formam et non ut facitis. Nam qui vestrum cepam esse numen existimant, et qui colunt ventris crepitus, inter se bella gerunt, similique modo cuncti, unum quid maximi facientes, ceterorum cultum improbatis. Variante quoque sententia ex membris ejusdem animalis unus unum veneratur, alius aliud. Sed et inter illos aliqui,

sarii Resp. ad Interrog. 19: *παρ' Ἕλλησι κρῆναι καὶ κρόμμυα καὶ γαστρὸς πνεύματα μεμηνότες ἐκθειάζονται.* C. Tum *ἐχθροῖς* p. *αἰσχροῖς* C.

1. *ὀρθῶς ὄντως* O.
2. Ita S, *φησὶν* C O.
3. *ἀλλ' οὖν* O.
4. Ita S, *ἀποκρίνασθε* C O.
5. *κρόμυον* O. Tum *καὶ οἱ* p. *καὶ* legi vult S.
6. *ποιοῦσι* O. Tum *ὑμῶν* p. *ὁμοίως* conj. S.
7. *τὸ* textui reddidi postquam omissum erat a S. Idem proponit *τινὸς* p. *ἕτι*.

ἕτερον. πλὴν αὐτῶν ἔτι τὰ τοῦ ὀρθοῦ λογισμοῦ πνέοντες, αἰδούμενοι ἐπὶ τῷ προδήλῳ αἰσχρῷ, εἰς ἀλληγορίας αὐτὰ [1] ἄγειν πειρῶνται, δι' ἑτέρας ἀπονοίας τὰ τῆς ἀπάτης αὐτῶν θανάσιμα κρατύνειν βουλόμενοι. ὅμως καὶ [2] τὰς ἀλληγορίας διελέγξαιμεν [3] ἄν, εἴπερ ἐκεῖ ἦμεν, ὧν τὸ τοσοῦτον μωρὸν ἐπεκράτησε πάθος, ὡς [4] μεγίστην τῇ ἐπινοίᾳ ἐμποιῆσαι νόσον. οὐ γὰρ χρὴ τὴν ἔμπλαστρον προσφέρειν ἐπὶ τὸ ὑγιεινὸν μέρος τοῦ σώματος, ἀλλ' ἐπὶ τὸ πάσχον. ἐπεὶ οὖν ὑμεῖς διὰ τοῦ γελάσαι τὰ Αἰγυπτίων ἐφάνητε μὴ παθόντες [5] τὰ ἐκείνων, περὶ οὗ ὑμεῖς [6] πεπόνθατε, εὔλογον ἦν παρόντα με ὑμῖν τὴν ἴασιν τοῦ ἐν ὑμῖν πάθους παρέχειν.

XIX. Ὁ Θεὸν σέβειν αἱρούμενος πρὸ πάντων εἰδέναι ὀφείλει, τί μόνον τῆς Θεοῦ φύσεως ἴδιόν ἐστιν, ὃ ἄλλῳ προσεῖναι ἀδύνατον, ἵνα, εἰς τὸ ἰδίωμα αὐτοῦ ἀποβλέπων καὶ παρ' ἑτέρῳ αὐτὸ μὴ εὑρίσκων, ἑτέρῳ τὸ [7] θεῷ εἶναι μὴ ἀπατηθῇ δοῦναί ποτε. ἔστι δὲ ἴδιον Θεοῦ, τοῦτον μόνον εἶναι, ὡς πάντων ποιητήν, οὕτως καὶ κρείττονα. κρεῖττόν ἐστι δυνάμει μὲν τὸ ποιοῦν τοῦ ποιουμένου [8], πρὸς μέγεθος τὸ ἄπειρον τοῦ πεπερασμένου· πρὸς εἶδος τὸ εὐμορφότατον, πρὸς εὐδαιμονίαν τὸ μακαριώτατον,

qui adhuc aliquid bonae mentis retinent, erubescentes de manifesta turpitudine nituntur cuncta ad allegorias trahere, et per aliam dementiam volunt erroris sui confirmare mortiferum virus. Ceterum confutaremus et allegorias, si illic essemus, quarum adeo invaluit stulta affectio, ut maximum animo creaverit morbum. Non enim oportet emplastrum inferre in partem corporis sanam, sed in morbidam. Quandoquidem igitur vos; ridendo Aegyptiaca, declarastis vos idem quod illi non pati, circa id in quo vos aegrotatis, aequum est ut ego coram vobis remedium vestri morbi praebeam.

XIX. Qui Deum colere vult, ante omnia scire debet, quid solum divinae naturae proprium sit, quod alteri non possit inesse; ut in proprietatem ejus respiciens, eamque non reperiens apud alium, numquam fraude inducatur ad tribuendam alteri divinitatem. Est autem proprium Dei: illum solum esse, ut omnium creatorem, ita et optimum. Potentius quippe est quod facit eo, quod fit; magnitudine, quod infinitum est, finitis; specie pulcherrimum; felicitate

1. αὐτὰ O et in marg. C, αὐτὰς id. in textu. Tum ἐπινοίας p. ἀπονοίας O.
2. ὁ μὲν p. ὅμως καὶ O.
3. διηλέγξαμεν O. Idem om. τὸ ante τοσοῦτον. Quod si retineri velis, lege saltem τοσοῦτον μωρὸν ἐπεκράτησε τὸ πάθος.
4. ὡς S, deest in O C, ὥστε Galland.
5. πείθοντες C.
6. Tum ὑμεῖς O et ex conject. C, qui in textu ὑμᾶς.
7. τῷ C, τῳ S, qui lect. Ottob. jam suspicatus est. Idem interpungendum censuit ut interpunximus c. O. Ap. C puncto distinctum est post ἐστιν.
8. κρείττων ἐστὶν μὲν δυνάμει τοῦ ποιεῖν τοῦ λοιποῦ C, κρεῖττόν ἐστι μὲν δυνάμει τὸ ποιοῦν τοῦ ποιητοῦ D, κρεῖττόν ἐστι δυνάμει μὲν τὸ ποιοῦν τοῦ ποιοῦντος O, quam ultimam vocem converti in ποιουμένου. Tum περαινασμένου p. πεπερασμένου C, περαινομένου S c. Cl.

πρὸς νοῦν τὸ τελειότατον[1]. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις αὐτὸς[2] ἀπαραβλήτως τὴν ὑπεροχὴν ἔχει. ἐπεὶ οὖν, ὡς ἔφην, ἴδιον Θεοῦ τὸ αὐτὸν εἶναι τῶν ὅλων κρείττονα, ὑπ' αὐτοῦ δὲ ὁ πάντα περιέχων γέγονε κόσμος ἀνάγκη πᾶσα λέγειν, μηδὲν[3] ὑπ' αὐτοῦ γεγονότων αὐτῷ δύνασθαι τὴν ἴσην ἔχειν σύγκρισιν.

XX. Ὁ δὲ μὴ ἔχων τὸ ἀπαράβλητον καὶ ἀνυπέρβλητον καὶ πάντῃ πάντοθεν ἀνενδεὲς αὐτὸς εἶναι οὐ δύναται. εἰ δὲ ὁ πᾶς κόσμος τοῦτο εἶναι οὐ δύναται, καθὸ γεγένηται[4], πόσῳ γε μᾶλλον τὰ μόρια αὐτοῦ οὐκ ἂν εὐλόγως κληθείη θεός; μόρια δὲ λέγω τοὺς ὑφ' ὑμῶν λεγομένους θεούς, ἐκ[5] χρυσοῦ καὶ ἀργύρου χαλκοῦ τε καὶ λίθου ἢ καὶ ἐξ ἄλλης ὕλης ἠστινοσοῦν[6] γεγονότα, καὶ ταῦτα ὑπὸ θνητῆς χειρὸς δεδημιουργημένα. ὅμως δὲ πρὸς ταῦτα ἴδωμεν[7], οἷα δι' ἀνθρώπου στόματος ὁ δεινὸς ὄφις φαρμάσσει τοῖς ἐπειγμοῖς[8] τοὺς ἐξαπατωμένους.

XXI. Λέγουσι γὰρ οἱ πολλοί· τῶν σεβασμάτων ἡμῶν σέβομεν οὐ τὸν χρυσὸν οὐδὲ τὸν ἄργυρον οὐδὲ ξύλον ἢ λίθον· ἴσμεν γὰρ καὶ ἡμεῖς ὅτι ταῦτα οὐδέν ἐστιν ἢ ἄψυχος ὕλη καὶ ἀνθρώπου θνητοῦ τέχνη· ἀλλὰ τὸ κατοικοῦν ἐν αὐτοῖς πνεῦμα, τοῦτο θεὸν λέγομεν. ὅρα τῶν ταῦτα λεγόντων τὴν κακοήθειαν. ἐπεὶ γὰρ τὸ φαινόμενον εὐέλεγκτόν ἐστιν, ὅτι οὐδέν

beatissimum; mente perfectissimum. Similiter autem et in aliis ipse incomparabiliter eminet. Cum ergo, sicut dixi, Dei sit proprium, cunctis esse melio-rem, ab ipso autem factus sit, qui omnia complectitur mundus, penitus necessario dici debet, nullam rerum ab eo creatarum posse cum ipso conferri et exaequari.

XX. Porro mundus, qui non est incomparabilis et eximius atque omni ex parte nullo indigens, Deus esse nequit. Sin vero totus mundus, in quantum conditus fuit, Deus esse nequit, quanto magis illius partes non recte Dei nomen accipient? Partes autem dico, quos vocatis deos, nimirum ex auro, argento, aere, lapide, vel alia quacumque materia factos, insuperque mortalis manus opificia. Attamen videamus praeterea, qualiter per os hominis importunus serpens deceptos inductionibus inficiat.

XXI. Dicunt enim multi: in nostris numinibus non aurum neque argentum nec lignum aut lapidem adoramus: scimus namque et nos ista nihil esse, praeter inanimam materiem et mortalis hominis artificium. Sed spiritum qui in illis residet, deum asserimus. Vide ista proferentium malignitatem. Nam

1. τελειώτατον C.
2. αὐτὸ S.
3. Vbb. ὑπ' αὐτοῦ δὲ ὁ πάντα περιέχων γέγονε κόσμος, ἀνάγκη πᾶσα λέγειν, μηδὲν non extant in O.
4. ἀνενδεὲς θεὸς εἶναι οὐ δύναται, καθ' ὃ γεγένηται. πόσῳ C.
5. ἐκ om. O.
6. Ita scripsi duce Ottob., qui habet τινοσοῦν. Ap. C. τινὸς οὖν. Nostrum jam vidit S.
7. ἴδωμεν O c. S, εἴδωμεν C.
8. ὑπειγμοῖς C.

www.libtool.com.cn

ἐστιν, κατέφυγον ἐπὶ τὸ ἀόρατον, ὡς ἐπ' ἀδήλῳ τινὶ ἐλεγχθῆναι μὴ δυνάμενοι. πλὴν συνομολογοῦσιν ἡμῖν οἱ τοιοῦτοι ἐπὶ μέρους, ὅτι τὸ ἥμεσυ τῶν παρ' αὐτοῖς ἱδρυμάτων Θεὸς οὐκ ἔστιν, ἀλλ' ἀναίσθητος ὕλη. λοιπὸν δὲ περιλεέπεται δεῖξαι αὐτούς[1], πῶς πιστεύομεν ὅτι θεῖον ἔχει πνεῦμα. ἀλλ' ἐπιδεῖξαι[2] ἡμῖν οὐ δύνανται ὅτι ἐστίν, ἐπεὶ μή ἐστιν. καὶ αὐτοῖς ἑωρακέναι οὐ πιστεύομεν. ἡμεῖς αὐτοῖς ὅτι θεῖον οὐκ ἔχει πνεῦμα[3] τὰς ἀποδείξεις παρέξομεν, ὅπως τοῦ δοκεῖν αὐτὰ ἔμπνοα εἶναι οἱ φιλαλήθεῖς[4] τὸν ἔλεγχον ἀκούσαντες τῆς λυσσώδευς ὑπονοίας[5] ἀποτραπῶνται.

XXII. Τὸ μὲν δὴ πρῶτον, εἰ ὡς ἔμπνοα ὄντα σέβεσθε αὐτά, καὶ[6] αἰωνίων ἀρχαίων τάφους προσκυνεῖτε, τῶν ὁμολογουμένως οὐδὲν[7] πνεῦμα θεῖον ἐσχηκότων. οὕτως οὐδὲ κατὰ τοῦτο ἀληθεύετε. πλὴν εἰ ὄντως ἔμπνοα ἦν τὰ σεβάσματα ὑμῶν, ἀφ' ἑαυτῶν ἂν ἐκινεῖτο, φωνὴν ἂν εἶχεν, τὴν ἐπ' αὐτοῖς ἀράχνην ἀπεσείετο, τοὺς αὐτοῖς ἐπιβουλεῦσαι θέλοντας καὶ κλέπτοντας ἀπεωθεῖτο ἄν, τοὺς τὰ ἀναθήματα ἀποσυλῶντας συνελάμβανεν ἂν ῥᾳδίως. νῦν δὲ τούτων οὐδὲν ποιοῦσιν, ἀλλ'[8] ὡς κατάδικοι, καὶ μάλιστα οἱ τιμιώτεροι αὐτῶν, φρουροῦνται, ὡς καὶ τὴν ἀρχὴν εἰρήκαμεν. τί δὲ οὐ φόρους καὶ τέλη ὑπὲρ αὐτῶν ἀπαιτοῦσιν ὑμᾶς οἱ δυνάσται, ὡς πολλὰ καρπιζομένους τῶν ἐκεῖ; τί δὲ οὐ πολλάκις ὑπὸ πολεμίων[9] διηρ-

quia, quod apparet, convinci facile potest, quod nihil sit, ad id quod non videtur confugiunt, quasi in re incerta nequeant confutari. Nobiscum tamen ex parte isti confitentur, quod dimidium simulacrorum suorum Deus non sit, sed sensu carens materia. Superest igitur, ut probent, qua ratione credamus in illis versari divinum spiritum. Verum id ita esse nobis nequeunt demonstrare, quia non est. Et ipsis apparuisse non credimus. Nos illis, ea divinum spiritum non habere, per argumenta probabimus, ut veritatis studiosi, audita confutatione opinionis ea spiritu praedita affirmantis, a rabioso errore se avertant.

XXII. Primo quidem si ea velut spiritum habentia colitis, etiam antiquorum hominum sepulcra adoratis, quos in confesso est divinum non habuisse spiritum. Ita neque in hoc vera loquimini. Porro si vere spirarent vestra numina, per se moverentur, vocem emitterent, araneas insidentes ablegarent, insidiatores suos et fures abigerent, donariorum praedones facile comprehenderent. Jam vero nihil horum faciunt dii, sed instar reorum custodiuntur, praesertim qui sunt pretii majoris, quemadmodum principio diximus. Quid enim, nonne principes a vobis tributa et vectigalia pro iis exigunt, quod multum inde

1. αὐτοῖς O.
2. ἐπειδεῖξαι O.
3. πνεῦμα adscripsi ex O.
4. φιλαληθεῖς C.
5. ἀπονοαίς conj. D. Subinde ἀποτράπονται O.
6. Leg. τί καὶ (cur etiam). S. Subinde ἀνθρώπων p. αἰωνίων conj. C.
7. ὁμολογουμένων ὡς οὐδὲ C.
8. ἀλλὰ O.
9. Ita C in marg., πολέμων in textu, ut O.

πάγησαν, καὶ συντριβέντες διενεμήθησαν; οὐχὶ καὶ τῶν ἔξω θρησκευόντων αὐτοὶ πλέον οἱ ἱερεῖς, ἐπὶ τῇ ἀχρήστῳ θρησκείᾳ ἑαυτῶν κατεγνωκότες, τῶν ἀναθημάτων πολλὰ ὑφαιροῦνται;

XXIII. Ναί, φησίν, ἀλλὰ προνοίᾳ αὐτῶν ἐφωράθησαν. ψεῦδός ἐστιν. πόσοι γὰρ οὐκ ἐφωράθησαν αὐτῶν; εἰ δὲ διὰ τὸ ἐνίους συνειλῆφθαι δύναμιν αὐτοὺς[1] ἔχειν λέγουσιν, πεπλάνηνται. καὶ γὰρ τῶν τυμβωρύχων τινὲς μὲν εὑρίσκονται, τινὲς δὲ λανθάνουσιν, καὶ οὐ δήπου γε τῇ τῶν νεκρῶν δυνάμει[2] οἱ συλληφθέντες ἐφωράθησαν. τοιοῦτόν τι καὶ περὶ τοὺς κλεπτομένους καὶ συλωμένους θεοὺς ἔστιν ἡμῖν νοεῖν. ἀλλά, φησίν, οὐ πεφροντίκασιν τῶν ξοάνων αὐτῶν οἱ ἐν αὐτοῖς ὄντες θεοί. τί οὖν αὐτὰ ὑμεῖς τηρελεῖτε σμήχοντες καὶ πλύνοντες καὶ καθαίροντες, στεφανοῦντες, ἐπιθύοντες; διόπερ ἐντεῦθεν συννοήσατε μηδὲν[3] ὀρθῷ λογισμῷ ποιοῦντες. ὡς γὰρ τοῖς νεκροῖς ἐπικλαίετε, οὕτω καὶ τοῖς θεοῖς ὑμῶν ἐπιθύετε καὶ σπένδετε.

XXIV. Οὐκέτι μέν τοι τοῦτο οὐδὲ τῷ τοῦ Καίσαρος καὶ τῶν ὑπ' αὐτὸν ἐξουσιῶν συμφωνεῖ παραδείγματι, διοικητὰς αὐτοὺς λέγειν, ὁπότε ὑμεῖς αὐτῶν τὴν πᾶσαν ποιεῖσθε πρόνοιαν, ὡς προεῖπον, κατὰ πάντα τηρελοῦντες ὑμῖν[4] τὰ ἱδρύματα. αὐτὰ γὰρ οὐδὲν δυνάμενα οὐδὲν ποιεῖ. ἐπεὶ εἴπατε ἡμῖν, τί διοικοῦσιν, τί ποιοῦσι τοιοῦτον, ὁποῖόν τι οἱ κατὰ τόπον ἡγούμενοι; τί δὲ ἐνεργοῦσι τοιοῦτον, ὁποῖον οἱ τοῦ Θεοῦ ἀστέρες; εἰ μή

emolumenti capitis? Nonne saepe ab hostibus rapti sunt, et post fracturam distributi? Nonne plus quam cultores, qui extra sunt, ipsi plerumque sacerdotes, se de inutili cultu damnantes, subripiunt multa donaria?

XXIII. Ita est, dicet aliquis, sed deorum providentia isti homines deprehensi sunt. Falsum est. Quot enim eorum non sunt deprehensi? Quod si ex quorundum comprehensione deos potestatem habere concludunt, errant. Etenim ex sepulcrorum effossoribus nonnulli inveniuntur et nonnulli latent, neutiquam tamen mortuorum potestatis est, quod illi capiantur. Pari modo de furibus deorum debemus censere. Sed, dicetur, curam non gerunt simulacrorum suorum, qui in eis resident dii. Cur ergo vos ea curatis, abstergentes, lavantes, purgantes, coronantes et sacrificiis colentes? Quocirca inde reputate, vos recta ratione non agere. Quemadmodum enim mortuos defletis, ita et diis vestris sacrificatis et libatis.

XXIV. Equidem non amplius illud convenit cum exemplo Caesaris et potestatum sub illo positarum, deos dicere administratores, quandoquidem iis omnem curam impenditis, sicut jam dixi, in omnibus vobis foventes simulacra. Ipsa enim cum nihil possint, nihil faciunt. Alioquin dicite nobis, quidnam administrent, quid hujusmodi agant, quale agunt locorum praefecti? Quid vero

1. αὐτοὺς S O, ἑαυτοὺς C.
2. δύναμιν O mendose.
3. μηδὲ C.
4. ὑμῶν C.

τι φαίνουσιν, ὡς ὁ ἥλιος, οἷς λύχνους ὑμεῖς ἅπτετε; μή [1], ὥσπερ τὰ νέφη ὑετοὺς φέρει, καὶ αὐτοὶ φέρειν ὄμβρους δύνανται, οἱ μηδὲ ἑαυτοὺς κινεῖν δυνάμενοι, ἐὰν μὴ ἄνθρωποι ἐπιλάβωνται; ἢ καρποὺς παρέχονται τοὺς αὐτοὺς τῇ γῇ τοῖς πόνοις ὑμῶν, οἷς θυσίας [2] χορηγεῖτε. οὕτως οὐδὲν δύνανται.

XXV. Εἰ δὲ καὶ ποιεῖν τι ἐδύναντο, οὐκ ἂν αὐτοὺς ὀρθῶς θεοὺς ἐλέγετε, ὁπότε οὐδὲ τὰ στοιχεῖα ὀνομάζειν ἔξεστι θεούς, δι' ὧν τὰ ἀγαθὰ χορηγεῖται. ἀλλὰ τὸν μόνον τάξαντα αὐτά, πρὸς τὴν ἡμετέραν χρῆσιν ἐκτελεῖν τὰ πάντα, καὶ κελεύσαντα ἀνθρώπῳ ὑπηρετεῖν, μόνον ὀρθῷ λόγῳ Θεὸν ὀνομάζομεν. οὗ [3] τῆς εὐεργεσίας ὑμεῖς μὴ αἰσθανόμενοι τὰ ὑμῖν δοῦλα ἀπονεμηθέντα στοιχεῖα καθ' αὑτῶν δεσπόζειν ἀνηγορεύσατε. καὶ τί περὶ στοιχείων δεῖ λέγειν; ὁπότε καὶ ἄψυχα ἀγάλματα πεποιηκότες οὐ μόνον προσκυνεῖτε, ἀλλ' ὡς δοῦλοι κατὰ πάντα αὐτοῖς ὑποτετάχθαι ἀξιοῦτε. διὰ τοῦτο, δι' ὧν παρεφρονήσατε [4], δαίμοσιν ὑποχείριοι γεγόνατε. πλὴν διὰ τῆς εἰς αὐτὸν τὸν Θεὸν ἐπιγνώσεως ἐκ τῶν καλῶν πράξεων δύνασθε δεσπόται γενέσθαι πάλιν, καὶ δαίμοσιν ὡς δούλοις ἐπιτάξαι, καὶ ὡς υἱοὶ Θεοῦ αἰωνίου βασιλείας κληρονόμοι καταστῆναι.

XXVI. Ταῦτα εἰπὼν ἐκέλευσε τοὺς δαιμονῶντας καὶ νόσοις ἐγκατει-

ad fructuum productionem, et imbres deferuntur, et anni tempestates fiunt? Jam vero sol et luna cum aliis stellis propter te oriuntur et occidunt, fluvii et stagna cum omnibus fontibus tibi subserviunt. Unde tibi sensu carenti quemadmodum major praestitus est honor, ita ingrato major praeparata est ignis poena, quod scire nolueris, quem ante omnia oportuit cognoscere.

XXIV. Sed vel nunc ex minoribus agnosce cunctorum causam, considerans, quod omnia aqua producit, aqua vero a spiritu accipit motus originem, spiritus autem ab universorum Deo initium habet. Atque ita oportet reputare, quo per rationem ad Deum possis pervenire, ut agnoscens tuum genus et regeneratus aqua primigenita etiam haeres efficiaris parentum qui te ad incorruptionem genuerunt.

XXV. Propter quod prompte, tamquam filius ad patrem, accede, ut Deus causam peccatorum tuorum ponat ignorantiam. Quod si postquam vocatus es, non vis, aut cunctaris, justo Dei judicio peribis, et quia tu noluisti, nolet te Deus. Nec vero putes, quod etsi omnium, qui umquam fuerunt pii, piissimus sis, non fueris autem baptizatus, spem adipisci aliquando poteris. Eo enim majores dabis poenas, quod bona opera non bene feceris. Praeclara enim res

1. ἄστροις om. O.
2. πάσαις p. πάσαις πηγαῖς C, qui conj. θαλάσσαις. Lectio Ottoboniani quamlibet conjecturam reddit superfluam.
3. Κἂν C.
4. ἐπιγνῷς αὐτο γ. C, ἐπιγνῷς σαυτοῦ γ. D.
5. καὶ om. O.
6. κἂν scr. Schliemannus Clem. p. 226. 569. S.

www.libtool.com.cn

ὡς ἐκείνῳ ἔδοξεν, βαπτισθῆναι, τῷ σῷ θελήματι ὑπηρετῶν ἐχθραίνεις τῇ ἐκείνου βουλῇ.

XXVI. Ἀλλ' ἴσως ἐρεῖ τις· τί συμβάλλεται πρὸς εὐσέβειαν τὸ βαπτισθῆναι ὕδατι; πρῶτον μέν, ὅτι τὸ δόξαν Θεῷ πράττεις. δεύτερον δέ, ἐξ ὕδατος ἀναγεννηθεὶς Θεῷ, αἰτίᾳ φόβου [1], τὴν ἐξ ἐπιθυμίας πρώτην σοι γενομένην καταλλάσσεις [2] γένεσιν, καὶ οὕτως σωτηρίας τυχεῖν δύνῃ· ἄλλως δὲ ἀδύνατον. οὕτως γὰρ ἡμῖν ὤμοσεν ὁ προφήτης εἰπών [3]· ἀμὴν ὑμῖν λέγω, ἐὰν μὴ ἀναγεννηθῆτε ὕδατι ζῶντι, εἰς ὄνομα πατρός, υἱοῦ, ἁγίου πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. διὸ προσέλθετε. ἔστι γάρ τι ἐκεῖ ἀπαρχῆς ἐλεῆμον, ἐπιφερόμενον τῷ ὕδατι, καὶ [4] τοὺς βαπτιζομένους ἐπὶ τῇ τρισμακαρίᾳ ἐπονομασίᾳ καὶ [5] ῥύεται τῆς ἐσομένης κολάσεως, ὥσπερ δῶρα προσφέρον τῷ Θεῷ ὡς ἂν [6] ἀπὸ τοῦ βαπτίσματος αὐτῶν τῶν βαπτισθέντων τὰς εὐποιΐας. διὸ προσφεύγετε τῷ ὕδατι, τοῦτο γὰρ μόνον τὴν τοῦ πυρὸς ὁρμὴν σβέσαι δύναται. τούτῳ ὁ μήπω προσελθεῖν θέλων ἔτι τὸ τῆς λύσσης φέρει πνεῦμα, οὗ ἕνεκα ἐπὶ τῇ αὐτοῦ [7] σωτηρίᾳ ὕδατι ζῶντι προσελθεῖν οὐ θέλει.

XXVII. Πρόσελθε οὖν, κἂν δίκαιος ᾖς κἂν ἄδικος. δικαίῳ γὰρ ὄντι

est, bona operari, quando juxta mandatum Dei fit. Tu vero, si, ut illi placet, nolis baptizari, tuae voluntati obsequens illius consilio repugnas.

XXVI. Sed aliquis forsan dicet: quid confert ad pietatem, aqua baptizari? Primo quidem, quia id quod Deo placuit facis. Secundo vero, per aquam Deo renatus, timoris causa primam nativitatem quam ex concupiscentia traxisti permutas, sicque salutem consequi potes: aliter autem impossibile est. Ita enim nobis juravit propheta dicens: *Amen dico vobis, nisi renati fueritis aqua viva, in nomine Patris, Filii, Spiritus sancti, non introibitis in regnum coelorum.* Quocirca accedite. Ibi namque est aliquid ab initio misericors, quod fertur super aquam, et eos qui in ter beata invocatione baptizati sunt eripit de futuris suppliciis, et quae post baptismum facta sunt a baptizatis bona opera Deo offert quasi donum. Quare confugite ad aquam: haec enim sola vim ignis potest exstinguere. Ad quam qui nondum vult venire, adhuc rabidum gerit spiritum, cujus gratia non vult pro sua salute adire aquam vivam.

XXVII. Accede igitur, sive justus sis, sive injustus. Nam tibi, si justus

1. Ita O c. S, αἰτίᾳ φόβῳ C. Haec vbb. non sunt in Codice Turriani, neque agnoscuntur a Rufino: quare ea D esse putat a mala manu. S.

2. ἀποτέμῃ alia man. O. Ita et Turrianus; Ruf. Rec. VI, 9: „amputatur".

3. Joan. 3, 5. Cfr. Schw. Mont. p. 184; Nachap. Zeitalter I, 218 sq.; Zeller: Ann. Theol. Tubing. 1845 p. 613; 1847 p. 132; Frank: Würtmb. St. tom. XVIII p. 71 sq. XIX p. 179; Hilgenfeld: D. clem. Rec. u. Rom. p. 166; D. Ev. Joh. p. 151; Krit. Unters. p. 358; Ritschl: Ann. Theol. Tub. 1851 p. 514.

4. καὶ O c. D, qui locum ita vult restitui: καὶ τοὺς βαπτ. ἐπὶ τῇ τρ. ἐπον. ῥύεται καὶ τῆς ἐσ. κολ. Apud C καὶ deest ante τοὺς βαπτιζομένους, S ὃ τοὺς βαπτιζομένους.

5. καὶ om. O.

6. ὡς ἂν D, ὅτ' ἂν C, ὅταν O.

7. Ita S., αὐτοῦ C O.

www.libtool.com.cn

σοι μόνον ἔλειπε τὸ πρὸς σωτηρίαν βαπτισθῆναι, ἀδίκῳ δὲ πρὸς τὸ βαπτισθῆναι[1] εἰς ἄφεσιν τῶν ἐν ἀγνοίᾳ προπεπραγμένων[2]. ἀδίκῳ δ' ὑποκατα-
λείπεται κατ' ἀναλογίαν τῆς ἀσεβείας ἡ ἐπὶ τὸ βάπτισμα εὐποιΐα. διὸ εἴ τε δικαιος εἶ, εἴτε ἄδικος, σπεῦσον γεννηθῆναι Θεῷ, ὅτι ἡ ἀναβολὴ κίν-
δυνον φέρει διὰ τὸ ἄδηλον[3] εἶναι τοῦ θανάτου τὴν προθεσμίαν, τῷ ἐξ ὕδατος[4] γεννῶντί σε πατρὶ διὰ τῆς εὐποιΐας τὴν ὁμοιότητα δείξας. ὡς φιλαληθὴς τὸν ἀληθῆ Θεὸν τιμῶν ὡς πατέρα. τιμὴ δὲ αὐτῷ τὸ ζῆν σε ὡς αὐτὸς δίκαιος ὢν θέλει. δικαίου δὲ θέλημα τὸ μὴ ἀδικεῖν. ἀδικεία δέ ἐστιν φονεύειν, μισεῖν, πλεονεκτεῖν, καὶ τὰ τούτοις ὅμοια· τούτων δὲ εἴδη πολλά.

XXVIII. Πλὴν τούτοις συνεισφέρειν δεῖ τί ποτε, ὃ κοινότητα πρὸς ἀνθρώπους μὲν οὐκ ἔχει, ἴδιον δὲ θρησκείας Θεοῦ τυγχάνει. λέγω δὴ τὸ καθαρεύειν, τὸ ἐν ἀφέδρῳ οὖσῃ τῇ ἰδίᾳ γαμετῇ μὴ κοινωνεῖν, ὅτι τοῦτο ὁ Θεοῦ κελεύει νόμος. τί δέ, εἰ μὴ καὶ τῇ τοῦ Θεοῦ θρησκείᾳ τὸ καθα-
ρεύειν ἀνέκειτο, ὑμεῖς ὡς οἱ κάνθαροι[5] ἡδέως ἂν ἐκυλίεσθε. διὸ ὡς ἄνθρω-
ποι ἔχοντές τι πλεῖον τῶν ἀλόγων ζώων, τὸ λογικοὶ[6] εἶναι, τὴν μὲν καρ-
δίαν τῶν κακῶν οὐρανίῳ καθάρατε λογισμῷ, λουτρῷ δὲ πλύνετε[7] τὸ σῶμα.

es, solum deerat baptizari in salutem, sin injustus in remissionem eorum, quae in ignorantia prius perpetrasti. Si vero injustus, relinquitur, ut baptismatis bona opereris juxta impietatis proportionem. Quapropter, sive justus es sive iniquus, festina nasci Deo, quia dilatio affert periculum; nam incertum est praestitutum morti nostrae tempus. Patri, qui te ex aqua genuit, similitudinem per bona opera ostende. Tamquam veri studiosus verum Deum honora ut patrem. Honor autem ejus est, ut ita vivas, sicut ipse, qui justus est, desiderat. Porro justi voluntas est, injustitiam non facias. Et est injustita, occidere, adulterare, odisse, fraudare, caeteraque his similia, quorum multae sunt species.

XXVIII. Verumtamen istis adjiciendum est aliquid, quod quidem cum reliquis hominibus non est commune, sed proprie competit religioni Dei. Dico autem, in puritate degere, ad uxorem suam quando in purgatione est non accedere: hoc quippe jubet Dei lex. Quid vero? nisi puritas in religione Dei esset consecrata, vos ut canthari cum voluptate volveremini. Quare, tamquam homines aliquid amplius brutis animantibus habentes, nimirum esse rationales,

1. Vbb. ἀδίκῳ δὲ πρὸς τὸ βαπτισθῆναι accesserunt ex O, in cuj. marg. man. rec. τῷ pro τό.
2. πεπραγμένων C. Subinde ἀδίκῳ δ' add. S c. Rufino Rec. VI, 9: „injusto vero.“
3. ἄδειλον O.
4. ὕδατι O.
5. Arist. Hist. Anim. V, 19. 552, a, 17: οἱ δὲ κάνθαροι ἦν κυλίουσι κόπρον, ἐν ταύτῃ φωλεύουσί τε τὸν χειμῶνα. S. Tum ἀνεκυλίεσθε p. ἂν ἐκυλίεσθε C.
6. λογικὸν C, τῷ λογικοὶ εἶναι conj. S.
7. πλύνατε C. Tum τὸ ἀληθὲς O. Deinceps fuit lacuna in O inter καθαρεύειν et ὅτι, quam al. man. partim explevit verbis οὐχ ὡς inscriptis.

www.libtool.com.cn

κατὰ γὰρ τὰ ἀληθῆ τὸ καθαρεύειν, οὐχ ὡς ὅτι προηγεῖται τῆς κατὰ τὴν καρδίαν καθάρσεως ἡ τοῦ σώματος ἁγνεία, ἀλλ' ὡς [1] ὅτι ἕπεται τῷ ἀγαθῷ τὸ καθάριον. καὶ γὰρ ὁ διδάσκαλος ἡμῶν ἐνίους τῶν ἐν ἡμῖν [2] Φαρισαίων καὶ γραμματέων, οἳ εἰσιν ἀφωρισμένοι καὶ τὰ νόμιμα ὡς γραμματεῖς τῶν ἄλλων πλεῖον εἰδότες, ὅμως διήλεγχεν αὐτοὺς ὡς ὑποκριτάς, ὅτι μόνα τὰ ἀνθρώποις φαινόμενα ἁγνεύοντες τὰ τῆς καρδίας καθαρὰ καὶ Θεῷ μόνῳ ὁρώμενα παρελίμπανον.

XXIX. Ῥητῇ οὖν ταύτῃ φωνῇ ἐχρήσατο, τὰ ἀληθῆ πρὸς τοὺς ὑποκριτὰς αὐτῶν λέγων [3], οὐ πρὸς πάντας. Ἐνίων γὰρ καὶ ἐπακούειν ἔλεγεν, ὅτι τὴν Μωυσέως ἐπιστεύθησαν καθέδραν. πλὴν πρὸς τοὺς ὑποκριτὰς ἔλεγεν· οὐαὶ ὑμῖν [4] γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί, ὅτι καθαρίζετε τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔξωθεν, ἔσωθεν δὲ γέμει ῥύπου [5]. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔσωθεν, ἵνα γένηται καὶ τὰ ἔξω αὐτῶν [6] καθαρά. καὶ ἀληθῶς. φωτισθέντος γὰρ τοῦ νοῦ τῇ γνώσει ὁ μαθὼν δύναται ἀγαθὸς εἶναι, ᾧ παρέπεται τὸ καθαρὸν γενέσθαι. ἐκ τῆς ἔσω γὰρ διανοίας ἡ τοῦ ἔξω σώματος ἀγαθὴ γίνεται πρόνοια. ὡς ἀπό γε τῆς κατὰ τὸ σῶμα ἀναισθησίας τῆς διανοίας πρόνοια γενέσθαι οὐ δύναται, οὕτως ὁ καθαρὸς καὶ τὸ ἔξω καὶ τὸ ἔσω καθ-

cor quidem a malis purgate per coelestem intellectum, lavacro autem corpus diluite. Nam inter vere bona est mundities. Non quasi cordis puritatem praecedat castitas corporis, sed quia post bonum sequitur quod mundum est. Etenim Magister noster quosdam nostrorum Pharisaeorum et Scribarum, qui sunt separati, et legis instituta, ut scribae, plus caeteris cognoscunt, redarguebat tamen velut hypocritas, quod ea sola quae ab hominibus videntur purificarent, cordis vero puritatem quam solus Deus aspicit relinquerent.

XXIX. Hac ergo ipsa voce usus est, revera ad hypocritas inter eos loquens, non vero ad omnes. Nam praecepit, ut quibusdam obediretur, quod iis commissa fuisset Moysis cathedra. Verum ad hypocritas dixit: *Vae vobis Scribae et Pharisaei hypocritae, quia mundatis calicis et paropsidis quod exterius est, intus autem ea plena sunt squaloris. Pharisaee caece, munda prius calicis et paropsidis interius, ut et illorum exteriora munda fiant.* Et vere. Nam mente per scientiam illustrata, qui didicit potest esse bonus; quam rem consequitur puritas, quia ex interiori intellectu fit exterioris corporis bona provisio. Quemadmodum ex corporis neglectu mentis provisio fieri nequit, ita qui purus est, et quod exterius est et quod interius potest purgare: qui vero

1. ἀλλὰ ὡς C.
2. ὑμῖν C. Ottoboniani lect. praesagivit S.
3. λέγων add. c. O. Idem p. ἔλεγεν lacunam praebet. Matth. 23, 2.
4. ὑμεῖς O. Matth. 23, 25.
5. ῥύπους C.
6. αὐτοῦ O.

www.libtool.com.cn

ἀραι δύναται, ὁ δὲ τὰ ἔξω καθαίρων, πρὸς ἀνθρώπων[1] τὸν ἔπαινον ἀφορῶν τοῦτο ποιεῖ, καὶ ἐπαίνῳ τῶν ἱστορούντων παρὰ τῷ Θεῷ οὐδὲν ἔχει.

XXX. Τίνι δὲ οὐ φαίνεται, ὅτι κρεῖττόν ἐστι γυναικὶ ἐν γυναικείοις οὔσῃ μὴ συνελθεῖν, ἀλλὰ καθαρθείσῃ καὶ βαπτισθείσῃ; ἀλλὰ καὶ μετὰ κοινωνίαν βαπτίζεσθαι δεῖ. εἰ δὲ τοῦτο ποιεῖν ὀκνεῖτε, ἀναπολήσατε, πῶς τὰ τῆς ἁγνείας μέρη μετεδιώκετε, ὅτε ἀναισθήτοις εἰδώλοις ἐθρησκεύετε[2]. αἰσχύνθητε ὅτι ἐνταῦθα, ὅπου ἐχρῆν, οὐ τὸ πλεῖον λέγω, ἀλλὰ μόνον καὶ ὅλον τὸ τῆς ἁγνείας ἀναδέξασθαι, ὀκνηρότεροι γίνεσθε. νοήσατε οὖν τὸν ἐκεῖ ὑμᾶς πεποιηκότα, καὶ διανοηθήσεσθε τίς ἐστιν ὁ ἐνταῦθα ὄκνον πρὸς ἁγνείαν ὑμῖν ἐμβάλλων.

XXXI. Ἀλλ' ἐρεῖ τις ὑμῶν· χρὴ οὖν ἡμᾶς ποιεῖν ὅσα ἐν εἰδώλοις ἐποιοῦμεν; φημί σοι, οὐχ ὅλα, ἀλλ' ὅσα καλῶς ἐποιεῖτε, καὶ ἐνταῦθα πλεῖον. ὅ τι γὰρ ἂν καλῶς γίνηται ἐν τῇ πλάνῃ, ἀπὸ τῆς ἀληθείας ἤρτηται, ὡς εἰ καί τι ἐν τῇ ἀληθείᾳ κακῶς γένοιτο, ἀπὸ τῆς πλάνης ἐστίν. ἀπολάβετε οὖν ὑμῶν πανταχόθεν τὰ ἴδια, μὴ τὰ ἀλλότρια, καὶ μὴ λέγετε, εἴ τι ποιοῦσιν οἱ πεπλανημένοι καλόν, ποιεῖν οὐκ ὀφείλομεν. τούτῳ γὰρ τῷ λόγῳ, ἐὰν μὴ φονεύῃ τις εἴδωλα σέβων, φονεύειν ὀφείλομεν, ὅτι ὁ ἐν πλάνῃ ὢν οὐ φονεύει[3];

XXXII. Οὐχί. ἀλλὰ[4] τὸ πλεῖον, ἐὰν οἱ ἐν πλάνῃ μὴ φονεύωσιν,

exteriora purgat, ad hominum laudes aspiciens, id agit, ac propter cernentium laudes nihil a Deo recipit.

XXX. Cui vero non apparet, melius esse ad mulierem menstrua patientem non accedere, sed ad purificatam et lotam? Oportet etiam post concubitum lavari. Quod si hoc facere vos piget, animo repetite, quo pacto castimoniae munia prosequebamini, quando sensus expertia idola colebatis. Erubescite, quod hic, ubi oportuit, non dico majorem, sed singularem et integram amplecti castitatem, segniores estis. Cogitate igitur eum, qui vos illic constituerat, et intelligetis quis hic vobis segnitiem ad castimoniam immittat.

XXXI. Sed dicet aliquis vestrum: oportet ergo nos facere quaecumque apud idola egimus. Aio tibi: non omnia, sed quaecumque bene faciebatis, atque hic majorem in modum. Quidquid enim bene fit in errore, a veritate pendet, sicut et si quid male fiat in veritate, ex errore venit. Recipite igitur quae undique ad vos pertinent, non quae sunt aliena, et ne dicatis: si quid boni faciunt qui errant, facere nos non debemus. Hac siquidem ratione, si non occidat idolorum cultor, debemus occidere, quia qui in errore versatur non occidit?

XXXII. Minime: immo potius, si illi qui errant homicidium non faciunt,

1. Ita O c. S, ἀνθρώπονς C.
2. ἐθρησκεύετε S O, θρησκεύετε C.
3. Post φονεύει puncto distinguit C.
4. Οὐχί ἄλλο C, Οὐχί, ἀλλὰ S, et Ruf. Rec. VI, 13 „non ita est, sed.“ Dein ἐὰν S, ἵνα O c. C, qui conj. ἵνα εἰ οἱ.

www.libtool.com.cn

ἡμεῖς μή[1] ὀργιζώμεθα, ἐὰν ὁ ἐν πλάνῃ μὴ μοιχεύῃ, ἡμεῖς τὴν ἀρχὴν μηδὲ ἐνθυμηθῶμεν[2], ἐὰν ὁ ἐν πλάνῃ τὸν ἀγαπῶντα ἀγαπᾷ, ἡμεῖς καὶ τοὺς μισοῦντας, ἐὰν ὁ ἐν πλάνῃ δανείζῃ τοῖς ἔχουσιν, ἡμεῖς καὶ τοῖς μὴ ἔχουσιν. ἁπαξαπλῶς ὀφείλομεν οἱ τὸν ἄπειρον αἰῶνα ἐλπίζοντες κληρονομεῖν, τῶν τὸν παρόντα μόνον εἰδότων, τῶν ὑπ᾽ αὐτῶν γενομένων καλῶν κρείττω[3] ποιεῖν, εἰδότες, ὅτι ἐὰν αὐτῶν τὰ ἔργα τοῖς ἡμετέροις ἐν ἡμέρᾳ κρίσεως ἀνακριθέντα ἴσα[4] τῇ εὐποιΐᾳ εὑρεθῇ, καὶ ἡμεῖς ἐναισχυνθῆναι ἔχομεν, αὐτοὶ δὲ διὰ πλάνην τὰ κατ᾽ αὐτὸν[5] ποιήσαντες ἀπολέσθαι. τὸ δὲ αἰσχυνθῆναι κατὰ τοῦτο εἴρηκα, ὅτι μὴ πλεῖον ἐποιήσαμεν αὐτῶν ὧν καὶ πλεῖον ἐγνώκαμεν. εἰ δὲ αἰσχυνθῆναι ἔστιν, τὴν εὐποιΐαν αὐτοῖς ἴσην δείξαντας[6] καὶ οὐ πλεῖον, πόσῳ γε[7] μᾶλλον, ἐὰν αὐτῶν τῆς εὐποιΐας τὸ ἧττον δείξωμεν;

XXXIII. Ὅτι δὲ ὄντως ἐν ἡμέρᾳ κρίσεως ταῖς τῶν πεπλανημένων εὐποιΐαις αἱ τῶν ἀληθειαν ἐγνωκότων ἰσάζονται πράξεις, αὐτὸς ἡμᾶς ὁ ἀψευδὴς ἐδίδαξεν, εἰπὼν πρὸς μὲν τοὺς ἀμελοῦντας ἐλθεῖν καὶ ἐπακούειν αὐτοῦ· βασίλισσα νότου ἐγερθήσεται μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινεῖ αὐτήν, ὅτι[8] ἦλθεν ἀπὸ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε, καὶ οὐ πιστεύετε. πρὸς δὲ

nos ne irascamur: si errans non moechatur, nos primitus ne quidem concupiscamus: si ille amantem amat, nos etiam inimicos diligamus: si ille mutuum dat iis qui habent, nos etiam non habentibus. Omnino sane debemus, qui aeterni saeculi haereditatem speramus, in bonis operibus superare eos, qui praesens tantum saeculum norunt: gnari quod, si opera illorum cum nostris operibus in die judicii collata paris meriti reperiantur, confusio nobis erit, et illi per errorem quod ad futurum saeculum operati interibunt. Fore autem nobis confusionem, in eo dixi, quod non amplius fecerimus quam illi, quibus amplius intelleximus. Quod si confusio erit, si in operibus bonis nos illis aequales ostendemus, non superiores, quanto magis, si in iisdem operibus nos inferiores exhibuerimus?

XXXIII. Quod autem vere in die judicii cum bonis operibus errantium comparentur actiones cognoscentium veritatem, nos docuit qui nescit mentiri, dicens ad eos quidem qui negligebant venire et audire illum: *Regina Austri surget cum generatione ista, et condemnabit eam, quia venit a finibus terrae audire sapientiam Salomonis, et ecce plus quam Salomon hic, et non creditis.*

1. μὴ O et ex conject. C, in cuj. Cod. deest. Tum μὴ μοιχεύῃ O, μοιχεύει C, qui quidem recte μὴ deesse vidit.
2. ἐπιθυμηθῶμεν conj. C, quod non graecum est. Lectio vulg. recte se habet. S.
3. κρεῖττον C.
4. Ita O et in marg. C, ὅσα in textu.
5. καθ᾽ αὐτῶν C, καθ᾽ αὐτοὺς leg. putat S.
6. Ita scripsi ratione habita lect. Ottob. δείξαντα, ap. C δείξαντες. Verum jam vidit S.
7. πῶς γε C.
8. ὅτι om. O. Matth. 12, 42.

τοὺς ἐν τῷ λαῷ μὴ θέλοντας μετανοῆσαι ἐπὶ τῷ κηρύγματι αὐτοῦ εἶπεν· ἄνδρες Νινευῖται [1] ἐγερθήσονται μετὰ τῆς γενεᾶς ταύτης, καὶ κατακρινοῦσιν αὐτήν, ὅτι ἀκούσαντες μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον ὧδε, καὶ οὐδεὶς πιστεύει. καὶ οὕτως πρὸς πᾶσαν ἀσέβειαν αὐτῶν ἀντιπαραθεὶς τοὺς ἀπὸ τῶν ἐθνῶν [2] πεποιηκότας, εἰς κατάκρισιν τῶν ἐν θεοσεβείᾳ μηδὲ τὸ ἴσον καλὸν τοῖς πεπλανημένοις πεποιηκότων, τοὺς ἔχοντας λογισμὸν ἐνουθέτει, μὴ μόνον ὅσα τοῖς ἔθνεσι τὰ καλὰ ἴσως ποιεῖν, ἀλλὰ τὸ πλεῖον. ὁ δὲ λόγος μοι ἐρρύη, πρόφασιν λαβὼν ἐκ τοῦ δεῖν φυλάσσειν τὴν ἄφεδρον, καὶ ἀπὸ κοινωνίας βαπτίζεσθαι, μὴ ἀρνεῖσθαι τὴν τοιαύτην ἁγνείαν, κἂν οἱ πεπλανημένοι αὐτὴν πράττωσιν [3], ὅτε εἰς κατάκρισιν τῶν ἐν θεοσεβείᾳ εἰσὶν οἱ ἐν πλάνῃ ποιοῦντες καλῶς μετὰ τοῦ μὴ σώζεσθαι· ὅτι ἡ τιμὴ τῆς ἁγνείας αὐτῶν ἐστὶ διὰ τὴν πλάνην, καὶ οὐ διὰ θρησκείαν τοῦ ὄντως πατρὸς καὶ Θεοῦ τῶν ὅλων.

XXXIV. Τοῦτο δὲ εἰπὼν ἀπέλυσε τοὺς ὄχλους, καὶ συνήθως ἁλῶν σὺν τοῖς φιλτάτοις μεταλαβὼν ἡσύχασεν. οὕτως οὖν ποιῶν καὶ διαλεγόμενος ἑκάστοτε προσαγωγὰς [4] κατὰ τὸ βέβαιον προσέφερε τῷ τοῦ Θεοῦ νόμῳ, τοὺς νομιζομένους μετὰ τῆς νομιζομένης γενέσεως ἐλέγχων, καὶ ὅτι αὐτοματισμὸς μὲν οὐκ ἔστιν, ἀλλὰ κατὰ πρόνοιαν διοικεῖται ὁ κόσμος.

XXXV. Τριῶν οὖν μηνῶν πληρωθέντων νηστεῦσαί μοι κελεύσας ἡμε-

Ad eos vero e populo, qui nolebant ad illius praedicationem agere poenitentiam, dixit: *Viri Ninivitae surgent cum generatione hac et condemnabunt illam, quia audientes egerunt poenitentiam ad praedicationem Jonae, et ecce plus hic, et nemo credit.* Sicque ad omnem eorum impietatem opponens Ethnicorum bene operantes, in condemnationem eorum qui in vera religione bonorum operum aequalia non faciebant errantibus, admonebat cordatos, ut non solum bonitatem gentilium aequarent operibus, sed etiam vincerent Mihi autem fluxit hic sermo, occasione accepta ex eo, quod oportet servare tempus purgationis et post concubitum corpus abluere, nec infitiari hanc castimoniam, licet qui a veritate aberrant, illam exsequantur: quandoquidem qui in errore bene agunt, et verae religionis homines condemnant, et non salvantur, quia castitatem colunt propter errorem, non vero propter pietatem in verum patrem ac Deum cunctorum.

XXXIV. Quod cum dixisset, turbas dimisit, et ex more cum familiaribus cibo sumpto quievit. Ita ergo faciens et quotidie disserens, accessiones firmas legi Dei adduxit, putatos Deos cum credita genesi confutans, ostendensque temerarium rerum casum nequaquam esse, sed mundum ex providentia gubernari.

XXXV. Completis ergo tribus mensibus, cum per dies jussisset me jeju-

1. *νινευῖται* O. Luc. 11, 32.
2. Post *ἐθνῶν* addendum fort. *εὖ*, vel *καλῶς* post *πεποιηκότας*. S.
3. *πράττωσιν* S O, *πράττουσιν* C.
4. *προσαγωγὰς προσέφερεν*. Ad verbum sic verte: „divinae legi firmas adduxit accessiones“; hoc est, homines nonnullos ita convertit, ut in posterum divinae revelationi ex animo crederent et adhaererent. D.

www.libtool.com.cn

ρῶν, ἀγαγών με εἰς τὰς ἐν τῇ θαλάσσῃ πλησίον οὔσας πηγάς, ὡς εἰς ἀένναον[1] ἐβάπτισεν ὕδωρ. οὕτως οὖν εὐωχηθέντων τῶν ἀδελφῶν ἡμῶν ἐπὶ τῇ θεοδωρήτῳ μου ἀναγεννήσει, μετ' οὐ πολλὰς ἡμέρας τοῖς πρεσβυτέροις ἐπιστρέφων ἐπὶ πάσης τῆς ἐκκλησίας ἐνετείλατο λέγων· ὁ ἀποστείλας ἡμᾶς κύριος ἡμῶν καὶ προφήτης ὑφηγήσατο ἡμῖν, ὡς ὁ πονηρὸς τεσσαράκοντα ἡμέρας διαλεχθεὶς αὐτῷ καὶ μηδὲν δυνηθεὶς πρὸς αὐτόν, ἐκ τῶν αὐτοῦ ἐπηκόων[2] ἐπηγγέλλετο πρὸς ἀπάτην ἀποστόλους πέμψαι. διὸ πρὸ πάντων μέμνησθε ἀπόστολον[3] ἢ διδάσκαλον ἢ προφήτην φεύγειν μὴ πρότερον [ἀκριβῶς] ἀντιβάλλοντα αὐτοῦ τὸ κήρυγμα Ἰακώβῳ τῷ λεχθέντι ἀδελφῷ τοῦ κυρίου μου καὶ πεπιστευμένῳ ἐν Ἱερουσαλὴμ τὴν Ἑβραίων διέπειν ἐκκλησίαν, καὶ μετὰ[4] μαρτύρων προσεληλυθότα πρὸς ὑμᾶς, ἵνα μὴ ἡ κακία ἡ τῷ κυρίῳ προσδιαλεχθεῖσα[5] ἡμέρας τεσσαράκοντα, μηδὲν δυνηθεῖσα, ὕστερον ὡς ἀστραπὴ ἐξ οὐρανοῦ ἐπὶ γῆς πεσοῦσα καθ' ὑμῶν ἐκπέμψῃ κήρυκα, ὡς οὖν[6] ἡμῖν τὸν Σίμωνα ὑπέβαλε προφάσει ἀληθείας ἐπ' ὀνόματι[7] τοῦ κυρίου ὑμῶν κηρύσσοντα, πλάνην τε ἐνσπείροντα[8]. οὗ χάριν ὁ ἀποστείλας ἡμᾶς ἔφη· πολλοὶ ἐλεύσονται πρός με ἐν ἐνδύμασι[9]

nare, ducens ad fontes maris vicinos ut in perenni aqua baptizavit. Sic igitur fratribus nostris feriatis ac laetis pro mihi a Deo concessa secunda nativitate, Petrus paucis post diebus conversus ad Presbyteros coram omni Ecclesiae praecepit, dicens: qui misit nos dominus noster et propheta, narravit nobis, quemadmodum diabolus quadraginta diebus cum eo collocutus, nihilque contra valens, promiserit se ex suis sectatoribus Apostolos ad fraudem faciendam missurum. Quare ante omnia memores estote illum apostolum vel magistrum vel prophetam fugere, qui non prius praedicationem suam doctrinamque accurate contulerit cum Jacobo, dicto Domini mei fratre, cui creditum est Ecclesiae Hebraeorum Hierosolymitanae regimen, nec ad vos venerit cum testibus. Ne forte malitia, quae cum Domino per quadraginta dies disceptavit, nec quidquam potuit, deinceps velut fulgur e coelo in terras delapsa contra vos mittat praeconem, sicut nobis immisit Simonem, praetextu veritatis in nomine Domini nostri praedicantem atque errorem seminantem. Qua de causa qui misit nos,

1. Ita O c. S, ἄεναον C.
2. Leg. ὑπηκόων. S.
3. ἀποστόλους O. Tum addidi φεύγειν ex conjectura, inscripsique lacunae in O obviae voc. [ἀκριβῶς]. Tacet C de Cod. Parisiensi.
4. μὴ μετὰ conj. Schliemannus Clem. p. 535 et S. Tum μαρτυρίων suspicatus est C. Idem subinde προσεληλυθότι, ex conject. προσεληλυθότα. In O προσελήλυθότων.
5. προδιαλεχθεῖσα C. Tum μ' p. τεσσαράκοντα O.
6. νῦν leg. cens. Schliem. Clem. p. 90 et S.
7. ὀνόματος O. Deinde τε S, δὲ C O.
8. ἐνσπείροντα ὑποβάλλῃ C.
9. ἐνδύματι C. Lectionem Ottob. confirmat hic et paulo post Matth. 7, 15. Tum addidi εἰσι c. eodem Cod.

www.libtool.com.cn

τοὺς ἐν τ[illegible] τῶν καρπῶν αὐτῶν ἐπι-
ἄνδρες Λ[illegible]
σιν αὐτ[illegible] [illegible]ομπούς[2] ἐξέπεμψεν εἰς Ἀν-
πλεῖον [illegible] [illegible]μενειν εἰπών. τῶν οὖν πορευ-
παραθε[illegible] [illegible]χλων νόσους, πάθη, δαίμονας
μηδὲ τ[illegible] [illegible] πλησίον οὔσας πηγὰς βαπτίσας,
γισμὸν [illegible] [illegible] ἀποδεξάμενον αὐτόν, ἤδη λοιπὸν
τὸ πλ[illegible] [illegible] καὶ πρεσβυτέρους δώδεκα ὁρίσας καὶ
τὴν [illegible] [illegible]ενος, ὑπέρ τε τοῦ κοινοῦ καὶ[5] συμ-
ἀγνεί[illegible] [illegible]ιλήσας, καὶ τῷ ἐπισκόπῳ Μαροόνῃ
ἐν θ[illegible] [illegible] μηνῶν πληρωθέντων τοῖς ἐν Τριπό-
ὅτι [illegible] [illegible] ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐπορεύετο
τοῦ [illegible] [illegible] μετὰ τῆς προσηκούσης τιμῆς[6].

## [illegible]ΜΙΛΙΑ ΙΒ'.

σὺ[illegible] [illegible] Τριπόλιν τῆς Φοινίκης, ὡς ἐπὶ Ἀντιόχειαν
με[illegible] [illegible] ἐν Ὀρθωσίᾳ ἐμείναμεν ἐλθόντες. καὶ
νό[illegible]
αι[illegible]

[illegible] *in vestimentis ovium, intrinsecus autem sunt* [illegible] *cognoscetis eos.*

[illegible] eos qui ad praecedendum fuerant ordinati, in [illegible] ut ibi tempus secuturum exspectarent. Iis [illegible] hominum multitudine ad fidem adducta, mor- [illegible] expulit, in fontibus maris vicinis baptizavit, et [illegible] Maroonem hospitem suum, jam omnino perfectum, [illegible] duodecim Presbyteros designasset, fecisset Diaco- [illegible] pertinent statuisset, pro communi bono ac de [illegible] conducebat, esset collocutus et consilium dedisset, [illegible] jam tribus mensibus completis vale dixit Tripoli- [illegible] versus Antiochiam Syriae ingressus est, omnibus de- [illegible] comitantibus.

## HOMILIA DUODECIMA.

[illegible] Tripolim Phoenices, ut Antiochiam Syriae veniremus, eo [illegible] mansimus, et quia est prope urbem, e qua egressi

[illegible]

[illegible] C. cuj. Cod. [illegible] μαροώνην. [illegible] D. τὴν τάξιν

C O. Epit. c. 69 haec exhibet: ὑπέρ τε τοῦ κοινοῦ καὶ συμφέροντος καὶ περὶ τῆς κατὰ τὴν ἐκκλησίαν τάξεως.

6. Vbb. πάντων ἡμᾶς προπεμπόντων μετὰ τῆς προσηκούσης τιμῆς accesserunt ex O.

www.libtool.com.cn

διὰ τὸ πλησίον εἶναι ἧς ἐξήλθομεν πόλεως, πάντων σχεδὸν προακηκοότων τοῦ κηρύγματος, μιᾶς ἡμέρας ἐκεῖ μείναντες ἀπήραμεν εἰς Ἀντάραδον[1]. πολλῶν δὲ τῶν συνοδοιπορούντων ἡμῖν ὄντων, ὁ Πέτρος Νικήτῃ καὶ Ἀκύλᾳ προσωμίλει λέγων· ἐπειδὴ πολὺς ὄχλος τῶν συνοδοιπορούντων οὐ μικρὸν φθόνον ἡμῖν εἰσιοῦσι κατὰ πόλιν ἐπισπᾶται, ἀναγκαίως ἐσκεψάμην φρονῆσαι, πῶς μήτε οὗτοι λυπηθῶσι κωλυθέντες συνεῖναι ἡμῖν, μήτε ἡμεῖς περίβλεπτοι γινόμενοι φθόνῳ τῷ τῆς κακίας ὑποπέσωμεν. τούτου ἕνεκεν βούλομαί σε τὸν Νικήτην καὶ Ἀκύλαν προοδεύειν μου κατὰ συστήματα δύο σποράδην, μανθάνοντες[2] τὰς τῶν ἐθνῶν εἰσέρχεσθαι πόλεις.

II. Οἶδα δὲ ὅτι ἀθυμεῖτε, τοῦτο ποιεῖν ἀκηκοότες, ἀπολειπόμενοί[3] μου διάστημα οὐδ' ὅλων ἡμερῶν δύο. εἰδέναι οὖν ὑμᾶς θέλω, ὅτι πολλαπλάσιον ἀγαπῶμεν ἡμεῖς οἱ πείσαντες ὑμᾶς τοὺς πεισθέντας, ἤπερ[4] ὑμεῖς ἡμᾶς τοὺς πεπεικότας. ἀλλήλους οὖν στέργοντες, τῷ[5] μὴ ἀλόγως ποιεῖν ἃ θέλωμεν τῆς ἀσφαλείας ὅσον τὸ ἐφ' ἡμῖν φροντίζωμεν. πρὸς τούτοις δὲ οὐδεμιᾶς ἡμέρας διαλεγομένου μου ἀπολιμπάνεσθε[6]. εἰς γὰρ τὰς ἐπισημοτέρας τῶν ἐπαρχιῶν πόλεις προῄρημαι, ὡς ἴστε καὶ ὑμεῖς, ἡμερῶν ἐπιμένειν καὶ διαλέγεσθαι. καὶ τὸ νῦν εἰς τὴν ἐγγυτέραν ἡμῖν Λαοδίκειαν προάξατε, καὶ μεθ' ἡμέρας δύο ἢ τρεῖς, ὅσον ἐπὶ τῇ ἐμῇ προαιρέσει, καταλήψομαι ὑμᾶς. ἐπὶ δὲ τῶν πυλῶν ἐκδέξασθέ με ὑμεῖς μόνοι,

fueramus, cum omnes fere praedicationem evangelicam prius audiissent, unum diem illic commorati, Antaradum abiimus. Quia vero multi erant nobiscum iter facientes, Petrus Nicetam et Aquilam allocutus est dicens: quandoquidem magna comitantium multitudo non parvam invidiam nobis per urbes intrantibus conflat, necessario curandum esse judicavi, ut neque ipsi contristentur, dum prohibentur esse nobiscum, neque nos, dum sumus spectabiles, incidamus in malitiae invidiam. Quocirca volo te Nicetam atque Aquilam ante me iter habere, per duos globos sparsim, et clam gentium ingredi civitates.

II. Vobis autem, scio, molestum est, quod id faciendum audieritis, duorum non integrorum dierum spatio a me separari. Vos igitur cognoscere volo, quod nos, qui persuasimus, vos qui credidistis multo amplius diligimus, quam vos diligatis nos persuasores. Itaque mutuo amore flagrantes incolumitatis curam geramus pro viribus, non citra rationem facientes quae cupimus. Ad haec vero nulla die a me disputante aberitis. Per singulas enim quasque insigniores provinciarum civitates proposui, sicut etiam vos scitis, per dies residere et disceptare. Nunc ergo in Laodiceam nobis proximam praecedite, et post biduum et triduum, quantum ad propositum meum spectat, attingam vos. Ad portas autem vos soli recipite me, metu murmuris, ut sic absque strepitu

1. ἀντάρανδον O.
2. λανθάνοντας vel λανθανόντως conj. O et vertit C. τε addi vult S.
3. ἀπολιπόμενοί C.
4. ἢ εἴπερ p. ἤπερ C. Lectionem in obviam praevidit D.
5. Ita O c. D, τὸ C. Tum θέλομεν O.
6. ἀπελιμπάνεσθε O.

www.libtool.com.cn

ἐπιθυμίας ἑσομαι. ἀλλ' ἐπειδὴ πολλῷ ἄμεινον καὶ ἀσφαλέστερον συνεῖναί μέ σοι, τούτῳ, ᾧ[1] ὁ νοῦς μου αἰδεῖσθαι εὐλόγως προείληφεν, διὸ πάντῃ σοι[2] συνεῖναι εὔχομαι· πρὸς τούτοις δὲ μέμνημαί σου ἐν Καισαρείᾳ εἰπόντος· εἴ τις βούλεταί μοι συνοδεῦσαι, εὐσεβῶς συνοδευέτω[3]. εὐσεβῶς δὲ ἔφης, τὸ μηδένα λυπεῖν κατὰ Θεόν, οἷον ἀπολιπόντα[4] γονεῖς, γυναῖκα ὁμόφρονα, ἢ ἑτέρους τινὰς τῇ θεοσεβείᾳ προσκειμένους. ὅθεν ἐγὼ κατὰ πάντα ἐπιτήδειός εἰμί σοι συνοδοιπόρος, ᾧ εἰ καὶ τὰ μέγιστα χαρίζῃ, τὰς δούλων μοι ὑπηρεσίας συγχωρεῖς ποιεῖν.

VI. Καὶ ὁ Πέτρος ἀκούσας γελοίαζων ἔφη· τί οὖν οἴει, Κλήμης, μὴ ὑπ' αὐτῆς ἀνάγκης σε εἰς δούλων μοι ταγῆναι τόπον; ἐπεὶ τίς τὰς καλὰς καὶ πολλὰς σινδόνας μετὰ τῶν ἑπομένων μοι δακτυλίων καὶ ὑποδήσεων φυλάξει; τίς δὲ καὶ τὰ ἡδέα καὶ πολυτελῆ ὄψα[5] προετοιμάσει, ἃ τινα ποικίλα ὄντα πολλῶν καὶ τεχνιτῶν[6] δεῖται μαγείρων, καὶ πάντα ἐκεῖνα ὅσα ἐκτεθηλυμμένων[7] ἀνθρώπων ὡς θηρίῳ μεγάλῳ τῇ ἐπιθυμίᾳ ἐκ πάσης πλεονεξίας πορισθέντα ἑτοιμάζεται; πλὴν ἡ[8] τοιαύτη σε προαίρεσις ὑπεισῆλθεν, ἴσως μὴ συνέντα καὶ τὸν ἐμὸν ἀγνοοῦντα βίον, ὅτι ἄρτῳ μόνῳ καὶ ἐλαίαις χρῶμαι, καὶ σπανίως λαχάνοις, καὶ ὅτι ἱμάτιόν μοι καὶ τριβώνιον ὑπάρχει τοῦτ'[9] αὐτὸ ὃ περιβέβλημαι, καὶ ἑτέρου χρείαν οὐκ ἔχω οὐδὲ ἄλ-

non possim a te divelli), a cupiditate vincerer. Sed quia multo melius ac tutius est, me manere apud te, hominem quem animus meus merito revereri instituit, idcirco omnino tecum esse opto. Ad haec memini te apud Caesaream dixisse: si quis vult me comitari, pie comitetur. Pie autem dicebas, neminem tristitia secundum Deum afficere, velut relinquendo parentes, uxorem unanimem, aut alios verae religioni addictos. Unde ego prorsus tibi sum aptus itineris comes, a quo si maximam velis inire gratiam, ministeria servorum obire mihi concedes.

VI. Hoc audito Petrus subridens ait: quid ergo putas Clemens, quod non ipsa necessitate tu in servorum locum mihi redigeris? Nam quis elegantes ac multas sindones cum adjunctis annulis et calceis mihi custodiet? Quis vero et suavia exquisitaque opsonia praeparabit, quae cum varia sint, multos ac peritos postulant coquos: et omnia illa, quae apud effeminatos homines cupiditati, tamquam immani bestiae, per omnem quaesita luxum ac fraudem parantur? Sed forsan hoc te subiit propositum, quia non intellexeris atque ignores vitae meae rationem, qui pane solo et olivis utor, rareque oleribus, quique vestimentum ac pallium habeo hoc ipsum quo amictus sum, et alio opus non

1. τούτ . . ς (sic) pro τούτῳ, ᾧ O.
2. πάντοτέ σοι O.
3. εὐσεβῶς συνοδευέτω om. O. Idem λυπεῖν c. Cod. Reg. 804, λυποῦν C, λυπῆσαι Epit. c. 73.
4. lta Epit. l. c., ἀπολιπών C O.
5. ὄψα Epit. c. 74 et O, ὄψη C.
6. τεχνικῶν Epit.
7. ἐκτεθηλυμένων S.
8. πλὴν εἰ Cod. Reg. 804 et O. Tum συνιέντα Epit.
9. τοῦτο C.

www.libtool.com.cn

λων τινων. ἐν γὰρ τούτοις καὶ περισσεύομαι. ὁ νοῦς γάρ μου τὰ ἐκεῖ πάντα ὁρῶν αἰώνια ἀγαθὰ οὐδὲν τῶν ἐνταῦθα περιβλέπεται. πλήν σου μὲν τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχομαι, καὶ θαυμάζων ἐπαινῶ, πῶς ἀνὴρ ἐκ πολυτελῶν ἐθῶν ὑπάρχων ῥᾳδίως τοῖς ἀναγκαίοις τὸν σεαυτοῦ ὑπήλλαξας βίον. ἡμεῖς γὰρ ἐκ παίδων, ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναιμος καὶ κατὰ Θεὸν ἀδελφὸς ὢν ἐμός, οὐ μόνον ἐν ὀρφανίᾳ ἀνατραφέντες, ἀλλὰ καὶ ὑπὸ πενίας καὶ κακουχίας εἰς ἐργασίαν [1] ἐθισθέντες, εὐμιαρῶς νῦν τὰς τῶν ὁδῶν φέρομεν σκύλσεις. ὅθεν εἰ ἐπείθου μοι, ἐμοὶ ἂν συγκεχωρήκεις, ἀνδρὶ ἐργάτῃ, σοὶ τὰ δούλων ἀποπληροῦν μέρη.

VII. Ἐγὼ δὲ ἀκούσας σύντρομος ἐγενόμην καὶ ἐπίδακρυς, οἷον λόγον εἶπεν ἀνήρ, οὗ πάντες οἱ τῆς νῦν γενεᾶς ἄνθρωποι τῷ τῆς γνώσεως καὶ εὐσεβείας λόγῳ ἥττους [2] τυγχάνουσιν. ὁ δὲ ἰδών με σύνδακρυν τῶν δακρύων ἐπύθετο τὴν αἰτίαν. κἀγὼ ἔφην· τί τοιοῦτον ἥμαρτον, ἵνα μοι τοιοῦτον [3] εἴπῃς λόγον; καὶ ὁ Πέτρος ἀπεκρίνατο· εἰ μὲν κακῶς εἴρηκα τὸ δουλεῦσαί σοι, σὺ πρῶτος ἥμαρτες, τοῦτ' [4] ἐμοὶ ποιῆσαι ἀξιώσας. κἀγὼ ἔφην· οὐχ ὅμοιόν ἐστιν· ἐμοὶ μὲν γὰρ τοῦτο ποιεῖν πρέπει πάνυ, σοὶ δὲ τῷ τοῦ Θεοῦ κήρυκι τὰς ἡμετέρας σώζοντι ψυχὰς χαλεπὸν τοῦτο ποιεῖν ἐμοί. καὶ ὁ Πέτρος ἀπεκρίνατο· συνεθέμην ἄν σοι, ἐπεὶ [5] ὁ κύριος ἡμῶν, ὁ ἐπὶ σω-

habeo, neque ulla re. Nam in his etiam abunde mihi est. Mea quippe mens cernens illic omnia bona aeterna nihil eorum quae hic sunt aspicit. Attamen tuum egregium approbo institutum, mirorque ac laudo, quo modo cum sis vir in vita sumptuosa educatus, facile vivendi rationem immutaveris et ad sola necessaria traduxeris. Nos enim a puero, ego et Andreas, qui ejusdem mecum sanguinis est, meusque secundum Deum frater, non solum in pupillatu educati, verum etiam propter inopiam et aerumnas ad laborem assuefacti, expedite nunc itinerum vexationes ferimus. Quare si crederes mihi, servorum officia me, hominem operarium, tibi impendere concederes.

VII. At ego haec audiens contremui et collacrymavi, quod talem habuisset orationem vir, quo cuncti hujus aetatis homines ratione scientiae ac pietatis minores sunt. Tum ille lacrymantem me videns causam lacrymarum percontabatur. Et ego respondi: quid tantum peccavi, ut mihi hujusmodi proferres sermonem? Et Petrus excepit: si malum est, quod dixi, ut serviam tibi, tu prior peccasti, hoc mihi postulans facere. Et ego: non est, inquam, simile: me enim hoc agere decet omnino, te autem, qui es Dei praeco et nostras servas animas, id mihi facere grave est. Et Petrus respondit: acquiescerem tibi, cum dominus noster, qui ad salutem totius mundi venit, unusque omnium

1. ἐργατείαν Cod. Reg. 804 et O.
2. Ita Epit. c. 75 et O, ἥττονες Cod. Reg. 804, ἧττον C.
3. Post τοιοῦτον repetuntur vbb. ἥμαρτον τὸν ἵνα μοι τοιοῦτον in O.
4. τοῦτο C.
5. Rufinus haec ita interpretatur: „acquiescerem tibi, nisi Dominus noster — passus esset", quasi legerit εἰ μή. S.

www.libtool.com.cn

τηρίᾳ παντὸς τοῦ κόσμου ἐληλυθώς[1], μόνος ὑπὲρ πάντας εὐγενὴς ὤν, δουλείαν ὑπέμεινεν, ἵνα ἡμᾶς πείσῃ μὴ αἰδεῖσθαι τοῖς ἀδελφοῖς ἡμῶν τὰς δούλων ποιεῖν ὑπηρεσίας, κἂν πάνυ εὐγενεῖς τυγχάνωμεν. κἀγὼ ἔφην· εἰ μὲν νομίζω σε νικῆσαι[2] λόγῳ, ἀνόητός εἰμι, πλὴν χάριν ἔχω τῇ τοῦ Θεοῦ προνοίᾳ, ὅτι σε εἰς γονέων τόπον ἔχειν κατηξιώθην.

VIII. Καὶ ὁ Πέτρος ἐπυνθάνετο· οὐδεὶς δέ σου[3] ἀληθῶς πρὸς γένους[4] ὑπάρχει; κἀγὼ ἀπεκρινάμην· εἰσὶ μὲν πολλοὶ καὶ μεγάλοι ἄνδρες, Καίσαρος πρὸς γένος ὄντες. ὅθεν τῷ ἐμῷ πατρὶ ὡς καὶ συντρόφῳ αὐτὸς Καῖσαρ συγγενίδα[5] προσηρμόσατο γυναῖκα, ἀφ' ἧς τρεῖς ἐγενόμεθα υἱοί, δύο μὲν πρὸ ἐμοῦ, οἳ καὶ δίδυμοι ὄντες πάνυ ὅμοιοι ἀλλήλοις εἰύγχανον, ὡς αὐτὸς ὁ πατὴρ ἔλεγέ μοι. ἐγὼ γὰρ οὔτε αὐτούς, οὔτε τὴν τεκοῦσαν πάνυ ἐπίσταμαι, ἀλλ' ὥσπερ δι' ὀνείρων ἀμαυρὸν αὐτῶν τὸ εἶδος ἀναφέρω. ἡ μὲν οὖν μήτηρ μου Ματτιδία[6] ἐλέγετο, ὁ δὲ πατὴρ Φαῦστος, τῶν δὲ ἀδελφῶν καὶ αὐτῶν ὁ μὲν Φαυστῖνος ἐκαλεῖτο, ὁ δὲ Φαυστινιανὸς ἐλέγετο. ἐμοῦ οὖν τρίτου ἐπιγεννηθέντος αὐτοῖς ἡ μήτηρ ὄνειρον ἑωράκει, ὥσπερ ὁ πατήρ μου ὑφηγεῖτο, ὅτι ἐὰν μὴ τοὺς διδύμους υἱοὺς αὐτῆς ἐξ αὐτῆς παραλαβοῦσα τὴν Ῥωμαίων πρὸς ἀποδημίαν ἐξέλθῃ[7] πόλιν ἐπ' ἔτη δώδεκα[8], πανολεθρίῳ μόρῳ ἅμα αὐτοῖς ἀποθανεῖν ἔχει.

est nobilissimus, servitutem sustinuerit, ut nos suaderet non erubescere fratribus nostris servorum exhibere ministeria, quamvis admodum nobiles simus. Tum ego dixi: si putem, quod te sim superaturus oratione, stultus sim: verumtamen ago gratias providentiae Dei, quia parentum loco habere te merui.

VIII. Et Petrus interrogavit: nemone vere ex genere tibi superest? Respondi: sunt quidem multi et potentes viri, atque ex prosapia Caesaris. Nam patri meo, utpote una educato, cognatam Caesar ipse junxit uxorem, de qua tres liberi orti sumus, duo quidem ante me, qui cum essent gemini, admodum sibi invicem similes erant, ut ipse pater aiebat mihi: ego enim neque illos neque genitricem valde novi, sed quasi per somnium obscuram eorum formam recolo. Mater ergo mea Mattidia dicebatur, pater autem Faustus, fratrum vero alter Faustinus vocabatur, alter dicebatur Faustinianus. Cum igitur tertius ego post eos natus essem, mater (quemadmodum pater meus referebat) somnium vidit, quod nisi confestim duobus filiis suis geminis assumptis urbem Romam fuisset egressa, et abfuisset annis duodecim, ipsa cum iis leto pessimo esset interitura.

1. Matth. 20, 28.
2. *νικήσειν* Epit.
3. *σοι* Epit. c. 76, quod praeferendum esse videtur. Cfr. Hom. XII, 15.
4. Ita O c. Epit. l. c. et Cod. Reg. 804. Huc accedit ed. pr. Cotelerii, cujus *πρὸς γένους* in utraque Clerici ed. permutatum est cum *πρὸς γένος*. Unde Schweglerus emendandus.
5. *αὐτὸν καίσαρ συγγενῆ* O. „nobilis adaeque familiae“ Rufinus, quasi legisset *συνευγενίδα*. C.
6. Ita O c. C et Cod. Reg. 804, *ματθιδία* Recogn. et Epit.
7. *ἐξέλθοι* C.
8. *δέκα* C, Ruf., Epit. c. 76. Tum *πανωλεθρίῳ* O et Epit. l. c. In Cod. Reg. 804 *ἔχοι* p. *ἔχει*.

www.libtool.com.cn

IX. Ὁ μὲν οὖν πατὴρ φιλότεκνος ὢν σύν τε δούλοις καὶ δούλαις ἐφοδιάσας ἱκανῶς καὶ εἰς πλοῖον ἐμβαλόμενος [1] εἰς τὰς Ἀθήνας ἅμα παιδευθησομένους ἐξέπεμψεν [2], ἐμὲ δὲ μόνον υἱὸν εἰς παραμυθίαν ἔσχε μεθ' ἑαυτοῦ. καὶ ἐπὶ τούτῳ [3] εὐχαριστῶ πολλά, ὅτι κἀμὲ ὁ ὄνειρος μὴ κεκελεύκει ἅμα τῇ μητρὶ τὴν Ῥωμαίων ἐκβῆναι πόλιν. περαιωθέντος οὖν ἐνιαυτοῦ ὁ πατὴρ ἔπεμψεν εἰς Ἀθήνας χρήματα τοῖς αὐτοῦ, ἅμα τε καὶ μαθεῖν [4] τὸ πῶς διάγουσιν. οἱ δὲ ἀπελθόντες οὐχ ὑπέστρεψαν. τρίτῳ δὲ ἐνιαυτῷ ὁ πατὴρ ἀθυμῶν ἑτέρους ὁμοίως ἔπεμψε [5] μετ' ἐφοδίων, οἵ τινες τετάρτῳ ἐνιαυτῷ ἦλθον ἀγγέλλοντες, μήτε μου τὴν τεκοῦσαν ἢ τοὺς ἀδελφοὺς ἑωρακέναι, μήτε μὴν αὐτοὺς [6] Ἀθήναις ἐπιδεδημηκέναι, μήτε ἄλλου τινὸς τῶν σὺν αὐτοῖς ἀπεληλυθότων κἂν ἴχνος [7] εὑρηκέναι.

X. Ὁ μὲν οὖν πατὴρ ταῦτα ἀκούσας, καὶ ὑπὸ πολλῆς λύπης ἔκθαμβος γενόμενος, καὶ οὐκ εἰδὼς ποῦ ὁρμήσας ἐπὶ ζήτησιν αὐτῶν γένηται, ἐμέ τε παραλαβὼν καὶ εἰς Πόρτον καταβὰς πολλῶν πυκνότερον ἐπυνθάνετο, ποῦ ἕκαστος αὐτῶν εἶδεν [8] ἢ ἤκουσεν ἀπὸ τέσσαρων ἐτῶν [9] γενόμενον ναυφράγιον; καὶ ἄλλος ἀλλαχῆ ἔλεγεν. ὁ δὲ ἀντεπυνθάνετο, εἰ ἑωράκασι σῶμα γυναικὸς μετὰ βρεφῶν ἐκβεβρασμένον. τῶν [10] οὖν πολλὰ

IX. Pater igitur, qui liberorum amans erat, cum servis et ancillis, ac dato sufficienti viatico, in navem conjectos Athenas etiam erudiendos misit: me vero solum filium ad consolationem secum retinuit. Atque eam ob rem ingentes gratias ago, quod me quoque somnium non jusserit una cum matre urbe Roma excedere. Anno igitur completo pater ad suos Athenas misit pecuniam, simulque sciscitatum quo modo agerent. Qui vero abierunt, non reversi sunt. Tertio autem anno moestus pater alios ablegavit similiter cum rebus ad victum necessariis, qui quarto anno regressi nunciant, neque meam matrem se, neque fratres vidisse, sed neque ipsos Athenas pervenisse, neque usquam alicujus, qui cum ipsis fuerant, vel vestigium a se repertum.

X. Pater ergo haec audiens et multa tristitia obstupefactus, nesciensque quo tenderet ac illos quaereret, assumpto me, ac in portum descendens, multos frequentius percontabatur, ubi quisque eorum vidisset vel audiisset a quatuor annis naufragium contigisse. Atque varii vario in loco accidisse referebant. Ille vero iterum rogabat, num vidissent corpus mulieris cum pueris a

1. ἐμβαλλόμενος C.
2. ἐξέπεμψας Θ mendose.
3. ἐπὶ τοῦτο var. lect. ap. C. Scriptura Ottoboniani nec plena est, neque certa.
4. Post μαθεῖν excidit fortasse γλιχόμενος, quod addit Epit. S.
5. ἔπεμψεν ὁμοίως C.
6. αὐτοὺς Recogn. VII, 9, αὐταῖς CO. Tum μήτε S, μηδὲ C O.
7. ἴχνος O.
8. Ita O c. S, ἴδεν C. Tum ἤκουσαν O.
9. ἐνιαυτῶν O. In eodem deest ναυφράγιον. Cod. Reg. 804 et Epit. scr. ναυάγιον. Sed Hom. XV, 3 legitur ναυάγια. Tum ἄλλο p. ἄλλος O.
10. τὴν O.

www.libtool.com

λεγόντων ἑωρακέναι πτώματα κατὰ πολλοὺς τόπους[1], ὁ πατὴρ ἀκούων ἐστέναξεν· πλὴν ὑπὸ σπλάγχνων θορυβούμενος ἀλόγιστα ἐπυνθάνετο, ὅτι τοσοῦτον μέγεθος θαλάττης ἐρευνᾶν ἐπειρᾶτο. πλὴν συγγνωστὸς ἦν[2], ὅτι τῇ πρὸς τοὺς ζητουμένους στοργῇ ἐλπίσιν ἐβουκολεῖτο κεναῖς. καὶ δήπουτε ὑπὸ φροντιστὰς ποιήσας με καὶ εἰς Ῥώμην καταλείψας δωδεκαετῆ, αὐτὸς δακρύων εἰς Πόρτον κατελθὼν καὶ εἰς πλοῖον ἐμβάς, ἀναχθεὶς ἐπὶ τὴν ζήτησιν ἐπορεύθη. καὶ ἔκτοτε εἰς τὴν σήμερον ἡμέραν οὔτε γράμματα ἐδεξάμην παρ' αὐτοῦ, οὔτε εἰ ζῇ εἴτε[3] τέθνηκε σαφῶς ἐπίσταμαι. μᾶλλον δὲ ὑπονοῶ ὅτι καὶ αὐτὸς τέθνηκέ που[4], ἢ ὑπὸ λύπης νικηθεὶς ἢ ναυαγίῳ περιπεσών. τούτου[5] δὲ δεῖγμα, ὅτι ἤδη λοιπὸν ἔκτοτε εἰκοστὸν ἔτος ἐστίν, ἀφ' ἧς[6] οὐδεμίαν τινὰ περὶ αὐτοῦ ἀλήθειαν ἤκουσα.

XI. Ὁ δὲ Πέτρος ἀκούων ταῦτα ὑπὸ συμπαθείας ἐδάκρυσεν, καὶ εὐθέως τοῖς συνοῦσι γνησίοις ἔφη· ταῦτα εἴ τις πεπόνθειεν[7] θεοσεβής, οἷα ὁ τούτου πέπονθε πατήρ, εὐθέως τῷ τῆς θεοσεβείας λόγῳ τὴν αἰτίαν προσῆπτεν ἐπιγράφων τὸν πονηρόν[8]· οὕτω καὶ τοῖς ταλαιπώροις ἔθνεσι συμβαίνει πάσχειν, καὶ ἀγνοοῦμεν οἱ θεοσεβεῖς. ταλαιπώρους δὲ αὐτοὺς εὐλόγως εἴρηκα, ὅτι ἐνταῦθα ἀλῶνται καὶ τῆς ἐκεῖ ἐλπίδος οὐ τυγχάνουσιν. οἱ

mari ejectum. Cumque illi multa se multis locis cadavera vidisse dicerent, pater audiens ingemiscebat. Verum naturali affectu perturbatus praeter rationem sciscitabatur, qui tantam maris vastitatem scrutari conaretur. Attamen venia dignus erat, quod caritate erga eos, quos quaerebat, spebus laetaretur inanibus. Denique me sub magistris positum, annos natum duodecim, Romae reliquit, et ipse flens descendit ad Portum, navique conscensa subvectus ad inquisitionem profectus est. Atque ex eo tempore usque in hodiernum diem neque litteras ejus accepi, neque si vivat aut defunctus sit certo novi. Sed magis supicor illum quoque obiisse, aut tristitia victum, aut naufragio involutum. Cui rei argumento est, jam ab eo tempore vigesimum annum esse, ex quo nihil de eo veri audiverim.

XI. Petrus vero haec audiens commiserationis affectu lacrymas fudit: statimque ad familiares qui aderant ait: haec si quis in Dei cultu positus pertulisset, quae hujus pertulit pater, confestim religioni attribuisset causam, et diabolo adscripsisset. Ita etiam miseris gentilibus contingit pati, et ignoramus qui pii erga Deum sumus. Miseros autem eos dixi merito, quia et hic va-

1. τοπόνς O c. Cod. Reg. 804. τρόπους C.
2. οὖν O. Tum πρὸ p. πρὸς idem.
3. ἢ C.
4. που om. O. Tum ναυφραγίῳ C.
5. τούτου S ex Epit., τοῦτο C O.
6. ἀφ' οὗ Epit., ἀφ' ὧν O, qui tum om. τινά, scribitque ἀλήθεια.
7. πεπόνθει S. In O esse videtur πέπονθοι ἐν θεοσεβείᾳ p. π. θεοσεβής.
8. τῷ πονηρῷ Cod. Reg. 804 et Epit. Sed cfr. Hom. IX, 16. 17. 18. Ad oram Ottoboniani hoc scholion exstat: ἴσως δεῖ προάπτειν πρὸς τὴν σύνταξιν ἐπιγράφων τὸν πονηρόν.

γὰρ ἐν θεοσεβείᾳ πάσχοντες τὰ θλιβερὰ εἰς ἔκπραξιν παραπτωμάτων πάσχουσιν.

XII. Ταῦτα τοῦ Πέτρου εἰπόντος εἷς τις τῶν ἐν ἡμῖν τολμήσας ἀντὶ πάντων παρεκάλεσεν αὐτὸν, αὔριον ὀρθριαίτερον[1] εἰς Ἄραδον, τὴν κατέναντι νῆσον, εἰσπλεῦσαι, τριάκοντα οἶμαι οὐδ' ὅλους ἀπέχουσαν σταδίους, ὡς ἐπὶ ἱστορίᾳ τῶν ἐκεῖ ἀμπελίνων δύο στύλων μέγιστα ἐχόντων πάχη. ὁ οὖν πειθήνιος Πέτρος συνεχώρησεν εἰπών· ἐπὰν τοῦ πλοίου ἐκβῆτε, μὴ ἅμα πολλοὶ εἰσέρχεσθε εἰς τὴν θεωρίαν ὧν ἐπιθυμεῖτε· οὐ γὰρ βούλομαι στρέμματα γίνεσθαι εἰς ὑμᾶς[2] τῶν πολιτῶν. καὶ οὕτως[3] πλεύσαντες ῥοπῇ ὥρας κατήχθημεν εἰς τὴν νῆσον. ἐκβάντες δὲ τοῦ σκάφους εἰσήειμεν ἔνθα οἱ ἀμπέλινοι στύλοι ἦσαν, ὁμῶς[4] ἅμα αὐτοῖς ἄλλος ἄλλο τι[5] τῶν Φειδίου ἔργων ἐθεώρει.

XIII. Πέτρος δὲ μόνος οὐκ ἀναγκαῖον ἡγήσατο ἐπὶ τὴν τῶν ἐκεῖ ἱστορίαν[6] γενέσθαι, γυναικὶ δέ τινι ἔξω πρὸ τῶν θυρῶν καθεζομένῃ καὶ τροφῆς χάριν μεταιτούσῃ πυκνὰ κατανοήσας ἔφη· γύναι, τί σοι τῶν μελῶν λείπει, ὅτι τοσαύτην ὕβριν ἀνεδέξω, λέγω δὴ τὸ προσαιτεῖν, καὶ μὴ μᾶλλον ταῖς ὑπὸ Θεοῦ[7] σοι δεδωρημέναις χερσὶν ἐργαζομένη τὰς ἐφημέρους ποριζῃ[8] τροφάς; ἡ δὲ στενάξασα ἀπεκρίνατο· εἴθε γὰρ ἦσάν μοι χεῖρες ὑπουρ-

gantur in erroribus et ab spe futura fraudantur. Dei enim cultores cum incommoda patiuntur, ad expiationem delictorum perferunt.

XII. Ista postquam dixisset Petrus, unus ex nostris audacia sumpta pro omnibus rogavit eum, ut die crastina maturius in Aradum, oppositam insulam, quae triginta, opinor, nec totis stadiis distat, navigaremus, ad videndas ibi duas columnas viteas maximam molem habentes. Petrus ergo, ut erat clementissimus, concessit dicens: cum e navi egressi fueritis, ne una multi procedatis ad spectationem eorum quae cupitis, nolo enim civium concursus ad vos fieri. Atque sic navigantes momento horae in insulam delati sumus. Et descendentes ex scapha eo progressi sumus, ubi erant columnae viteae: simulque cum columnis alius aliud ex Phidiae operibus spectabat.

XIII. Unus autem Petrus necesse non putavit quae ibi erant invisere, sed attentius considerans mulierem quamdam, extra pro foribus sedentem et victus gratia mendicantem: mulier, inquit, quod tibi membrum deest, ut tantam contumeliam susceperis, petendi, inquam, stipem: et non potius manibus tuis, quas a Deo accepisti, operans quotidianum cibum quaeris? At illa suspirans respondit: utinam mihi quidem essent manus, quae possent laborare! nunc autem

1. Ita O c. S, ὀρθρίτερον C. S: Insulam Aradum, urbi Antarado ex adverso sitam, memorant Herod. VII, 98. Strab. XVI, 753. Casaub.
2. ὑμᾶς O c. Cod. Reg. 804 et Epit. c 80, ἡμᾶς C.
3. οὕτως C.
4. Ita S, ὅμως C O.
5. ἄλλο ἀλλότι O.
6. ἱστορία O, in quo deinde θυρωρῶν.
7. ὑπὸ τοῦ θεοῦ C.
8. πορίζεις C.

προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε[1] αὐτούς.

XXXVI. Καὶ ταῦτα εἰπὼν τοὺς μὲν προπομποὺς[2] ἐξέπεμψεν εἰς Ἀντιόχειαν τῆς Συρίας, ἐκεῖ τὴν ἐπομένην ἐπιμένειν εἰπών. τῶν οὖν πορευθέντων ὁ Πέτρος πολλῶν πεπεισμένων ὄχλων νόσους, πάθη, δαίμονας ἀπελάσας, καὶ εἰς τὰς ἔν τῇ[3] θαλάσσῃ πλησίον οὔσας πηγὰς βαπτίσας, καὶ εὐχαριστίαν κλάσας[4], Μαροόνην τὸν ἀποδεξάμενον αὐτόν, ἤδη λοιπὸν τέλειον ὄντα, ἐπίσκοπον καταστήσας καὶ πρεσβυτέρους δώδεκα ὁρίσας καὶ διακόνους δείξας καὶ χηρικὰ συστησάμενος, ὑπέρ τε τοῦ κοινοῦ καὶ[5] συμφέροντος τῆς ἐκκλησίας τῇ τάξει προσομιλήσας, καὶ τῷ ἐπισκόπῳ Μαροόνῃ πείθεσθαι συμβουλεύσας, ἤδη τριῶν μηνῶν πληρωθέντων τοῖς ἐν Τριπόλει τῆς Φοινίκης ἀποταξάμενος τὴν ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐπορεύετο ὁδόν, πάντων ἡμᾶς προπεμπόντων μετὰ τῆς προσηκούσης τιμῆς[6].

## ΟΜΙΛΙΑ ΙΒ'.

I. Ἐκβάντες οὖν τὴν Τρίπολιν τῆς Φοινίκης, ὡς ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐλθεῖν, αὐτῆς ἡμέρας ἐν Ὀρθωσίᾳ ἐμείναμεν ἐλθόντες. καὶ

dixit: *multi venient adversus me in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces: a fructibus eorum cognoscetis eos.*

XXXVI. Atque his dictis eos qui ad praecedendum fuerant ordinati, in Antiochiam Syriae emisit, jubens ut ibi tempus secuturum exspectarent. Iis itaque profectis, Petrus ingenti hominum multitudine ad fidem adducta, morbos, aegritudines, daemones expulit, in fontibus maris vicinis baptizavit, et Eucharistiam fregit: cumque Maroonem hospitem suum, jam omnino perfectum, in Episcopum constituisset, duodecim Presbyteros designasset, fecisset Diaconos, quae ad ordinem viduarum pertinent statuisset, pro communi bono ac de eo, quod ecclesiae ordini conducebat, esset collocutus et consilium dedisset, episcopo Marooni obedirent, jam tribus mensibus completis vale dixit Tripolitanis Phoeniciae, et iter versus Antiochiam Syriae ingressus est, omnibus debito cum honore nos comitantibus.

## HOMILIA DUODECIMA.

I. Egressi ergo Tripolim Phoenices, ut Antiochiam Syriae veniremus, eo die Orthosiam profecti ibi mansimus, et quia est prope urbem, e qua egressi

1. ἐπιγινώσκετε C.
2. προπόμπους C.
3. τῇ om. O.
4. Ita O et in marg. C, cuj. Cod. καλέσας. Liber Ottob. constanter μαροώνην.
5. ἤ O. Tum τῇ τάξει D, τὴν τάξιν C O. Epit. c. 69 haec exhibet: ὑπέρ τε τοῦ κοινοῦ καὶ συμφέροντος καὶ περὶ τῆς κατὰ τὴν ἐκκλησίαν τάξεως.
6. Vbb. πάντων ἡμᾶς προπεμπόντων μετὰ τῆς προσηκούσης τιμῆς accesserunt ex O.

www.libtool.com.cn

διὰ τὸ πλησίον εἶναι ἧς ἐξήλθομεν πόλεως, πάντων σχεδὸν προακηκοότων τοῦ κηρύγματος, μιᾶς ἡμέρας ἐκεῖ μείναντες ἀπήραμεν εἰς Ἀντάραδον[1]. πολλῶν δὲ τῶν συνοδοιπορούντων ἡμῖν ὄντων, ὁ Πέτρος Νικήτῃ καὶ Ἀκύλᾳ προσωμίλει λέγων· ἐπειδὴ πολὺς ὄχλος τῶν συνοδοιπορούντων οὐ μικρὸν φθόνον ἡμῖν εἰσιοῦσι κατὰ πόλιν ἐπισπᾶται, ἀναγκαίως ἐσκεψάμην φροντίσαι, πῶς μήτε οὗτοι λυπηθῶσι κωλυθέντες συνεῖναι ἡμῖν, μήτε ἡμεῖς περίβλεπτοι γινόμενοι φθόνῳ τῷ τῆς κακίας ὑποπέσωμεν. τούτου ἕνεκεν βούλομαί σε τὸν Νικήτην καὶ Ἀκύλαν προοδεύειν μου κατὰ συστήματα δύο σποράδην, μανθάνοντες[2] τὰς τῶν ἐθνῶν εἰσέρχεσθαι πόλεις.

II. Οἶδα δὲ ὅτι ἀθυμεῖτε, τοῦτο ποιεῖν ἀκηκοότες, ἀπολειπόμενοί[3] μου διάστημα οὐδ' ὅλων ἡμερῶν δύο. εἰδέναι οὖν ὑμᾶς θέλω, ὅτι πολλαπλάσιον ἀγαπῶμεν ἡμεῖς οἱ πείσαντες ὑμᾶς τοὺς πεισθέντας, ἤπερ[4] ὑμεῖς ἡμᾶς τοὺς πεπεικότας. ἀλλήλους οὖν στέργοντες, τῷ[5] μὴ ἀλόγως ποιεῖν ἃ θέλωμεν τῆς ἀσφαλείας ὅσον τὸ ἐφ' ἡμῖν φροντίζωμεν. πρὸς τούτοις δὲ οὐδεμιᾶς ἡμέρας διαλεγομένου μου ἀπολιμπάνεσθε[6]. εἰς γὰρ τὰς ἐπισημοτέρας τῶν ἐπαρχιῶν πόλεις προῄρημαι, ὡς ἔστε καὶ ὑμεῖς, ἡμερῶν ἐπιμένειν καὶ διαλέγεσθαι. καὶ τὸ νῦν εἰς τὴν ἐγγυτέραν ἡμῖν Λαοδίκειαν προάξατε, καὶ μεθ' ἡμέρας δύο ἢ τρεῖς, ὅσον ἐπὶ τῇ ἐμῇ προαιρέσει, καταλήψομαι ὑμᾶς. ἐπὶ δὲ τῶν πυλῶν ἐκδέξασθέ με ὑμεῖς μόνοι,

fueramus, cum omnes fere praedicationem evangelicam prius audiissent, unum diem illic commorati, Antaradum abiimus. Quia vero multi erant nobiscum iter facientes, Petrus Nicetam et Aquilam allocutus est dicens: quandoquidem magna comitantium multitudo non parvam invidiam nobis per urbes intrantibus conflat, necessario curandum esse judicavi, ut neque ipsi contristentur, dum prohibentur esse nobiscum, neque nos, dum sumus spectabiles, incidamus in malitiae invidiam. Quocirca volo te Nicetam atque Aquilam ante me iter habere, per duos globos sparsim, et clam gentium ingredi civitates.

II. Vobis autem, scio, molestum est, quod id faciendum audieritis, duorum non integrorum dierum spatio a me separari. Vos igitur cognoscere volo, quod nos, qui persuasimus, vos qui credidistis multo amplius diligimus, quam vos diligatis nos persuasores. Itaque mutuo amore flagrantes incolumitatis curam geramus pro viribus, non citra rationem facientes quae cupimus. Ad haec vero nulla die a me disputante aberitis. Per singulas enim quasque insigniores provinciarum civitates proposui, sicut etiam vos scitis, per dies residere et disceptare. Nunc ergo in Laodiceam nobis proximam praecedite, et post biduum et triduum, quantum ad propositum meum spectat, attingam vos. Ad portas autem vos soli recipite me, metu murmuris, ut sic absque strepitu

1. ἀντάρανδον O.
2. λανθάνοντας vel λανθανόντως conj. O et vertit C. τε addi vult S.
3. ἀπολιπόμενοί C.
4. ἢ εἴπερ p. ἤπερ C. Lectionem in obviam praevidit D.
5. Ita O c. D, τὸ C. Tum θέλομεν O.
6. ἀπελιμπάνεσθε O.

διὰ τὸν Θρύλλον[1], ἵνα οὕτως ἀψοφητὶ συνεισελθόντες ἅμα ὑμῖν ὦμεν. κἀκεῖθεν ὁμοίως μετὰ τὸ ἐπιμεῖναι ἡμερῶν ἄλλοι ἀνθ' ὑμῶν εἰς τὰ ἐπέκεινα κατὰ ἐφημερίας προάξωσιν, τὰς ξενίας ἑτοιμάζοντες.

III. Ταῦτα τοῦ Πέτρου εἰπόντος ἠναγκάσθησαν συνθέσθαι λέγοντες· οὐ πάνυ ἡμᾶς, κύριε, λυπεῖ τοῦτο πράττειν, διὰ τὸ ὑπὸ σοῦ κελεύεσθαι. πρῶτον μέν, ὅτι πάντα καλῶς νοεῖν[2] τε καὶ συμβουλεύειν ἄξιος ὢν ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας ἐξελέγης. πρὸς τούτοις δὲ ἐπὶ[3] τὸ πολὺ ἡμερῶν δύο ἀνάγκη τοῦ προάγειν ἀπολιμπανόμεθά σου· καὶ αὗται μὲν πολλαὶ πρὸς τὸ μή σε τὸν κύριον ἡμῶν ὁρᾶν Πέτρον, πλὴν λογιζόμεθα, ὅτι πλεῖον λυπηθήσονται οἱ πολὺ μακρὰν προπεμπόμενοι, ὡς ἐπὶ πλεῖον ἀναμένειν σε κατὰ πόλιν κεκελευσμένοι[4], ἀνιώμενοι ἐν τῷ ἐπὶ πλεῖον ἐστερῆσθαι τοῦ ὁρᾶν σου τὸ περιπόθητον πρόσωπον. καὶ ἡμεῖς οὐκ ἔλαττον[5] ἐκείνων ἀθυμοῦντες ὡς κελεύεις διά τὸ συμφέρον ποιεῖν οὐκ ἀντιλέγομεν. ὁμῶς[6] ταῦτα εἰπόντες προῆξαν, ἐντολὴν ἔχοντες, ἐν τῷ πρώτῳ πανδοχείῳ προομιλῆσαι τῷ συνοδοιποροῦντι ὄχλῳ, ὅπως σποράδην ἀλλήλων γενόμενοι εἰς τὰς πόλεις εἰσέρχωνται.

IV. Πορευθέντων οὖν αὐτῶν ἐγὼ Κλήμης μεγάλως ἔχαιρον, ὅτι σὺν

etiam ingressi una vobiscum simus. Et inde similiter, cum dies ibi aliquot transegerimus, alii pro vobis ulterius per vices praecedent et hospitia praeparabunt.

III. Haec dicente Petro necessario acquieverunt, dicentes, non valde nos, Domine, contristat hoc agere, quoniam a te jubetur. Primo quidem, quia Dei providentia delectus es, dignus qui cuncta praeclare cogites atque consulas. Ad haec vero, quia plerumque per biduum tantum necessitate praecedendi a te aberimus: illud autem spatium quamvis longum sit, dum te non videmus dominum nostrum Petrum, attamen cogitamus, multo molestius laturos, qui longius praemissi sunt, utpote jussos te diutius per urbes exspectare, et anxios quod aspectu desiderabilis vultus tui per multum tempus sint privati. Et nos non minus illis tristes facere quemadmodum jubes propter utilitatem non morabimur. Et his dictis praecessere, accepto mandato, ut in primo hospitio alloquerentur multitudinem simul iter agentem, quo sparsim et a se mutuo divisi ingrederentur civitates.

IV. His igitur profectis ego Clemens valde gavisus sum, quod me secum

1. *θλύλλον* O.

2. *ποιεῖν* Cod. Reg. 804 et Ruf.

3. *ἐπεὶ* O. Tum *ἀνάγκη τοῦ προάγειν* conj. C., *ἀνάγκη τοῦτο προάγειν* id. in textu, ut O, *ἀνάγκη τοῦ πράττειν τοῦτο* Cod. Reg. 804. Epitomes c. 71 haec habet: *ἔπειτα δέ, ὅτι ὡς ἐπιπολὺ ἡμερῶν δύο ἀνάγκη τοῦτο πράττειν ἡμᾶς ἀπολιμπανομένους σου.* Fortasse nostro loco post *τούτοις δὲ* addendum *ὅτι* secundum S.

4. *κεκελευσάμενοι* O. Tum *ἐστερῆσθαι τὸ ὁρᾶν* C minus recte.

5. *ἐλάττονα* O.

6. Ita S, *ὅμως* C O.

www.libtool.com.cn

αὐτῷ με ἐκέλευσεν εἶναι. καὶ ἀποκριθεὶς εἶπον· εὐχαριστῶ τῷ Θεῷ, ὅτι με οὐκ ἐξαπέσταλκας, ὡς τοὺς ἑτέρους, ἐπειδὴ [1] ὀδυνώμενος ἂν διαπεφωνήκειν. ὁ δὲ [2] ἔφη· τί δέ; εἰ καὶ χρεία τις ἔσται πεμφθῆναί σέ που [3] μαθημιάτων χάριν, σὺ διὰ τὸ πρὸς ὀλίγον ἀπολιμπάνεσθαί μου συμφερόντως, διὰ τοῦτο τεθνήξῃ; οὐχὶ δὲ προσομιλήσας σεαυτῷ φέρειν τὰ διὰ τὴν ἀνάγκην σοι προσταγέντα [4] εὐθύμως ὑποστήσῃς [5]; ἢ οὐκ οἶσθα ὅτι σύνεισιν οἱ φίλοι ταῖς μνήμαις, κἂν τοῖς σώμασιν ἀπολιμπάνωνται [6]; ὡς ἔνιοι συνόντες τοῖς σώμασιν ἀμνημοσύνης αἰτίᾳ ταῖς ψυχαῖς [7] ἀποδημοῦσι τοῖς φίλοις.

V. Κἀγὼ ἀπεκρινάμην· μὴ τοίνυν νομίσῃς, κύριε, ὅτι τὰ λύπης πάσχειν ἤμελλον ἀνοήτως, ἀλλὰ καὶ πάνυ ὀρθῷ τινι λογισμῷ. ἐπεὶ γάρ σε, κύριέ μου, ἀντὶ πάντων ἔχω, πατρός τε καὶ μητρὸς καὶ ἀδελφῶν καὶ συγγενῶν, αἴτιόν μοι γενόμενον διὰ τὸν Θεὸν τῆς σωζούσης ἀληθείας, ἀντὶ πάντων ἔχων σε παραμυθίας τῆς μεγίστης τυγχάνω. πρὸς τούτοις, δεδιώς μου καὶ τῆς ἀκμῆς τὴν ἐκ φύσεως ἐπιθυμίαν, ἠγωνίων, μή πως ἀπολειφθείς σου, ἄνθρωπος ὢν νεώτερος, ὅσπερ [8] νῦν οὕτως ἐνστάσεως ἔχω, ὡς ἂν μὴ κατά τινα χόλον Θεοῦ ἀποστῆναί σου ἀδύνατον εἶναι [9], ἧττων

esse voluisset. Atque haec ad eum verba profero: gratias ago Deo, quod me non emiseris, ut alios: nam prae dolore enectus fuissem. Ille vero: quid autem, inquit, si quae necessitas exegerit mitti te aliquo doctrinae gratia, tu, quia aliquamdiu a me utiliter eris superatus, ideo morieris? Nonne potius, tecum reputans, ferenda esse quae propter necessitatem tibi imposita sunt, aequo animo sustinebis? Aut ignoras, amicos una esse recordatione, licet corporibus separentur? Sicut nonnulli corpore praesentes, quod eorum non recordentur, animo peregrinantur ab amicis.

V. Et ego respondi: noli autem putare, domine, quod istum moerorem insipienter sim perpessurus, quinimo admodum recta ratione. Quoniam enim te, domine mi, pro omnibus habeo, pro patre, matre, fratribus et cognatis, qui per Deum auctor mihi fuisti agnoscendae servatricis veritatis, in locum omnium habens te maxima fruor consolatione. Praeterea veritus juventutis meae naturalem concupiscentiam anxius eram, ne forte, qui homo juvenis sum, disjunctus a te (qui nunc ita animum induxi, ut absque divina quadam ira

1. ἐπεὶ O.
2. ἡ O mendose.
3. ποι legi vult S.
4. προσταγέντα Cod. Reg. 804 et O, προσταθέντα C in textu, προστεθέντα in marg.
5. Ita O c. Cod. Reg. 804, ὑποστέγῃς C. Tum οἶσθα Cod. Reg. 804, ἦσθα C O. Post οἱ O exh. εἰ.
6. ἀπολιμπάνονται C. Tum ἔνιοι O c. Cod. Reg. 804 et Epit. c. 72, ἐνίοις C.
7. Ita Cod. Reg. 804 et Epit. l. c., τὰς ψυχὰς C O.
8. ὅσπερ D, ὅπερ C O. Tum ὡς ἂν μὴ D, κἂν C O, ὡς — εἰ μὴ — Epit. c. 73, ὡς κἂν conj. S. Deinceps ἀποστῆναί O c. Epit. l. c., ἀποστεῖν C.
9. Ita Epit., εἶ C O.

www.libtool.com.cn

ἐπιθυμίας ἐσομαι. ἀλλ' ἐπειδὴ πολλῷ ἄμεινον καὶ ἀσφαλέστερον συνεῖναί μέ σοι, τούτῳ, ᾧ[1] ὁ νοῦς μου αἰδεῖσθαι εὐλόγως προείληφεν, διὸ πάντῃ σοι[2] συνεῖναι εὔχομαι· πρὸς τούτοις δὲ μέμνημαί σου ἐν Καισαρείᾳ εἰπόντος· εἴ τις βούλεταί μοι συνοδεῦσαι, εὐσεβῶς συνοδευέτω[3]. εὐσεβῶς δὲ ἔφης, τὸ μηδένα λυπεῖν κατὰ Θεόν, οἷον ἀπολιπόντα[4] γονεῖς, γυναῖκα ὁμόφρονα, ἢ ἑτέρους τινὰς τῇ θεοσεβείᾳ προσκειμένους. ὅθεν ἐγὼ κατὰ πάντα ἐπιτήδειός εἰμί σοι συνοδοιπόρος, ᾧ εἰ καὶ τὰ μέγιστα χαρίζῃ, τὰς δούλων μοι ὑπηρεσίας συγχωρεῖς ποιεῖν.

VI. Καὶ ὁ Πέτρος ἀκούσας γελοίαζων ἔφη· τί οὖν οἴει, Κλήμης, μὴ ὑπ' αὐτῆς ἀνάγκης σε εἰς δούλων μοι ταγῆναι τόπον; ἐπεὶ τίς τὰς καλὰς καὶ πολλὰς σινδόνας μετὰ τῶν ἐπομένων μοι δακτυλίων καὶ ὑποδήσεων φυλάξει; τίς δὲ καὶ τὰ ἡδέα καὶ πολυτελῆ ὄψα[5] προετοιμάσει, ἃ τινα ποικίλα ὄντα πολλῶν καὶ τεχνιτῶν[6] δεῖται μαγείρων, καὶ πάντα ἐκεῖνα ὅσα ἐκτεθηλυμμένων[7] ἀνθρώπων ὡς θηρίῳ μεγάλῳ τῇ ἐπιθυμίᾳ ἐκ πάσης πλεονεξίας πορισθέντα ἑτοιμάζεται; πλὴν ἡ[8] τοιαύτη σε προαίρεσις ὑπεισῆλθεν, ἴσως μὴ συνέντα καὶ τὸν ἐμὸν ἀγνοοῦντα βίον, ὅτι ἄρτῳ μόνῳ καὶ ἐλαίαις χρῶμαι, καὶ σπανίως λαχάνοις, καὶ ὅτι ἱμάτιόν μοι καὶ τριβώνιον ὑπάρχει τοῦτ'[9] αὐτὸ ὃ περιβέβλημαι, καὶ ἑτέρου χρείαν οὐκ ἔχω οὐδὲ ἄλ-

non possim a te divelli), a cupiditate vincerer. Sed quia multo melius ac tutius est, me manere apud te, hominem quem animus meus merito revereri instituit, idcirco omnino tecum esse opto. Ad haec memini te apud Caesaream dixisse: si quis vult me comitari, pie comitetur. Pie autem dicebas, neminem tristitia secundum Deum afficere, velut relinquendo parentes, uxorem unanimem, aut alios verae religioni addictos. Unde ego prorsus tibi sum aptus itineris comes, a quo si maximam velis inire gratiam, ministeria servorum obire mihi concedes.

VI. Hoc audito Petrus subridens ait: quid ergo putas Clemens, quod non ipsa necessitate tu in servorum locum mihi redigeris? Nam quis elegantes ac multas sindones cum adjunctis annulis et calceis mihi custodiet? Quis vero et suavia exquisitaque opsonia praeparabit, quae cum varia sint, multos ac peritos postulant coquos: et omnia illa, quae apud effeminatos homines cupiditati, tamquam immani bestiae, per omnem quaesita luxum ac fraudem parantur? Sed forsan hoc te subiit propositum, quia non intellexeris atque ignores vitae meae rationem, qui pane solo et olivis utor, rareque oleribus, quique vestimentum ac pallium habeo hoc ipsum quo amictus sum, et alio opus non

1. τούτ . . ς (sic) pro τούτῳ, ᾧ O.
2. πάντοτέ σοι O.
3. εὐσεβῶς συνοδευέτω om. O. Idem λυπεῖν c. Cod. Reg. 804, λυποῦν C, λυπῆσαι Epit. c. 73.
4. Ita Epit. l. c., ἀπολιπών C O.
5. ὄψα Epit. c. 74 et O, ὄψη C.
6. τεχνικῶν Epit.
7. ἐκτεθηλυμένων S.
8. πλὴν εἰ Cod. Reg. 804 et O. Tum συνιέντα Epit.
9. τοῦτο C.

www.libtool.com.cn

λων τινῶν. ἐν γαρ τουτοις καὶ περισσεύομαι. ὁ νοῦς γάρ μου τὰ ἐκεῖ πάντα ὁρῶν αἰώνια ἀγαθὰ οὐδὲν τῶν ἐνταῦθα περιβλέπεται. πλήν σου μὲν τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχομαι, καὶ θαυμάζων ἐπαινῶ, πῶς ἀνὴρ ἐκ πολυτελῶν ἐθῶν ὑπάρχων ῥᾳδίως τοῖς ἀναγκαίοις τὸν σεαυτοῦ ὑπήλλαξας βίον. ἡμεῖς γὰρ ἐκ παίδων, ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναιμος καὶ κατὰ Θεὸν ἀδελφὸς ὢν ἐμός, οὐ μόνον ἐν ὀρφανίᾳ ἀνατραφέντες, ἀλλὰ καὶ ὑπὸ πενίας καὶ κακουχίας εἰς ἐργασίαν [1] ἐθισθέντες, εὐμαρῶς νῦν τὰς τῶν ὁδῶν φέρομεν σκύλσεις. ὅθεν εἰ ἐπείθου μοι, ἐμοὶ ἂν συγκεχωρήκεις, ἀνδρὶ ἐργάτῃ, σοὶ τὰ δούλων ἀποπληροῦν μέρη.

VII. Ἐγὼ δὲ ἀκούσας σύντρομος ἐγενόμην καὶ ἐπίδακρυς, οἷον λόγον εἶπεν ἀνήρ, οὗ πάντες οἱ τῆς νῦν γενεᾶς ἄνθρωποι τῷ τῆς γνώσεως καὶ εὐσεβείας λόγῳ ἥττους [2] τυγχάνουσιν. ὁ δὲ ἰδών με σύνδακρυν τῶν δακρύων ἐπύθετο τὴν αἰτίαν. κἀγὼ ἔφην· τί τοιοῦτον ἥμαρτον, ἵνα μοι τοιοῦτον [3] εἴπῃς λόγον; καὶ ὁ Πέτρος ἀπεκρίνατο· εἰ μὲν κακῶς εἴρηκα τὸ δουλεῦσαί σοι, σὺ πρῶτος ἥμαρτες, τοῦτ' [4] ἐμοὶ ποιῆσαι ἀξιώσας. κἀγὼ ἔφην· οὐχ ὅμοιόν ἐστιν· ἐμοὶ μὲν γὰρ τοῦτο ποιεῖν πρέπει πάνυ, σοὶ δὲ τῷ τοῦ Θεοῦ κήρυκι τὰς ἡμετέρας σώζοντι ψυχὰς χαλεπὸν τοῦτο ποιεῖν ἐμοί. καὶ ὁ Πέτρος ἀπεκρίνατο· συνεθέμην ἄν σοι, ἐπεὶ [5] ὁ κύριος ἡμῶν, ὁ ἐπὶ σω-

habeo, neque ulla re. Nam in his etiam abunde mihi est. Mea quippe mens cernens illic omnia bona aeterna nihil eorum quae hic sunt aspicit. Attamen tuum egregium approbo institutum, mirorque ac laudo, quo modo cum sis vir in vita sumptuosa educatus, facile vivendi rationem immutaveris et ad sola necessaria traduxeris. Nos enim a puero, ego et Andreas, qui ejusdem mecum sanguinis est, meusque secundum Deum frater, non solum in pupillatu educati, verum etiam propter inopiam et aerumnas ad laborem assuefacti, expedite nunc itinerum vexationes ferimus. Quare si crederes mihi, servorum officia me, hominem operarium, tibi impendere concederes.

VII. At ego haec audiens contremui et collacrymavi, quod talem habuisset orationem vir, quo cuncti hujus aetatis homines ratione scientiae ac pietatis minores sunt. Tum ille lacrymantem me videns causam lacrymarum percontabatur. Et ego respondi: quid tantum peccavi, ut mihi hujusmodi proferres sermonem? Et Petrus excepit: si malum est, quod dixi, ut serviam tibi, tu prior peccasti, hoc mihi postulans facere. Et ego: non est, inquam, simile: me enim hoc agere decet omnino, te autem, qui es Dei praeco et nostras servas animas, id mihi facere grave est. Et Petrus respondit: acquiescerem tibi, cum dominus noster, qui ad salutem totius mundi venit, unusque omnium

1. ἐργατείαν Cod. Reg. 804 et O.
2. Ita Epit. c. 75 et O, ἥττονες Cod. Reg. 804, ἧττον C.
3. Post τοιοῦτον repetuntur vbb. ἥμαρτον τὸν ἵνα μοι τοιοῦτον in O.
4. τοῦτο C.
5. Rufinus haec ita interpretatur: „acquiescerem tibi, nisi Dominus noster — passus esset", quasi legerit εἰ μή. S.

www.libtool.com.cn

τηρίᾳ παντὸς τοῦ κόσμου ἐληλυθώς[1], μόνος ὑπὲρ πάντας εὐγενὴς ὤν, δουλείαν ὑπέμεινεν, ἵνα ἡμᾶς πείσῃ μὴ αἰδεῖσθαι τοῖς ἀδελφοῖς ἡμῶν τὰς δούλων ποιεῖν ὑπηρεσίας, κἂν πάνυ εὐγενεῖς τυγχάνωμεν. κἀγὼ ἔφην· εἰ μὲν νομίζω σε νικῆσαι[2] λόγῳ, ἀνόητός εἰμι, πλὴν χάριν ἔχω τῇ τοῦ Θεοῦ προνοίᾳ, ὅτι σε εἰς γονέων τόπον ἔχειν κατηξιώθην.

VIII. Καὶ ὁ Πέτρος ἐπυνθάνετο· οὐδείς σου[3] ἀληθῶς πρὸς γένους[4] ὑπάρχει; κἀγὼ ἀπεκρινάμην· εἰσὶ μὲν πολλοὶ καὶ μεγάλοι ἄνδρες, Καίσαρος πρὸς γένος ὄντες. ὅθεν τῷ ἐμῷ πατρὶ ὡς καὶ συντρόφῳ αὐτὸς Καῖσαρ συγγενίδα[5] προσηρμόσατο γυναῖκα, ἀφ' ἧς τρεῖς ἐγενόμεθα υἱοί, δύο μὲν πρὸ ἐμοῦ, οἳ καὶ δίδυμοι ὄντες πάνυ ὅμοιοι ἀλλήλοις εἰύγχανον, ὡς αὐτὸς ὁ πατὴρ ἔλεγέ μοι. ἐγὼ γὰρ οὔτε αὐτούς, οὔτε τὴν τεκοῦσαν πάνυ ἐπίσταμαι, ἀλλ' ὥσπερ δι' ὀνείρων ἀμαυρὸν αὐτῶν τὸ εἶδος ἀναφέρω. ἡ μὲν οὖν μήτηρ μου Ματτιδία[6] ἐλέγετο, ὁ δὲ πατὴρ Φαῦστος, τῶν δὲ ἀδελφῶν καὶ αὐτῶν ὁ μὲν Φαυστῖνος ἐκαλεῖτο, ὁ δὲ Φαυστινιανὸς ἐλέγετο. ἐμοῦ οὖν τρίτου ἐπιγενηθέντος αὐτοῖς ἡ μήτηρ ὄνειρον ἑωράκει, ὥσπερ ὁ πατήρ μου ὑφηγεῖτο, ὅτι ἐὰν μὴ τοὺς διδύμους υἱοὺς αὐτῆς ἐξ αὐτῆς παραλαβοῦσα τὴν Ῥωμαίων πρὸς ἀποδημίαν ἐξέλθῃ[7] πόλιν ἐπ' ἔτη δώδεκα[8], πανολεθρίῳ μόρῳ ἅμα αὐτοῖς ἀποθανεῖν ἔχει.

est nobilissimus, servitutem sustinuerit, ut nos suaderet non erubescere fratribus nostris servorum exhibere ministeria, quamvis admodum nobiles simus. Tum ego dixi: si putem, quod te sim superaturus oratione, stultus sim: verumtamen ago gratias providentiae Dei, quia parentum loco habere te merui.

VIII. Et Petrus interrogavit: nemone vere ex genere tibi superest? Respondi: sunt quidem multi et potentes viri, atque ex prosapia Caesaris. Nam patri meo, utpote una educato, cognatam Caesar ipse junxit uxorem, de qua tres liberi orti sumus, duo quidem ante me, qui cum essent gemini, admodum sibi invicem similes erant, ut ipse pater aiebat mihi: ego enim neque illos neque genitricem valde novi, sed quasi per somnium obscuram eorum formam recolo. Mater ergo mea Mattidia dicebatur, pater autem Faustus, fratrum vero alter Faustinus vocabatur, alter dicebatur Faustinianus. Cum igitur tertius ego post eos natus essem, mater (quemadmodum pater meus referebat) somnium vidit, quod nisi confestim duobus filiis suis geminis assumptis urbem Romam fuisset egressa, et abfuisset annis duodecim, ipsa cum iis leto pessimo esset interitura.

1. Matth. 20, 28.
2. *νικήσειν* Epit.
3. *σοι* Epit. c. 76, quod praeferendum esse videtur. Cfr. Hom. XII, 15.
4. Ita O c. Epit. l. c. et Cod. Reg. 804. Huc accedit ed. pr. Cotelerii, cujus *πρὸς γένους* in utraque Clerici ed. permutatum est cum *πρὸς γένος*. Unde Schweglerus emendandus.
5. *αὐτὸν καίσαρ συγγενῆ* O. „nobilis adaeque familiae“ Rufinus, quasi legisset *συνευγενίδα*. C.
6. Ita O c. C et Cod. Reg. 804, *ματθιδία* Recogn. et Epit.
7. *ἐξέλθοι* C.
8. *δέκα* C, Ruf., Epit. c. 76. Tum *πανωλεθρίῳ* O et Epit. l. c. In Cod. Reg. 804 *ἔχοι* p. *ἔχει*.

IX. Ὁ μὲν οὖν πατὴρ φιλότεκνος ὢν σύν τε δούλοις καὶ δούλαις ἐφοδιάσας ἱκανῶς καὶ εἰς πλοῖον ἐμβαλόμενος [1] εἰς τὰς Ἀθήνας ἅμα παιδευθησομένους ἐξέπεμψεν [2], ἐμὲ δὲ μόνον υἱὸν εἰς παραμυθίαν ἔσχε μεθ' ἑαυτοῦ. καὶ ἐπὶ τούτῳ [3] εὐχαριστῶ πολλά, ὅτι κἀμὲ ὁ ὄνειρος μὴ κεκελεύκει ἅμα τῇ μητρὶ τὴν Ῥωμαίων ἐκβῆναι πόλιν. περαιωθέντος οὖν ἐνιαυτοῦ ὁ πατὴρ ἔπεμψεν εἰς Ἀθήνας χρήματα τοῖς αὐτοῦ, ἅμα τε καὶ μαθεῖν [4] τὸ πῶς διάγουσιν. οἱ δὲ ἀπελθόντες οὐχ ὑπέστρεψαν. τρίτῳ δὲ ἐνιαυτῷ ὁ πατὴρ ἀθυμῶν ἑτέρους ὁμοίως ἔπεμψε [5] μετ' ἐφοδίων, οἵ τινες τετάρτῳ ἐνιαυτῷ ἦλθον ἀγγέλλοντες, μήτε μου τὴν τεκοῦσαν ἢ τοὺς ἀδελφοὺς ἑωρακέναι, μήτε μὴν αὐτοὺς [6] Ἀθήναις ἐπιδεδημηκέναι, μήτε ἄλλου τινὸς τῶν σὺν αὐτοῖς ἀπεληλυθότων κἂν ἴχνος [7] εὑρηκέναι.

X. Ὁ μὲν οὖν πατὴρ ταῦτα ἀκούσας, καὶ ὑπὸ πολλῆς λύπης ἔκθαμβος γενόμενος, καὶ οὐκ εἰδὼς ποῦ ὁρμήσας ἐπὶ ζήτησιν αὐτῶν γένηται, ἐμέ τε παραλαβὼν καὶ εἰς Πόρτον καταβὰς πολλῶν πυκνότερον ἐπυνθάνετο, ποῦ ἕκαστος αὐτῶν εἶδεν [8] ἢ ἤκουσεν ἀπὸ τέσσάρων ἐτῶν [9] γενόμενον ναυφράγιον; καὶ ἄλλος ἀλλαχῆ ἔλεγεν. ὁ δὲ ἀντεπυνθάνετο, εἰ ἑωράκασι σῶμα γυναικὸς μετὰ βρεφῶν ἐκβεβρασμένον. τῶν [10] οὖν πολλὰ

IX. Pater igitur, qui liberorum amans erat, cum servis et ancillis, ac dato sufficienti viatico, in navem conjectos Athenas etiam erudiendos misit: me vero solum filium ad consolationem secum retinuit. Atque eam ob rem ingentes gratias ago, quod me quoque somnium non jusserit una cum matre urbe Roma excedere. Anno igitur completo pater ad suos Athenas misit pecuniam, simulque sciscitatum quo modo agerent. Qui vero abierunt, non reversi sunt. Tertio autem anno moestus pater alios ablegavit similiter cum rebus ad victum necessariis, qui quarto anno regressi nunciant, neque meam matrem se, neque fratres vidisse, sed neque ipsos Athenas pervenisse, neque usquam alicujus, qui cum ipsis fuerant, vel vestigium a se repertum.

X. Pater ergo haec audiens et multa tristitia obstupefactus, nesciensque quo tenderet ac illos quaereret, assumpto me, ac in portum descendens, multos frequentius percontabatur, ubi quisque eorum vidisset vel audiisset a quatuor annis naufragium contigisse. Atque varii vario in loco accidisse referebant. Ille vero iterum rogabat, num vidissent corpus mulieris cum pueris a

1. ἐμβαλλόμενος C.
2. ἐξέπεμψας Θ mendose.
3. ἐπὶ τοῦτο var. lect. ap. C. Scriptura Ottoboniani nec plena est, neque certa.
4. Post μαθεῖν excidit fortasse γλιχόμενος, quod addit Epit. S.
5. ἔπεμψεν ὁμοίως C.
6. αὐτοὺς Recogn. VII, 9, αὐταῖς C O. Tum μήτε S, μηδὲ C O.
7. ἴχνος O.
8. Ita O c. S, ἴδεν C. Tum ἤκουσαν O.
9. ἐνιαυτῶν O. In eodem deest ναυφράγιον. Cod. Reg. 804 et Epit. scr. ναυάγιον. Sed Hom. XV, 3 legitur ναυάγια. Tum ἄλλο p. ἄλλος O.
10. τὴν O.

λεγόντων ἐωρακέναι πτώματα κατὰ πολλοὺς τόπους[1], ὁ πατὴρ ἀκούων ἐστέναξεν· πλὴν ὑπὸ σπλάγχνων θορυβούμενος ἀλόγιστα ἐπυνθάνετο, ὅτι τοσοῦτον μέγεθος θαλάττης ἐρευνᾶν ἐπειρᾶτο. πλὴν συγγνωστὸς ἦν[2], ὅτι τῇ πρὸς τοὺς ζητουμένους στοργῇ ἐλπίσιν ἐβουκολεῖτο κεναῖς. καὶ θήποτε ὑπὸ φροντιστὰς ποιήσας με καὶ εἰς Ῥώμην καταλείψας δωδεκαετῆ, αὐτὸς δακρύων εἰς Πόρτον κατελθὼν καὶ εἰς πλοῖον ἐμβάς, ἀναχθεὶς ἐπὶ τὴν ζήτησιν ἐπορεύθη. καὶ ἔκτοτε εἰς τὴν σήμερον ἡμέραν οὔτε γράμματα ἐδεξάμην παρ' αὐτοῦ, οὔτε εἰ ζῇ εἴτε[3] τέθνηκε σαφῶς ἐπίσταμαι. μᾶλλον δὲ ὑπονοῶ ὅτι καὶ αὐτὸς τέθνηκέ που[4], ἢ ὑπὸ λύπης νικηθεὶς ἢ ναυαγίῳ περιπεσών. τούτου[5] δὲ δεῖγμα, ὅτι ἤδη λοιπὸν ἔκτοτε εἰκοστὸν ἔτος ἐστίν, ἀφ' ἧς[6] οὐδεμίαν τινὰ περὶ αὐτοῦ ἀλήθειαν ἤκουσα.

XI. Ὁ δὲ Πέτρος ἀκούων ταῦτα ὑπὸ συμπαθείας ἐδάκρυσεν, καὶ εὐθέως τοῖς συνοῦσι γνησίοις ἔφη· ταῦτα εἴ τις πεπόνθειεν[7] θεοσεβής, οἷα ὁ τούτου πέπονθε πατήρ, εὐθέως τῷ τῆς θεοσεβείας λόγῳ τὴν αἰτίαν προσῆπτεν ἐπιγράφων τὸν πονηρόν[8]· οὕτω καὶ τοῖς ταλαιπώροις ἔθνεσι συμβαίνει πάσχειν, καὶ ἀγνοοῦμεν οἱ θεοσεβεῖς. ταλαιπώρους δὲ αὐτοὺς εὐλάγως εἴρηκα, ὅτι ἐνταῦθα ἀλῶνται καὶ τῆς ἐκεῖ ἐλπίδος οὐ τυγχάνουσιν. οἱ

mari ejectum. Cumque illi multa se multis locis cadavera vidisse dicerent, pater audiens ingemiscebat. Verum naturali affectu perturbatus praeter rationem sciscitabatur, qui tantam maris vastitatem scrutari conaretur. Attamen venia dignus erat, quod caritate erga eos, quos quaerebat, spebus laetaretur inanibus. Denique me sub magistris positum, annos natum duodecim, Romae reliquit, et ipse flens descendit ad Portum, navique conscensa subvectus ad inquisitionem profectus est. Atque ex eo tempore usque in hodiernum diem neque litteras ejus accepi, neque si vivat aut defunctus sit certo novi. Sed magis supicor illum quoque obiisse, aut tristitia victum, aut naufragio involutum. Cui rei argumento est, jam ab eo tempore vigesimum annum esse, ex quo nihil de eo veri audiverim.

XI. Petrus vero haec audiens commiserationis affectu lacrymas fudit: statimque ad familiares qui aderant ait: haec si quis in Dei cultu positus pertulisset, quae hujus pertulit pater, confestim religioni attribuisset causam, et diabolo adscripsisset. Ita etiam miseris gentilibus contingit pati, et ignoramus qui pii erga Deum sumus. Miseros autem eos dixi merito, quia et hic va-

1. τοπόνς O c. Cod. Reg. 804. τρόπους C.
2. οὖν O. Tum πρὸ p. πρὸς idem.
3. ἢ C.
4. που om. O. Tum ναυφραγίῳ C.
5. τούτου S ex Epit., τοῦτο C O.
6. ἀφ' οὗ Epit., ἀφ' ὧν O, qui tum om. τινά, scribitque ἀλήθεια.
7. πεπόνθει S. In O esse videtur πέπονθοι ἐν θεοσεβείᾳ p. π. θεοσεβής.
8. τῷ πονηρῷ Cod. Reg. 804 et Epit. Sed cfr. Hom. IX, 16. 17. 18. Ad oram Ottoboniani hoc scholion exstat: ἴσως δεῖ προάπτειν πρὸς τὴν σύνταξιν ἐπιγράφων τὸν πονηρὸν.

γὰρ ἐν θεοσεβείᾳ πάσχοντες τὰ θλιβερὰ εἰς ἔκπραξιν παραπτωμάτων πάσχουσιν.

XII. Ταῦτα τοῦ Πέτρου εἰπόντος εἷς τις τῶν ἐν ἡμῖν τολμήσας ἀντὶ πάντων παρεκάλεσεν αὐτὸν, αὔριον ὀρθριαίτερον[1] εἰς Ἄραδον, τὴν κατέναντι νῆσον, εἰσπλεῦσαι, τριάκοντα οἶμαι οὐδ' ὅλους ἀπέχουσαν σταδίους, ὡς ἐπὶ ἱστορίᾳ τῶν ἐκεῖ ἀμπελίνων δύο στύλων μέγιστα ἐχόντων πάχη. ὁ οὖν πειθήνιος Πέτρος συνεχώρησεν εἰπών· ἐπὰν τοῦ πλοίου ἐκβῆτε, μὴ ἅμα πολλοὶ εἰσέρχεσθε εἰς τὴν θεωρίαν ὧν ἐπιθυμεῖτε· οὐ γὰρ βούλομαι στρέμματα γίνεσθαι εἰς ὑμᾶς[2] τῶν πολιτῶν. καὶ οὕτως[3] πλεύσαντες ῥοπῇ ὥρας κατήχθημεν εἰς τὴν νῆσον. ἐκβάντες δὲ τοῦ σκάφους εἰσῄειμεν ἔνθα οἱ ἀμπέλινοι στύλοι ἦσαν, ὁμῶς[4] ἅμα αὐτοῖς ἄλλος ἄλλο τι[5] τῶν Φειδίου ἔργων ἐθεώρει.

XIII. Πέτρος δὲ μόνος οὐκ ἀναγκαῖον ἡγήσατο ἐπὶ τὴν τῶν ἐκεῖ ἱστορίαν[6] γενέσθαι, γυναικὶ δέ τινι ἔξω πρὸ τῶν θυρῶν καθεζομένῃ καὶ τροφῆς χάριν μεταιτούσῃ πυκνὰ κατανοήσας ἔφη· γύναι, τί σοι τῶν μελῶν λείπει, ὅτι τοσαύτην ὕβριν ἀνεδέξω, λέγω δὴ τὸ προσαιτεῖν, καὶ μὴ μᾶλλον ταῖς ὑπὸ Θεοῦ[7] σοι δεδωρημέναις χερσὶν ἐργαζομένη τὰς ἐφημέρους πορίζῃ[8] τροφάς; ἡ δὲ στενάξασα ἀπεκρίνατο· εἴθε γὰρ ἦσάν μοι χεῖρες ὑπουρ-

gantur in erroribus et ab spe futura fraudantur. Dei enim cultores cum incommoda patiuntur, ad expiationem delictorum perferunt.

XII. Ista postquam dixisset Petrus, unus ex nostris audacia sumpta pro omnibus rogavit eum, ut die crastina maturius in Aradum, oppositam insulam, quae triginta, opinor, nec totis stadiis distat, navigaremus, ad videndas ibi duas columnas viteas maximam molem habentes. Petrus ergo, ut erat clementissimus, concessit dicens: cum e navi egressi fueritis, ne una multi procedatis ad spectationem eorum quae cupitis, nolo enim civium concursus ad vos fieri. Atque sic navigantes momento horae in insulam delati sumus. Et descendentes ex scapha eo progressi sumus, ubi erant columnae viteae: simulque cum columnis alius aliud ex Phidiae operibus spectabat.

XIII. Unus autem Petrus necesse non putavit quae ibi erant invisere, sed attentius considerans mulierem quamdam, extra pro foribus sedentem et victus gratia mendicantem: mulier, inquit, quod tibi membrum deest, ut tantam contumeliam susceperis, petendi, inquam, stipem: et non potius manibus tuis, quas a Deo accepisti, operans quotidianum cibum quaeris? At illa suspirans respondit: utinam mihi quidem essent manus, quae possent laborare! nunc autem

1. Ita O c. S, *ὀρθρίτερον* C. S: Insulam Aradum, urbi Antarado ex adverso sitam, memorant Herod. VII, 98. Strab. XVI, 753. Casaub.
2. *ὑμᾶς* O c. Cod. Reg. 804 et Epit. c 80, *ἡμᾶς* C.
3. *οὕτως* C.
4. Ita S, *ὅμως* C O.
5. *ἄλλο ἀλλότι* O.
6. *ἱστορία* O, in quo deinde *θυρωρῶν*.
7. *ὑπὸ τοῦ θεοῦ* C.
8. *πορίζοις* C.

www.indoot.com.cn

γεῖν δυνάμεναι! νῦν δέ μοι σχῆμα μόνον χειρῶν φυλάσσουσιν, νεκραὶ τυγχάνουσαι, ὑπὸ ὀηγμάτων ἐμῶν βεβασανισμέναι. καὶ ὁ Πέτρος ἐπύθετο· τίς δὲ ἡ αἰτία τοῦ σε τὸ χαλεπὸν τοῦτο πεπονθέναι[1]; ἡ δὲ ἀπεκρίνατο· ψυχῆς ἀσθένεια καὶ πλέον οὐθέν. εἰ γὰρ ἀνδρεῖον εἶχον φρόνημα, ἦν πρη-
5 μνός, ἦν[2] βυθός, ὅθεν ἐμαυτὴν ῥίψασα τῶν ὀδυνώντων με παύσασθαι ἠδυνάμην κακῶν.

XIV. Καὶ ὁ Πέτρος ἔφη· τί οὖν; οἴει, γύναι, ὅτι πάντως οἱ ἀναιροῦντες ἑαυτοὺς κολάσεως ἀπαλλάσσονται, ἢ μήτι[3] χείρονι κολάσει ἐν ᾅδῃ αἱ τῶν οὕτως θνησκόντων ψυχαὶ περὶ τῆς αὐτοκτονίας κολάζονται; ἡ δὲ
10 ἔφη[4]· εἴθε ἐπεπείσμην, ὅτι ὄντως ἐν ᾅδῃ ψυχαὶ εὑρίσκονται ζῶσαι, καὶ ἠγάπων τῆς κολάσεως καταφρονήσασα θανεῖν, ὅπως τοὺς ἐμοὺς περιποθήτους ἰδῶ[5] κἂν μίαν ὥραν. καὶ ὁ Πέτρος ἔφη· τί ἄρα ἐστὶ τὸ λυποῦν σε, μαθεῖν ἤθελον, γύναι. ἐὰν γάρ με διδάξῃς, ἀντὶ ταύτης τῆς χάριτος πληροφορήσω σε, ὅτι ἐν ᾅδῃ ζῶσιν αἱ ψυχαί, καὶ ἀντὶ κρημνοῦ ἢ βυθοῦ
15 φάρμακον δώσω[6], ὅπως ἀβασανίστως τοῦ ζῆν τὸν βίον[7] μεταλλάξαι δυνηθῇς.

XV. Καὶ ἡ γυνὴ τὸ ἀμφιβόλως ῥηθὲν μὴ συνεῖσα, ἐπὶ τῇ ὑποσχέσει ἡσθεῖσα, τοῦ λέγειν ἤρξατο οὕτως· γένος μὲν καὶ πατρίδα εἰπεῖν[8], οὐκ

mihi solam manuum speciem servant, cum sint emortuae, morsibus meis vexatae. Et Petrus interrogavit: quae vero fuit causa, ut grave hoc malum sustineres? Tum illa respondit: animi imbecillitas, nec aliud quidquam. Si enim forti animo fuissem praedita, erat praecipitium, erat pelagus, unde me dejiciens poteram malis dolorem mihi afferentibus finem imponere.

XIV. Tum Petrus infit: et quid? putasne mulier, quod qui semetipsos perimunt, omnino a supliciis liberantur, an non potius animae eorum, qui ita moriuntur, majoribus puniuntur apud inferos poenis, propter sui homicidium? At illa: utinam, inquit, persuasum mihi esset, revera in inferis animas vivas reperiri; utique contemptis poenis mori eligerem, ut horam saltem unam viderem mihi exoptatissimos. Et Petrus dixit: quidnam sit, quod te excruciet, scire velim, mulier. Si enim me docueris, pro ea gratia certam te faciam de animae vita apud inferos, et pro praecipitio vel profundo medicamentum tradam, ut sine cruciatu valeas vitam commutare.

XV. Tunc mulier, quae ambiguum sermonem non intelligeret, promissione gratanter accepta coepit dicere hunc in modum: genus quidem et patriam si

1. πεποιηκέναι O.
2. ἢ C.
3. μὴ τῇ p. μήτι C.
4. O bis exh. ἔφη.
5. εἰδῶ O.
6. δώσω S O, δῶ C.
7. Videtur τὸν βίον esse interpretatio τοῦ ζῆν. Est autem ἀμφίβολον, quia quod Petrus intelligebat de mutatione vitae in melius, id Matthidia de commutatione vitae cum morte interpretabatur. Lege cap. 18. C. Fallitur C, quum τὸν βίον interpretationem esse censet τοῦ ζῆν, nam βίον ζῆν dicunt Plato optimique scriptores alii. Licet igitur hae voces in Epit. c. 82 et infra c. 18 non exstent, omnino tamen sunt retinendae. D.
8. Fort. εἰποῦσα. S.

οἶμαι πεῖσαί ποτε δυνηθῆναί τινα. πλὴν καί σοι τί διαφέρει τοῦτο μαθεῖν, ἢ μόνον[1] τὴν αἰτίαν, ἧς ἕνεκεν ὀδυνωμένη δήγμασι τὰς ἐμὰς ἐνέπρωσα χεῖρας. πλὴν τὰ κατ' ἐμαυτήν, ὡς δυνατὸν ἀκοῦσαί σε, διηγήσομαι. ἐγὼ πάνυ εὐγενὴς ὑπάρχουσα δυνάστου[2] τινὸς προσταγῇ ἀνδρὶ πρὸς γένους αὐτῷ ὑπάρχοντι ἐγενόμην γυνή. καὶ μετὰ δίδυμα τέκνα ἔσχον ἕτερον υἱόν. ὁ δὲ τοῦ ἐμοῦ ἀνδρὸς ἀδελφὸς μανεὶς οὐκ ἔλαττον ἠράσθη μου τῆς ταλαιπώρου[3], σφόδρα σωφρονεῖν ἀγαπώσης. καὶ βουλομένη[4] μήτε τῷ ἐραστῇ συνθέσθαι, μήτε τῷ ἐμῷ ἀνδρὶ ἀναθέσθαι τὸν τοῦ ἀδελφοῦ αὐτοῦ πρὸς ἐμὲ ἔρωτα, ἐλογισάμην, ἵνα[5] μήτε μοιχησαμένη ἐμαυτὴν μιανῶ, μήτε τοῦ ἐμοῦ ἀνδρὸς τὴν κοίτην ὑβρίσω, μήτε τῷ ἀδελφῷ τὸν ἀδελφὸν πολέμιον καταστήσω, μήτε ὅλον γένος μέγα ὂν εἰς ὀνειδισμὸν πᾶσιν ὑποβαλῶ[6]· ὡς ἔφην, ἐλογισάμην τὴν πόλιν μετὰ τῶν ἐμῶν διδύμων παίδων ἐκβῆναι ἐπὶ χρόνον τινά, ἕως ἂν καὶ ὁ μιαρὸς ἔρως παύσηται τοῦ ἐπὶ τῇ ἐμῇ ὕβρει κολακεύοντός με. τὸν μέντοι ἕτερον υἱὸν παρὰ τῷ πατρὶ μεῖναι εἰς παραμυθίαν κατέλιπον.

XVI. Πλὴν ἵνα ταῦτα οὕτως[7] γένηται, ἐπενόησα ὄνειρον πλάσασθαι, ὡς δή τινος νύκτωρ ἐπιστάντος μοι καὶ εἰρηκότος· γύναι, ἐξαυτῆς[8] ἅμα τοῖς διδύμοις σου τέκνοις ἐπὶ χρόνον τινά, μέχρις ὅτε μηνύσω ἐπανελθεῖν σε ἐνταῦθα, ἔκβηθι τὴν πόλιν. ἐπεὶ ἅμα ἀνδρὶ καὶ πᾶσί σου τοῖς τέκνοις

proferrem, non arbitror me posse alicui persuadere. Sed et quid ad te attinet id cognoscere, nisi tantum causam, ob quam dolore affecta morsibus manus meas mortuas reddidi. Tamen mea, quoad audire potes, referam. Ego admodum nobilis, principis cujusdam viri imperio, nupsi viro qui erat illius propinquus: et post duos geminos liberos alium suscepi filium. Sed frater mariti mei, magna correptus insania, adamavit me miseram, quae caste vivere cupiebam admodum. Cumque nec vellem amatori consentire, nec viro meo amorem fratris ejus erga me exponere, statui, ut neque adulterans polluerem me, nec viri mei torum contumelia afficerem, neque fratrem fratri redderem inimicum, neque totam familiam, quae magna erat, in opprobrium cunctis darem; statui, inquam, urbe cum meis geminis pueris ad quoddam tempus discedere, donec et impurus amor illius, qui mihi ad dedecus meum assentabatur, finem accepisset. At alterum filium, ut apud patrem in solatium maneret, reliqui.

XVI. Verum quo haec ita fierent, in animum induxi, somnium fingere, quasi aliquis mihi noctu adstitisset ac dixisset: mulier, confestim una cum geminis tuis pueris urbe discede ad aliquod tempus, donec rursus indicavero, ut redeas huc: alioqui cum marito cunctisque tuis liberis derepente peribis male.

1. *μόνην* O.
2. *δυνατοῦ* Epit.
3. *ταλαιπωρίας* O.
4. *βουλομένη* S, *βουλομένης* C O. Subinde *μήτε* O et Epit., *μὴ* C.
5. *ἵνα* om. O.
6. *ὑποβάλω* O.
7. *οὕτως ταῦτα* C.
8. *ἐξ αὐτῆς* O constanter.

ἀλφιδίως κακῶς τελευτήσεις. ὁμοῖως οὕτως ἐποίησα. ἅμα γὰρ τῷ τὸν ὄνειρον ψεύσασθαί με τῷ ἀνδρί, αὐτὸς περίφοβος γενόμενος μετὰ τῶν ἐμῶν[1] δύο υἱῶν δούλων τε καὶ παιδισκῶν καὶ χρημάτων συχνῶν κατὰ πλοῦν εἰς Ἀθήνας με ἐξέπεμψεν, ἐκπαιδεῦσαι τοὺς υἱούς, μέχρις ἄν, ἔφη, τῷ χρηματίσαντι δόξῃ ἐπανιέναι σε πρὸς ἐμέ. ὁμῶς ἅμα τέκνοις ἡ τάλαινα πλέουσα ὑπὸ ἀνέμων ἀταξίας εἰς τούτους ἀπορριφεῖσα[2] τοὺς τόπους, νυκτὸς τῆς νηὸς διαλυθείσης, ναυαγίῳ[3] περιέπεσα. πάντων δὲ θανόντων ἡ ἀτυχὴς ἐγὼ μόνη ὑπὸ σφοδροῦ κύματος ῥαπισθεῖσα[4] ἐπὶ πέτρας ἐρρίφην, ἐφ' ἧς καθεσθεῖσα ἡ ἀθλία ἐλπίδι τοῦ τὰ[5] τέκνα με ζῶντα εὑρεῖν εἰς τὸν[6] βυθὸν ἐμαυτὴν οὐκ ἔρριψα τότε, ὅτε τὴν ψυχὴν μεμεθυσμένην τοῖς κύμασιν ἔχουσα τοῦτο ποιῆσαι ῥᾳδίως ἐδυνάμην.

XVII. Πλὴν ἐπειδὴ ὄρθρος ἐγένετο, μεγάλα βοῶσα καὶ γοερὰ κωκύουσα[7] περιεβλεπόμην, ζητοῦσα τῶν ἐμῶν ταλαιπώρων βρεφῶν τὰ νεκρὰ σώματα. ἐλεήσαντες οὖν με οἱ ἐπιχώριοι, γυμνὴν ἰδόντες, ἐνδύσαντές με τὸ πρῶτον, τὸν βυθὸν ἀνηρεύνων, τὰ ἐμὰ ζητοῦντες τέκνα. καὶ ἐπεὶ μηδὲν ηὕρισκον[8] ὧν ἐζήτουν, παραμυθίας χάριν τινὲς τῶν φιλοξένων γυναικῶν προσελθοῦσαι διηγοῦντο ἑκάστη τὰ ἑαυτῆς κακά, ἵνα τῇ[9] τῶν ὁμοίων συμφορᾷ παραμυθίας τύχω, ὃ δή με μᾶλλον ἐλύπει. οὐ γὰρ ἔφην οὕτω

Atque ita feci. Statim enim ut somnium ementitum viro enarravi, extimuit, et me cum duobus meis filiis cumque servis et ancillis atque multa pecunia Athenas per navem misit, ut natos erudirem, quoad, inquit, visionis auctori placuerit te redire ad me. Caeterum ego misera una cum liberis navigans ventorum vi projicior in haec loca, et navi noctu dissoluta in naufragium incidi. Cumque omnes interissent, una ego infelix, magnis agitata fluctibus, in saxum ejecta sum: ubi cum infortunata sederem, spe reperiendi natos meos vivos in profundum me non praecipitavi tunc, quando animum habens doloris fluctibus ebrium hoc facere facile poteram.

XVII. Verum postquam dies exortus est, cum clamore magno et miserabili ululatu circumspiciebam, quaerens infelicium natorum cadavera. Igitur miseratione commoti incolae, nudam intuiti, cum primo me induissent, scrutati sunt maris profundum, quaerendo natos meos. Et quia nihil inveniebant eorum quae indagabam, nonnullae hospitales mulieres consolandi mei gratia accesserunt, et suas singulae enarrabant miserias, ut similium calamitate solatium caperem: quod me magis contristabat. Non enim, inquiebam, adeo mala sum,

1. ἐμῶν deest in O.
2. ἀπορριφθεῖσα O.
3. ναυφραγίῳ C. Subinde περιέπεσον Cod. Reg. 804.
4. ῥιπισθεῖσα Cod. Reg. 804 et Epit. c. 84.
5. τὰ inserui c. O.
6. τὸ S.
7. Vbb. ῥᾳδίως ἐδυνάμην — — γοερὰ κωκύουσα desiderantur in O.
8. Vide de hoc augmento etsi rarissimo Lobeckium ad Phryn. p. 140. S. εὕρισκον O et Epit.
9. τῇ adscripsi ex O. Deinde ὃ δὲ μᾶλλόν με C. Etiam in Epit. ὃ δή p. ὃ δέ.

www.libtool.com.cn

κακὴ εἶναι, ὡς[1] ταῖς ἄλλων συμφοραῖς παραμυθίας τυχω. καὶ δὴ εἰς ξενίαν πολλῶν με ἄγειν ἀξιουσῶν[2] μία τις τῶν ἐνταῦθα πενιχρὰ πολὺ βιασαμένη εἰς τὸ ἑαυτῆς ἐλθεῖν ἠνάγκασε σκήνωμια, εἰποῦσά μοι· θάρρει γύναι, καὶ γὰρ ὁ ἐμὸς ἀνὴρ ναύτης ὢν κατὰ θάλασσαν[3] τέθνηκεν, ἐν τῇ νεαζούσῃ τυγχάνων ἡλικίᾳ· καὶ ἔκτοτε πολλῶν με ἀξιούντων πρὸς γάμον ἐγὼ χηρεύειν εἱλόμην, τὸν ἐμὸν ποθοῦσα ἄνδρα. ἔσται δὲ ἡμῖν κοινὰ ἃ διὰ χειρῶν ἀμφότεραι πορίζειν δυνάμεθα.

XVIII. Καὶ ἵνα μή σοι μηκύνω τοὺς οὐκ ἀναγκαίους λόγους, συνῴκησα αὐτῇ διὰ τὴν φιλανδρίαν. καὶ μετ' οὐ πολὺ ἐμοῦ τῆς ταλαιπώρου αἱ χεῖρες ὑπὸ τῶν δηγμάτων[4] παρείθησαν, καὶ ἡ ὑποδεξαμένη με γυνὴ ὅλη ὑπὸ πάθους τινὸς συνδεθεῖσα ἐπὶ τῆς οἰκίας ἔρριπται. ἐπεὶ οὖν ὁ τῶν πάλαι γυναικῶν ἔλεος παρήκμασεν, ἐγὼ δὲ καὶ ἡ κατ' οἶκον ἀμφότεραι ἐπισινεῖς τυγχάνομεν, ἐκ πολλῶν χρόνων ἐνταῦθα, ὡς ὁρᾷς, καθέζομαι προσαιτοῦσα, καὶ ὧν ἂν εὐπορήσω[5] καὶ τῇ συνταλαιπώρῳ[6] εἰς τροφὰς κομίζω. καὶ τὰ μὲν ἐμὰ ἐπὶ τοσοῦτον αὐτάρκως εἰρήσθω. λοιπὸν σὺ κωλύεις[7] τὴν ὑπόσχεσιν πληρῶσαι τοῦ δοῦναι τὸ φάρμακον; ὅπως κἀκείνῃ ἐπιθυμούσῃ θανεῖν δῶ, καὶ οὕτως κἀγὼ τοῦ ζῆν, ὡς ἔφης, μεταλλάξαι δυνηθῶ.

XIX. Ταῦτα τῆς γυναικὸς εἰπούσης ὑπὸ λογισμῶν πολλῶν ὁ Πέτρος

ut ex aliorum calamitatibus consolationem accipiam. Et cum me multae hospitio cuperent recipere, una quaedam paupercula hic habitans extorsit mihi tugurio ejus succedere, dicens: confide mulier: etenim vir meus, homo nauta, in mari adhuc juvenis obiit: atque ex eo die, quamvis multi me sollicitarint ad nuptias, ego desiderio viri mei malui in viduitate agere. Erunt ergo communia, quaecumque manibus quaerere poterimus.

XVIII. Et ne longa ac minus utili narratione utar: habitavi cum ea, propter amorem ejus erga maritum. Sed non multo post mihi infelici laceratae morsibus resolutae sunt manus, illa vero quae me susceperat, tota morbo quodam occupata et colligata domi jacet. Quoniam ergo mulierum, quae prius miserabantur, elanguit affectus, ac ego et illa clausa domi ambae debiles et calamitosae sumus, ex multo tempore hic, ut vides, sedeo, stipem petens, et, si quid forte accepero, etiam ad illam pariter miseram adcibum defero. Atque hactenus meae quidem res sufficienter sunt dictae. Tu nunc quid moraris implere quod promiseras, te daturum medicamen? quo etiam illi obitum cupienti tradam, et sic ego quoque possim, ut ais, vitam commutare.

XIX. Haec dicente muliere Petrus multa cogitatione stare suspensus vi-

1. ὡς O et ex conject. C, in cuj. textu deest.
2. ἀξιοῦσιν O.
3. θάλατταν O.
4. δειγμάτων O.
5. Ita O c. Epit., εὐφορήσω C.
6. ταλαιπώρῳ O.
7. S: Leg. τί σε κωλύει. Cfr. e. g. Hom. XIII, 5. Epit. habet σὺ μὴ κωλύσῃς.

μιτέωρος ἐδόκει ἵστασθαι. ἐγὼ δὲ ἐπελθὼν ἔφην· ἐκ πολλοῦ σε περιερχόμενος ζητῶ, καὶ τὰ νῦν τί ποιοῦμεν; ὁ δὲ Πέτρος προσέταξέ μοι προάξαντι μένειν αὐτὸν ἐπὶ τοῦ σκάφους. καὶ ἐπειδὴ ἀντειπεῖν οὐκ ἦν αὐτῷ κελεύσαντι, ἐποίησα τὸ προσταχθέν. ὁ δὲ Πέτρος μικρᾷ τινι ὑποψίᾳ, ὡς αὐτός μοι πάντα ὕστερον διηγήσατο, παλλόμενος τὴν καρδίαν ἐπυνθάνετο τῆς γυναικὸς λέγων· εἰπέ μοι, γύναι, τὸ γένος καὶ τὴν πόλιν καὶ τῶν τέκνων τὰ ὀνόματα, καὶ ἤδη δίδωμί σοι τὸ φάρμακον. ἡ δὲ βίαν πάσχουσα καὶ εἰπεῖν οὐ θέλουσα, τὸ δὲ φάρμακον λαβεῖν ἐπιθυμοῦσα, ἐσοφίσατο ἄλλα ἀντὶ ἄλλων εἰπεῖν· καὶ ὁμῶς ἔφη, αὐτὴν μὲν Ἐφεσίαν εἶναι, τὸν δὲ ἄνδρα Σικελόν, ὁμῶς καὶ τῶν τριῶν τέκνων ἤλλαξε τὰ ὀνόματα. καὶ ὁ Πέτρος νομίσας αὐτὴν ἀληθεύειν ἔφη· οἴμοι γύναι, ἐνόμιζον μεγάλην τινὰ χαρὰν τὴν σήμερον ἄγειν ἡμέραν, ὑποπτεύσας σέ τινα εἶναι, ἣν ἐνόμιζον, ἧς τὰ πράγματα ἀκούσας ἀκριβῶς ἐπίσταμαι. ἡ δὲ ἐξώρκιζε λέγουσα· δέομαι εἰπέ μοι, ἵνα εἰδῶ εἴ ἐστί τις ἐν γυναιξὶν ἀθλιωτέρα ἐμοῦ.

XX. Καὶ ὁ Πέτρος ψεύδεσθαι οὐκ εἰδὼς ὑπὸ ἐλέους τοῦ πρὸς αὐτὴν τὸ ἀληθὲς λέγειν ἤρξατο· ἐμοί τις λοιπὸν ἤδη[1] νεανίας ὢν παρέπεται, τῶν τῆς θεοσεβείας ὀρεγόμενος λόγων, Ῥωμαίων ὑπάρχων πολίτης, ὅστις μοι διηγήσατο[2], πῶς πατέρα ἔχων καὶ ἀδελφοὺς δύο διδύμους οὐδένα τούτων ὁρᾷ. ἤ τε γὰρ μήτηρ, φησίν, ὡς ὁ πατὴρ διηγεῖτό μοι[3], ὄνειρον ἰδοῦσα τὴν Ῥωμαίων πόλιν ἐπὶ χρόνον τινὰ ἐξῆλθεν μετὰ τῶν διδύμων αὐτῆς

debatur. Et ego superveniens: dudum, inquam, per omnia loca discurrens quaerebam te: et nunc, quid agimus? At Petrus praecepit mihi, ut ad naviculum praecederem, ibique illum opperirer. Et quia contradici ei imperanti non poterat, quod jussit feci. Ipse vero, sicut mihi cuncta posterius enarravit, suspicione quadam exigua corde pulsatus interrogabat mulierem, dicens: refer mihi, femina, genus et civitatem ac filiorum nomina, et jam medicamentum tibi do. At illa vim sustinens neque volens referre et medicamenti accipiendi cupida finxit alia pro aliis, et ait, se quidem esse Ephesiam, virum autem Siculum, sed et filiorum nomina similiter immutavit. Tum Petrus, existimans eam verum proferre, ait: heu mulier, putabam grande aliquod gaudium hodierno die me apportaturum, suspicabar enim te esse quamdam mulierem, quam sentiebam, cujusque res audivi et probe novi. At illa adjurabat, dicens, rogo mihi referas, ut sciam, an sit ulla inter mulieres me infelicior.

XX. Tum Petrus mentiri nesciens prae miseratione erga illam verum coepit dicere: est sane quidam adolescens, sectator meus, piorum religiosorumque sermonum cupidus et Romanus civis, qui mihi narravit, quod patrem habuerit et duos geminos fratres, ex quibus nullus ei compareat. Nam mater, inquit, sicut mihi edisseruit pater, somnio viso Romana urbe ad tempus excessit cum

1. ἤδη om. O.
2. διηγεῖται C.
3. Vbb. διηγεῖτό μοι non sunt in O.

www.libtool.com.cn

τέκνων, ἵνα μὴ κακῷ μοιρῳ τελευτήσῃ, καὶ σὺν αὐτοῖς ἐκβᾶσα οὐχ εὑρίσκεται. ὁ δὲ ταύτης μὲν ἀνήρ, αὐτοῦ δὲ πατήρ, καὶ αὐτὸς εἰς ἐπιζήτησιν αὐτῆς ἐκβὰς [1] οὐχ εὑρίσκεται.

XXI. Ταῦτα τοῦ Πέτρου εἰπόντος ἐπιστήσασα ὡς ὑπ' ἐκπλήξεως ἀπέψυξεν ἡ γυνή. ὁ δὲ Πέτρος προσελθὼν καὶ ἐπισχὼν νήφειν αὐτὴν παρεκελεύσατο, ὁμολογεῖν αὐτὴν πείθων τί ποτέ ἐστιν ὃ πάσχει. ἡ δὲ ὥσπερ ἐκ μέθης τὸ λοιπὸν τοῦ σώματος παρεθεῖσα ὑπέστρεψεν [2] ἑαυτὴν, ὑποστῆναι δυνηθεῖσα [3] τὸ μέγεθος τῆς ἐλπιζομένης χαρᾶς, καὶ τρίψασα αὐτῆς τὸ πρόσωπον· ποῦ ἔστιν, ἔφη, οὗτος ὁ νεανίας; ὁ δὲ ἤδη ὅλον συνιδὼν τὸ πρᾶγμα ἔφη· εἰπέ μοι σὺ πρῶτον, ἄλλως γὰρ τοῦτον ἰδεῖν οὐκ ἔχεις. ἡ δὲ σπεύδουσα [4]· ἐγὼ, φησίν, εἰμὶ ἡ τοῦ νεανίσκου μήτηρ. καὶ ὁ Πέτρος ἔφη· τί τούτῳ ὄνομα; ἡ δέ φησιν, Κλήμης. καὶ ὁ Πέτρος εἶπεν· αὐτός ἐστιν, καὶ αὐτὸς ἦν ὁ πρὸ μικροῦ μοι λαλήσας, ᾧ ἀναμένειν με ἐν τῷ πλοίῳ προσέταξα. ἡ δὲ προσπεσοῦσα τῷ Πέτρῳ παρεκάλει σπεύδειν ἐπὶ τὸ πλοῖον ἐλθεῖν. καὶ ὁ Πέτρος· εἴ μοι τηρεῖς τὰς συνθήκας, καὶ τοῦτο ποιήσω. ἡ δὲ ἔφη· πάντα ποιῶ, μόνον μοι τὸ τέκνον τὸ μονογενὲς δεῖξον. δόξω γὰρ δι' αὐτοῦ τὰ δύο μου τὰ ἐνταῦθα τεθνηκότα ὁρᾶν τέκνα. καὶ ὁ Πέτρος ἔφη· ὅταν αὐτὸν ἴδῃς, ἡσύχασον μέχρις ἂν τῆς νήσου ἐκβῶμεν. ἡ δὲ ἔφη· οὕτως ποιήσω.

geminis suis natis, ne misera morte interiret, atque cum illis egressa non invenitur. Vir autem illius, hujus vero pater, et ipse ad quaerendam eam profectus nequaquam reperitur.

XXI. Haec cum dixisset Petrus, mulier, quae animum intenderat, stupore exanimata est. Tum Petrus, accedens eamque tenens, ad se rediret hortatus est, suasitque ut fateretur quidnam esset quod ei contigerat. Illa vero, velut ex ebrietate toto corpore resoluta, quo posset magnitudinem sperati gaudii sustinere, semetipsam reparavit: simulque adfricans vultum, ubi est, inquit, ille adolescens? At Petrus jam intelligens rem totam: dic, inquit, mihi tu prior, aliter enim eum non videbis. Tum illa festinans ait: ego sum adolescentis mater. Et Petrus: quod ei nomen est? Illa vero, Clemens, ait. Petrus: ipse est et ipse erat qui paulo ante mecum loquebatur, quem jussi me in navi exspectare. Tunc illa procidens ad pedes Petri rogabat, ut ad navem festine procederet. Petrus autem: si mihi, inquit, servas fidem, hoc quoque agam. At illa respondit: omnia faciam, tantum mihi ostende unicum meum natum. Putabo enim per ipsum geminos meos liberos, qui hic mortui sunt, videre. Ac Petrus dixit: cum videris eum, quieta mane, usque quo egrediamur ab insula. Illa excepit: sic faciam.

1. Ante ἐκβὰς in O est ἔκβασον expunctum.
2. ὑπέστρεφεν O.
3. δυνηθῆναι C perperam.
4. Vocab. ἡ δὲ σπεύδουσα des. in O.

www.libtool.com.cn

XXII. Λαβόμενος οὖν τῆς χειρὸς αὐτῆς ὁ Πέτρος ἦγεν[1] ἐπὶ τὸ πλοῖον. ἐγὼ δὲ ἰδὼν αὐτὸν χειραγωγοῦντα γυναῖκα ἐγέλασα, καὶ προσελθών, εἰς τιμὴν αὐτοῦ, ἀντ' αὐτοῦ χειραγωγεῖν αὐτὴν ἐπειρώμην. καὶ ἅμα τῷ ἅψασθαί με τῆς χειρὸς αὐτῆς ὀλολύξασα ὡς μήτηρ μέγα καὶ περιπλακεῖσα σφόδρα κατεφίλει με τὸν υἱὸν αὐτῆς[2]. ἐγὼ δὲ ἀγνοῶν ὅλον τὸ πρᾶγμα ὡς μαινομένην ἀπεσειόμην, αἰδούμενος δὲ καὶ τὸν Πέτρον ἐπικραινόμην.

XXIII. Ὁ δὲ Πέτρος ἔφη· ἔα, τί ποιεῖς τέκνον Κλήμιης, ἀποσειόμενος τὴν σὴν ὄντως τεκοῦσαν; ἐγὼ δὲ τοῦτο ἀκούσας περίδακρυς γενόμενος καὶ καταπεσούσῃ τῇ τεκούσῃ προσπεσὼν κατεφίλουν. καὶ γὰρ ἅμα τῷ ῥηθῆναί μοι τοῦτο ἀμαυρῶς[3] πως τὸ εἶδος ἀνεκαλούμην. πολλοὶ μὲν οὖν ὄχλοι συνέτρεχον ἱστορῆσαι τὴν προσαιτήτριαν γυναῖκα, λέγοντες ἀλλήλοις, ὅτι αὐτὴν ἐπέγνω ὁ υἱός, ἀνὴρ ἀξιόλογος. βουλομένοις οὖν ἡμῖν ἐξαυτῆς σὺν τῇ μητρὶ τῆς νήσου ἐκβαίνειν ἡ μήτηρ ἔφη· τέκνον μοι ποθεινόν, εὔλογόν ἐστιν ἀποτάξασθαι τῇ ὑποδεξαμένῃ με γυναικί, ἥτις πενιχρὰ οὖσα καὶ ὅλη παρειμένη ἐπὶ τῆς οἰκίας ἔρριπται. ὁ δὲ Πέτρος ἀκούσας ἐθαύμασεν[4], καὶ πάντες οἱ περιεστῶτες ὄχλοι, τῆς γυναικὸς τὸ ἀγαθὸν φρόνημα. καὶ εὐθέως ἐκέλευσεν ὁ Πέτρος τισὶ πορευθῆναι καὶ τὴν γυναῖκα ἐπὶ κλίνης κομίσαι. καὶ ὁμῶς ἐνεχθείσης καὶ τεθείσης τῆς κλίνης, πάντων τῶν ὄχλων ἀκουόντων, ἔφη ὁ Πέτρος· εἰ ἀληθείας κήρυξ ἐγὼ τυγχάνω, εἰς τὴν τῶν παρεστώτων πίστιν, ἵνα γνῶσιν ὅτι εἷς ἐστὶν Θεός, ὁ τὸν κόσμον

XXII. Et accepta manu ejus Petrus ducebat eam ad navem. Quem ego videns manu ducere mulierem risi: accedens tamen, honoris erga eum gratia, pro ipso manu illam ducere coepi. Simul autem ac manum ejus contigi, ut mater, ululatu ingenti reddito, in amplexus meos irruit meque filium suum vehementer deosculata est. At ego ignorans omne negotium quasi insanientem repellebam: sed et reveritus Petrum me coercui.

XXIII. Tum Petrus dixit: eheu, quid agis fili Clemens, repellis eam quae vere mater tua est? Ego vero, ubi hoc audivi, lacrymis obortis concidi supra jacentem matrem et osculabar eam. Simul enim ac id mihi dictum fuit, subobscure genitricis formam revocabam. Multitudo interim concurrebat plurima ad videndam mendicam mulierem; dicebantque mutuo, agnovit eam filius, vir eximius. Itaque cum vellemus confestim cum matre ex insula exire, mater ait: fili mihi exoptate, aequum est ut vale dicam mulieri quae me suscepit, quae egens et tota paralytica domi jacet. His auditis Petrus et omnes, qui plurimi aderant, admirati sunt bonum feminae consilium. Et continuo jussit Petrus abire quosdam, ac deferre mulierem in lectulo. Cumque fuisset allata, positusque fuisset lectus, cuncta plebe audiente Petrus ait: si veritatis ego sum praeco, ad fidem eorum qui adsistunt, ut sciant unum esse Deum opificem

1. ἦγεν O et Epit. c. 90, ἤγειρεν C.
2. αὐτῆς υἱόν C.
3. Ita O c. S, ἀμαυράσας C, qui in marg. conj. ἀμαυρῶς ἄν vel ἀμαυρῶσαν.
4. ἐθαύμαζεν C.

www.libtool.com.cn

ποιήσας, ἐξαυτῆς ἐγερθήτω ὑγιής. καὶ ἅμα τῷ εἰπεῖν Πέτρον ταῦτα ἡ γυνὴ ἠγέρθη ὑγιασθεῖσα, καὶ τῷ Πέτρῳ προσέπεσεν, καὶ τὴν συνήθη φίλην καταφιλήσασα ἐπυνθάνετο τί εἴη τοῦτο. ἡ δὲ ὅλον αὐτῇ [1] τὸ πρᾶγμα τοῦ ἀναγνωρισμοῦ συντόμως διηγήσατο, καὶ οἱ ἀκούσαντες κατεπλάγησαν. τότε καὶ ἡ μήτηρ τὴν ξενοδόχον θεραπευθεῖσαν θεωρήρασα [2] παρεκάλει καὶ αὐτὴ ἰάσεως τυχεῖν. ὁ δὲ ἐπιθεὶς τὴν χεῖρα καὶ αὐτὴν ἐθεράπευσεν.

XXIV. Καὶ εἰθ' οὕτως ὁ Πέτρος περὶ Θεοῦ καὶ τῆς αὐτῷ διαφερούσης θρησκείας ὁμιλήσας, προσθεὶς ἐπὶ τέλει, ὅτι εἴ τις βούλεται ταῦτα ἀκριβῶς μαθεῖν, εἰς Ἀντιόχειαν, ὅπου πλειόνων ἡμερῶν περιμένειν ἔκρινα, ἐλθὼν τὰ πρὸς τὴν αὐτοῦ σωτηρίαν μανθανέτω. οὐ γὰρ δὴ εἰ [3] ἐμπορίας ἕνεκα ἢ στρατείας πατρίδας καταλιμπάνειν οἴδατε καὶ εἰς μακρούς ἀπέρχεσθαι τόπους, διὰ δὲ αἰώνιον σωτηρίαν μηδὲ τριῶν ἡμερῶν ὁδὸν πορευθῆναι θελήσετε [4]. μετὰ μὲν οὖν τὴν προσομιλίαν Πέτρου ἐγὼ τῇ ὑγιασθείσῃ γυναικὶ ἐπὶ παντὸς τοῦ ὄχλου χιλίας δραχμὰς εἰς τροφὰς ἐδωρησάμην, παραθέμενος αὐτὴν ἀγαθῷ τινι ἀνδρί, πρώτῳ τῆς πόλεως ὄντι, φύσει μετὰ χαρᾶς τοῦτο ποιεῖν προῃρημένῳ. ἔτι δὲ καὶ ἄλλαις πολλαῖς [5] ἀργύρια διανείμας, ταῖς ποτὲ τὴν μητέρα παραμυθησαμέναις εὐχαριστή-

mundi, surgat continuo sana. Et statim ut haec dixisset Petrus, mulier surrexit sanata et procidit ad pedes Petri, atque amicam suam ac familiarem osculata percontabatur quid istud esset. At illa breviter omne ei recognitionis negotium exposuit, et qui audierunt obstupefacti sunt. Tuncque mater hospitem curatam videns rogavit, ut ipsa quoque sanitatem acciperet. Ille autem manu imposita ipsam etiam curavit.

XXIV. Sicque postea Petrus de Deo ac de Dei religione sermonem habuit et in fine addidit: si quis haec vult diligenter cognoscere, Antiochiam, ubi per multos dies residere statui, veniens, quae ad salutem suam pertinent discat. Non enim, qui negotiandi aut militandi causa patriam relinquere soletis et ad loca multum dissita abire, propter aeternam salutem vel trium dierum iter suscipere noletis. Itaque post Petri concionem ego mulieri, quae sanata fuerat, coram omni populo mille drachmas ad victum dedi et commendavi eam cuidam bono viro, primario oppidi, qui sponte id cum gaudio facere proposuit. Sed et aliis multis pecuniam distribui, gratiasque egi illis mulieribus, quae matri quondam solatium praebuerant: et post haec una cum matre,

1. αὐτῆς O.
2. ἱστορήσασα C.
3. εἰ addidit S de conjectura, εἰ γὰρ δὴ Cod. Reg. 804, εἰ γὰρ Epit. Subinde ἐμπορείας O. Tum στρατηγίας p. στρατείας idem.
4. Ita S, θέλειν uterque Hom. Cod., θέλετε Cod. Reg. 804, προθυμήσεσθε Epit.
5. ἄλλοις πολλοῖς C.

www.libtool.com.cn

σας, διεπλεύσα εἰς Ἀνταράδον, ἅμα τῇ μητρὶ καὶ Πέτρῳ καὶ τοῖς λοιποῖς ἑταίροις[1]· καὶ οὕτως εἰς τὴν ξενίαν ὡρμήσαμεν.

XXV. Ἡνομένων δὲ ἡμῶν[2] καὶ τροφῆς μεταλαβόντων καὶ συνήθως εὐχαριστησάντων, ἔτι ὥρας οὔσης ἔφην ἐγὼ[3] τῷ Πέτρῳ· φιλανθρωπίας ἔργον, κύριέ μου Πέτρε, ἡ ἐμὴ ἐποίησε μήτηρ, τῆς ξενοδόχου ὑπομνησθεῖσα γυναικός. καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἆρα γε, ὦ Κλήμης, ἀληθῶς νενόμικας φιλανθρωπίας ἔργον πεποιηκέναι τὴν σὴν τεκοῦσαν, καθ' ὃ τὴν ἀπὸ ναυαγίου[4] αὐτὴν ὑποδεξαμένην ἠμείψατο, ἢ ὡς μητρὶ μεγάλα[5] χαριζόμενος τοῦτον εἴρηκας τὸν λόγον; εἰ δὲ οὐχ ὡς χαριζόμενος, ἀλλ' εἰς ἀληθεύων ἔφης, ἔοικάς μοι ἀγνοεῖν τί πότ' ἐστι[6] φιλανθρωπίας μέγεθος, ἥτις ἐστὶν ἡ ἄνευ τοῦ φυσικῶς πείθοντος, ἢ[7] πρὸς οἷον δή ποτε στοργήν, καθ' ὃ ἄνθρωπός ἐστιν. ἀλλ' οὐδὲ τὴν ξενοδόχον τὴν ἀπὸ ναυφραγίου ὑποδεξαμένην[8] τὴν σὴν τεκοῦσαν οὔπω φιλάνθρωπον εἰπεῖν τολμῶ. ὑπ' εἰλὼν γὰρ κολακευθεῖσα ἐπέπεισετο[9] εὐεργέτις γενέσθαι γυναικὸς ναυαγίῳ περιπεσούσης, τέκνα πενθούσης, ξένης, γυμνῆς, μεμονωμένης[10] καὶ σφόδρα ἐπὶ ταῖς συμφοραῖς ὀλοφυρομένης. ἐν τοσαύταις οὖν αὐτῆς συμφοραῖς[11] οὔσης, τίς καὶ ἀσεβῶν ἰδὼν οὐκ ἂν ἠλέησεν; ὥστε οὔπω φιλανθρωπίαν

Petro, caeterisque sodalibus Antaradum enavigavi, atque ita ad hospitium processimus.

XXV. Ubi cum essemus et sumpsissemus cibum ac de more gratias egissemus, atque adhuc tempus superesset, ego dixi Petro: humanitatis opus, domine mi Petre, exercuit mea mater, quae hospitae mulieris recordata fuerit. Respondit Petrus: itane, o Clemens, vere existimasti, humanitatis opus factum a tua genetrice, quando ei quae ipsam ex naufragio receperat gratiam retulit: an ut matri plurimum gratificareris, hunc dixisti sermonem? Si enim non ut rem gratam faceres, sed ut veritatem loquereris, effatus es, videris mihi ignorare quaenam sit magnitudo humanitatis, quae est amor in quemlibet, quatenus hominem, et absque ullo naturali affectu. Sed nec hospitem, quae matrem tuam e naufragio suscepit, ausim hominum amantem appellare. Misericordia enim commota, impulsa est ad bene faciendum mulieri naufragium passae, natos lugenti, peregrinae, nudae, destitutae, multumque calamitates suas lamentanti. In tantis ergo adversitatibus versantem quis videns, etiam ex im-

1. Ita O c. Epit., ἑτέροις C.
2. Epit. addit ἐπὶ τὸ αὐτό.
3. Ab his verbis usque ad ista ποῖα δ' οὐκ ἦν [infra c. 28] proferuntur a Nicone Monacho Palaestino in Pandecte interpretationum divinorum mandatorum Serm. 24 et 39, cum hoc titulo τὰ Κλημέντια et ἐκ τῶν Κλημεντίων. Ornat Bibliothecam Regiam optimus liber etc. etc. C.
4. ναυφραγίου C.
5. μεγάλῳ O.
6. ποτέ ἐστι C.
7. ἢ om. O.
8. ὑποδεξαμένην O.
9. πέπειστο O, qui subinde scr. εὐεργέτης. Tum ναυφραγίῳ C.
10. μεμονομένης O.
11. Voc. ὀλοφυρομένης. ἐν τοσαύταις οὖν αὐτῆς συμφοραῖς non extant in O.

www.libtool.com.cn

ἔργον πεποιηκυῖα φαίνεται οὐδὲ ἡ ξενοδόχος γυνή, ἀλλὰ ὑπ'[1] ἐλέου τοῦ ἐπὶ μυρίαις συμφοραῖς πρὸς εὐεργεσίας κεκινημένη[2]· πόσῳ γε μᾶλλον ἡ σὴ τεκοῦσα, βίου εὐπορήσασα καὶ τὴν[3] ξενοδόχον ἀμειψαμένη, φιλανθρωπίας ἔργον οὐκ ἐποίησεν, ἀλλὰ φιλίας; πολλὴ δὲ διαφορὰ μεταξὺ φιλίας καὶ φιλανθρωπίας, ὅτι ἡ μὲν φιλία ἐξ ἀμοιβῆς γίνεται, ἡ δὲ φιλανθρωπία ἄνευ τοῦ φυσικῶς πείθοντος πάντα ἄνθρωπον, καθὸ ἄνθρωπός ἐστι, φιλοῦσα εὐεργετεῖ. εἰ μὲν οὖν ἡ ἐλεήσασα ξενοδόχος καὶ ἐχθροὺς ἀδικήσαντας ἐλεοῦσα[4] εὐεργετεῖ[5], φιλάνθρωπος ἂν ἦν· εἰ δὲ[6] διά τι φίλη ἢ ἐχθρά, καὶ διά τι ἐχθρὰ ἢ φίλη, ἡ[7] τοιαύτη τοῦ τινὸς αἰτίου φίλη ἐστὶν ἢ ἐχθρά, οὐ τοῦ ἀνθρώπου.

XXVI. Κἀγὼ ἀπεκρινάμην· οὐ δοκεῖ σοι οὖν φιλάνθρωπος εἶναι κἂν ἡ ξενοδόχος. ξένην ἣν οὐκ ἠπίστατο εὐεργετήσασα; καὶ ὁ Πέτρος· ἐλεήμονα μὲν αὐτὴν εἰπεῖν ἐπίσταμαι, φιλάνθρωπον δὲ οὐ τολμῶ λέγειν, ἅτε δὴ οὖσα τὴν τεκοῦσαν φιλότεκνον· ὑπ' ὠδίνων γὰρ καὶ ἀνατροφῆς στέργειν πέπεισται. ὡς καὶ ὁ ἐρῶν ὑπὸ τῆς συνηθείας κολακεύεται καὶ εὐνῆς[8], καὶ ὁ φίλος ὑπὸ τῆς ἀμοιβῆς, οὕτω καὶ ὁ ἐλεῶν ὑπὸ τῆς συμφορᾶς. πλὴν ἐγγὺς ὁ ἐλεήμων τῷ φιλανθρώπῳ, ὅτι ἄνευ τοῦ τι θηρᾶσθαι λαβεῖν

piis, non miseratus fuisset? Quare nequaquam humanitatis opus nec mulier hospita videtur peregisse, sed ad benefaciendum mota fuisse misericordia ex plurimis adversis orta. Quanto magis parens tua, facultatibus abundans et hospitam remunerata, non humanitatis opus effecit, verum caritatis seu amicitiae? Multa autem intercedit differentia inter caritatem et humanitatem, quia caritas quidem ex remuneratione est, humanitas vero absque ulla naturali propensione hominem omnem, quia homo est, diligit ac beneficiis afficit. Itaque si hospes, quae miserta est, etiam hostes male de ea meritos miserata beneficio afficeret, humana esset: sin vero propter quid amica est vel inimica et propter quid inimica vel amica, haec alicujus rei, quae causa sit, amica est vel inimica, non autem hominis.

XXVI. Et ego respondi: non ergo tibi videtur esse humana saltem hospes, quae in peregrinam quam non noverat beneficium contulit? Tum Petrus: eam quidem misericordem appellare novi, hominum autem amantem non audeo dicere, quandoquidem nec matrem amantem liberorum, quippe quae a partus doloribus et ab educatione ad diligendum compulsa sit. Nam sicut qui cupidine inflammatur, a consuetudine mulcetur et concubitu, qui amore seu amicitia prosequitur, a remuneratione: ita et qui miseretur, a calamitate. Atta-

1. ὑπ' O c. S, ὑπὸ C.
2. Ita Epit., κεκινημένον C, κεκινημένης O.
3. τὴν praetermisit S c. Cl.
4. ἐλεῶσα C.
5. εὐεργέτει S.
6. εἰ δὲ Epit., εἰ δὴ C, ἢ δὲ O. Tum διότι p. διά τι Epit., quod praeferendum.
7. ἡ assumpsi ex O.
8. In O expungitur ἐν ante εὐνῆς.

www.libtool.com.cn

πείθεται. πλὴν οὔπω φιλάνθρωπός ἐστιν. κἀγὼ ἔφην· ἐπὶ ποίαις οὖν πράξεσι φιλάνθρωπος εἶναί τις δύναται; καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἐπεὶ ὁρῶ σε γλιχόμενον ἀκοῦσαι, τί πότ' ἐστι [1] φιλανθρωπίας ἔργον, οὐκ ὀκνήσω λέγειν. φιλάνθρωπός ἐστιν ὁ καὶ ἐχθροὺς εὐεργετῶν. ὅτι δὲ οὕτως ἔχει ἄκουσον. φιλανθρωπία ἐστὶν ἀρρενόθηλυς, ἧς τὸ θῆλυ μέρος ἐλεημοσύνη λέγεται, τὸ δὲ ἄρρεν αὐτῆς ἀγάπη πρὸς τὸν πλησίον ὠνόμασται, πλησίον δὲ ἀνθρώπῳ ἐστὶν ὁ πᾶς ἄνθρωπος, οὐχ ὅτις [2] ἄνθρωπος, ἄνθρωπος γάρ ἐστι καὶ ὁ κακὸς καὶ ὁ ἀγαθὸς καὶ ὁ ἐχθρὸς καὶ ὁ φίλος. χρὴ οὖν τὸν φιλανθρωπίαν ἀσκοῦντα μιμητὴν εἶναι τοῦ Θεοῦ, εὐεργετοῦντα δικαίους καὶ ἀδίκους, ὡς αὐτὸς ὁ Θεὸς πᾶσιν ἐν τῷ νῦν κόσμῳ τόν τε ἥλιον [3] καὶ τοὺς ὑετοὺς αὐτοῦ παρέχων [4]. εἰ δὲ θέλεις ἀγαθοὺς μὲν εὐεργετεῖν, κακοὺς δὲ μηκέτι, ἢ καὶ κολάζειν, κριτοῦ τὸ ἔργον πράττειν ἐπιχειρεῖς [5], οὐ τὸ τῆς φιλανθρωπίας σπουδάζεις ἔχειν.

XXVII. Κἀγὼ ἔφην· ἄρα γε καὶ ὁ Θεὸς μέλλων ποτὲ [6] κρίνειν, ὡς διδάσκεις ἡμᾶς [7], οὐ φιλάνθρωπός ἐστιν; καὶ ὁ Πέτρος· τοὐναντίον λέγεις. ἐπεὶ γὰρ κρινεῖ [8], διὰ τοῦτο φιλάνθρωπός ἐστιν. φιλῶν γὰρ καὶ ἐλεῶν τοὺς ἠδικημένους, τιμωρεῖ [9] τοὺς ἠδικηκότας. κἀγὼ ἔφην· οὐκ οὖν, εἰ κἀγὼ ἀγαθοὺς μὲν εὐεργετῶ, τοὺς δὲ ἀδικοῦντας καθ' ὧν ἀνθρώπους ἠδίκησαν τι-

men misericors humano vicinus est, quoniam absque muneris ullius captatione ad praestandum beneficium fertur. Nondum tamen humanus est. Et ego dixi: ob quas igitur actiones humanus quis esse potest? Respondit Petrus: quia video te cupidum audiendi, quodnam sit humanitatis officium, non pigebit dicere. Humanus est, qui etiam inimicis bene facit. Quod autem ita habeat, audi. Humanitas est masculofemina, cujus feminea pars misericordia dicitur, quod vero in illa est masculum, dilectio erga proximum nominatur, proximus autem homini est quilibet homo, et non hic vel iste homo: homo enim est etiam malus et bonus, hostis pariter ac amicus. Oportet ergo eum qui humanitatem colit, imitatorem Dei esse, et de justis atque injustis bene mereri, sicut ipse Deus cunctis in hoc mundo solem imbresque suos praebet. Quod si velis bonis quidem benefacere, non autem malis, vel hos punire, judicis munus implere niteris, non vero habere humanitatem conaris.

XXVII. Et ego dixi: igitur Deus, qui aliquando judicaturus est, ut nos doces, non est humanus? Ac Petrus: pugnantia loqueris. Nam quia judicabit, ideo humanus est. Diligens enim ac miseratus injuria affectos, plectit eos qui injuriam intulerunt. Et ego: itaque, inquam, si ipse bonis benefacio et inju-

1. *ποτέ ἐστιν* C.
2. *ὅτι εἷς* p. *ὅτις* C.
3. Matth. 5, 45.
4. Nonnulli Epitomes Codd. *παρέχει*, ut legendum censet D. Tum *θέλῃς* C.
5. *ἐπιχειρεῖς πράττειν* C.
6. Ita Epit. 95, *τότε* uterque Hom. Cod.
7. *ἡμᾶς* om. O.
8. *κρίνει* C.
9. *τιμορεῖται* O, ultimis tribus litteris subnotatis. Vbb. *τοὺς ἠδικηκότας εὐεργετῶ* in eodem desunt.

www.libtool.com.cn

μωρῶ, φιλάνθρωπός εἰμι; καὶ ὁ Πέτρος ἀπεκρίνατο· εἰ μετὰ τοῦ πρόγνωσιν[1] ἔχειν εἶχες καὶ τοῦ κρίνειν ἐξουσίαν, ὀρθῶς ἂν τοῦτο ἐποίεις, διὰ μὲν τὸ εἰληφέναι τὴν ἐξουσίαν, καταδικάζων οὕς ὁ Θεὸς ἐδημιούργησε, διὰ δὲ τὴν πρόγνωσιν, ἀπταίστως ἐν τῷ κρίνειν οὕς μὲν ὡς δικαίους δικαιῶν, οὕς δὲ ὡς ἀδίκους καταδικάζων. κἀγὼ ἔφην· ὀρθῶς ἔφης καὶ ἀληθῶς, ἀδύνατον γάρ τινα πρόγνωσιν οὐκ ἔχοντα ὀρθῶς κρῖναι. ἐνίοτε γὰρ φαίνονται τινες ἀγαθοί, ἀθέμιτα κρύφα διαπρασσόμενοι, ἔνιοι δὲ ἀγαθοὶ ὑπὸ διαβολῆς ἐχθρῶν κακοὶ ὑπολαμβανόμενοι. ἀλλ' εἰ καὶ τοῦ βασανίζειν καὶ ἀνακρίνειν ἐξουσίαν τις ἔχων δικάζει, οὐδὲ οὕτως τὸ πάντως δικαίως αὐτῷ δικάσαι ἐγίνετο. ἔνιοι γὰρ φονεῖς ὄντες τὰς βασάνους ὑπομείναντες ὡς ἀθῷοι ἀπελύθησαν, ἕτεροι δὲ ἀθῷοι ὄντες[2] τὰς βασάνους μὴ ὑπομείναντες, ἑαυτῶν καταψευσάμενοι, ὡς αἴτιοι ἐκολάσθησαν.

XXVIII. Καὶ ὁ Πέτρος· μετρίως, ἔφη, ἔχει καὶ ταῦτα, τὸ δὲ μεῖζον ἄκουσον. ἐνίων ἀνθρώπων ἁμαρτανόντων ἢ εὐπραττόντων, ὧν νῦν[3] ποιοῦσιν ἃ μὲν ἴδια αὐτῶν ἐστίν, ἃ δὲ ἀλλότρια, δίκαιον δὲ ἕκαστον ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασι τιμωρεῖσθαι ἢ ἐπὶ τοῖς ἰδίοις κατορθώμασιν εὐεργετεῖσθαι. ἀδύνατον δέ τινι πλὴν προφήτῃ μόνῳ πρόγνωσιν ἔχοντι τὰ[4]

riosos quia injurii erga homines fuerunt castigo, humanus sum. Et Petrus respondit: si una cum praenotione haberes quoque judicandi potestatem, recte id faceres, per acceptam quidem potestatem condemnans eos quos Deus creavit, per praenotionem vero, inculpate in judicando tum alios tamquam justos absolvens, tum alios tamquam injustos damnans. Et ego dixi: recte locutus es ac vere, fieri enim nequit, ut qui praenotione caret, recte judicet. Interdum quippe nonnulli videntur boni, qui illicita clam perpetrant, nonnulli vero boni hostium calumnia mali esse creduntur. Sed et si quis potestate torquendi praeditus judicet, neque sic juste omnino habebit judicare. Quidam enim homicidae, quaestionis tormenta perferentes, dimissi sunt velut innoxii, alii vero, qui erant innocentes, cum tormenta ferre non potuissent, contra se mentiti velut rei supplicio affecti sunt.

XXVIII. Tum Petrus: atque haec, inquit, modica sunt, audi vero majus. Cum aliqui homines peccant vel bene agunt, eorum quae nunc operantur alia quidem ipsorum propria sunt, alia vero aliena, aequum autem est unumquemque pro delictis propriis dare poenas, aut pro meritis propriis mercedem ferre. Fieri autem nequit, ut quispiam, nisi solus propheta praenotionem habens, ab

1. *πρόγνωσις* hoc loco non est „praenotio", ut vertit C, sed cognitio praeteritorum, *τῶν πρότερον γεγονότων γνῶσις*. Cl. ad Epit. c. 95. *Πρόγνωσις* significat (coll. c. 38) scientiam absolutam, qualem habet verus propheta, qui est *ὁ πάντα πάντοτε εἰδώς*, coll. Hom. II, 5. III, 11. S.

2. Vbb. *τὰς βασάνους ἀθῷοι ὄντες* desiderantur in O.

3. *νῦν* om O c. Cod. Reg. 804 et Epit.

4. *ἔχοι τα* p. *ἔχοντι τὰ* O.

www.libtool.com.cn

ὑπό τινος γινόμενα εἰδέναι, ποῖά ἐστιν αὐτοῦ ἴδια, ποῖα δὲ οὔκ ἦν· πάντα γὰρ δι' αὐτοῦ γινόμενα βλέπεται. κἀγὼ ἔφην· ἐβουλόμην μαθεῖν πῶς τῶν ἀδικημάτων ἢ κατορθωμάτων ἃ μὲν ἴδια, ἃ δὲ ἀλλότρια.

XXIX. Καὶ ὁ Πέτρος ἀπεκρίνατο, ὅτι ὁ τῆς[1] ἀληθείας προφήτης ἔφη[2]· τὰ ἀγαθὰ ἐλθεῖν δεῖ, μακάριος δέ, φησί, δι' οὗ ἔρχεται· ὁμοίως καὶ τὰ κακὰ ἀνάγκη ἐλθεῖν, οὐαὶ δὲ δι' οὗ ἔρχεται. εἰ δὲ διὰ κακῶν κακὰ ἔρχεται, καὶ διὰ ἀγαθῶν ἀγαθὰ φέρεται, προσεῖναι δεῖ ἑκάστῳ τὸ ἴδιον, τὸ ἀγαθὸν εἶναι[3] ἢ κακόν, καὶ ἐξ ὧν προέπραξεν, διὰ τοῦ[4] ἐλθεῖν τὰ δεύτερα ἀγαθὰ ἢ κακά, ἅ τινα ἴδια αὐτοῦ τῆς αἱρέσεως ὄντα ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας διελθεῖν[5] ᾠκονόμηται. ἐπεὶ[6] κρίσις αὕτη Θεῷ, ὥσπερ ἐπ' ἀγῶνος τὸν διὰ πάσης κακουχίας διεληλυθότα καὶ ἄμεμπτον εὑρεθέντα, ἐκεῖνον ζωῆς αἰωνίου καταξιοῦσθαι οἱ γὰρ ἐν ἀγαθοῖς ἰδίᾳ βουλῇ προκόψαντες ὑπὸ τῶν ἰδίᾳ βουλῇ ἐν κακίᾳ[7] παραμεινάντων πειράζονται, διωκόμενοι, μισούμενοι, λοιδορούμενοι, ἐπιβουλευόμενοι, τυπτόμενοι, πλεονεκτούμενοι, διαβαλλόμενοι[8], ἀγγαρευόμενοι, ἐπηρεαζόμενοι, πάντα ἐκεῖνα πάσχοντες, δι' ὧν εὐλόγως δοκεῖ τὸ ὀργίζεσθαι γίνεσθαι[9] καὶ πρὸς ἄμυναν ὁρμᾶν.

aliquo gesta sciat, quaenam ejus propria sint et quaenam non sint. Videt enim cuncta quae fiunt. Et ego: vellem, inquam, audire, quo modo ex criminibus aut bonis operibus alia quidem sunt propria, alia vero aliena.

XXIX. Respondit Petrus: veritatis propheta dixit: *oportet ut veniant bona. Beatus autem*, inquit, *per quem veniunt. Similiter necesse est, ut etiam veniant mala: vae autem illi per quem veniunt.* Porro si per malos veniunt mala et per bonos bona inferuntur, ut proprium unicuique inesse debet bonum vel malum, et ex iis quae prius operatus est; quod veniunt secunda bona vel mala, quae, cum a propria hominis sint voluntate, ut exoriantur, divina instituit providentia. Itaque hoc est Dei judicium, ut qui per omnem vexationem, velut in agone, transierit et inventus fuerit inculpatus, is donetur vita aeterna. Nam qui in bonis propria voluntate profecerunt, ab iis qui sua quoque voluntate in mala tractatione perseverant, tentantur, exagitantur, odia, convicia, insidias, verbera, fraudes, calumnias, vim patiuntur, afficiuntur contumeliis, cunctaque illa perferunt, per quae justa videtur esse ira et ultio.

1. *ὁ τῆς* adjunxi ex O.

2. Matth. 18. Luc. 17.

3. *εἶναι*, quod deest ap. Joan. Damascenum Parall. Sacr. I, 28, ubi nostra excerpta leguntur, deleri vult D. Fortasse *τὸ* post *ἑκάστῳ* mutandum in *ὡς*, atque verba *ἐξ ὧν προέπραξεν* infra collocanda post *ἐλθεῖν* secundum S.

4. S: *διὰ τὸ* scribit Neander gnost. Syst. p. 413. Idem post *αἱρέσεως* excidisse contendit *μή*.

5. *προελθεῖν*, quod praeferendum, Cod. Joan. Damasceni, *δι' αὐτοῦ ἐλθεῖν* conj. Neander l. c.

6. Ita Ottoboniani *ἐπὶ* interpretor, *ἐπὶ οὖν* C, *ἐπεὶ οὖν* D. Deinde *αὐτὴ θεῷ* C, *αὕτη θεοῦ* (cum haec ita se habent, Dei hoc judicium) D.

7. Ita O c. Cod. Reg. 804, *κακουχίᾳ* C.

8. *διαβαλλόμενοι μισούμενοι· λοιδορούμενοι·* ultimis duabus vocibus expunctis p. *διαβαλλόμενοι* O.

9. *δοκεῖν τὸ ὀργίζεσθαι γίνεται* Cod. Reg. 804. Tum *ἄμυνον* O.

www.libtool.com.cn

XXX. Ὁ δὲ διδάσκαλος εἰδώς, ὅτι οἱ ταῦτα ἀδίκως ποιοῦντες ἐκ προτέρων ἁμαρτημάτων κατάδικοί εἰσιν, καὶ ὅτι διὰ καταδίκων τὸ τῆς κακίας πνεῦμα ταῦτα ἐνεργεῖ, τοὺς μὲν ἀνθρώπους, καθὰ [1] ἄνθρωποί εἰσιν, καὶ δι' ἁμαρτίας ὄργανα γινομένους κακίας, ἐλεεῖν συνεβούλευσεν [2], ὡς φιλανθρωπίαν ἀσκοῦσιν, καὶ τὸ ὅσον ἐπ' αὐτοῖς ἐστίν, ἀδικουμένους καὶ ἀπολύειν [3] τῆς καταδίκης τοὺς ἀδικοῦντας, ἵνα ὥσπερ οἱ νήφοντες τοῖς μεθύουσι βοηθῶσιν, εὐχαῖς, νηστείαις, εὐλογίαις, μὴ ἀνθιστάμενοι, μὴ ἀμυνόμενοι, ἵνα μὴ ἐπὶ τὸ πλεῖον αὐτοὺς ἁμαρτεῖν ἀναγκάσωσιν. τοῦ γὰρ παθεῖν πάντως κεκριμένου τινί [4], οὐκ εὔλογον ἀγανακτεῖν ἐκείνῳ, δι' οὗ τὸ παθεῖν γίνεται, λογισάμενον, ὅτι εἰ καὶ ἐκεῖνος οὐκ ἐκακούχησεν αὐτόν, διὰ τὸ πάντως κακουχηθῆναι μέλλειν διὰ [5] ἑτέρου τὸ παθεῖν ἦν. τί οὖν ἀγανακτῶ τῷ διαθεμένῳ, ἐμοῦ πάντως παθεῖν κεκριμένου; ἀλλ' ἔτι μὴν εἰ τὰ αὐτὰ τοῖς κακοῖς προφάσει ἀμύνης ποιῶμεν, παρὰ τὸ πρῶτοι, δεύτεροι τὸ αὐτὸ τοῖς κακοῖς [6] οἱ ἀγαθοὶ πράσσομεν. καὶ ὡς ἔφην, οὐ χρὴ ἀγανακτεῖν, ὡς εἰδότα [7] ὅτι Θεοῦ προνοίᾳ οἱ κακοὶ τοὺς ἀγαθοὺς τιμωροῦσιν. οἱ οὖν τοῖς [8] τιμωροῦσιν χαλεπαίνοντες ὡς τοὺς ἀποστόλους Θεοῦ ὑβρίζοντες ἁμαρτάνουσιν, τιμῶντες δὲ καὶ τὰ ἐναντία τοῖς ἀδικεῖν νο-

XXX. Magister vero sciens, quod qui haec injuste faciunt, ex prioribus peccatis rei sunt, quodque per sontes spiritus malitiae ista efficit, hominum, quatenus homines sunt, etsi propter peccata facti fuerint malitiae instrumenta, misereri suasit suis, tamquam misericordiae cultoribus, utque, quantum in se est, injuria affecti injuriam facientes a damnatione absolvant; quo velut sobrii ebriis succurrant, per orationes, jejunia, benedictiones, non resistendo, non vindicando, nec eos cogant amplius peccare. Cum enim aliquis omnino ad patiendum condemnatus est, non est aequum, ut illi irascatur per quem patitur, secum reputans, quod, etsi ille non afflixisset eum, tamen quia omnino affligi debet, per alium pati sibi contingeret. Cur ergo indignor adversus auctorem, qui plane ad perpessionem sum destinatus? Sed et adhuc, si eadem cum improbis praetextu ultionis faciamus, praeterquam quod primi non sumus, secundi idem facimus ac mali, nos qui boni dicimur. Et quemadmodum aiebam, indignari non oportet, cum scias a malis bonos per Dei providentiam castigari. Qui ergo ultores aegre ferunt, tamquam qui a Deo missos contumelia afficiant, delinquunt, qui vero in pretio habent, et contrarie sen-

1. καθὸ O.
2. συνεβούλευσεν C.
3. ἀδικουμένοις ἀπολύειν Cod. Reg. 804.
4. τινός Cod. Reg. 804.
5. δι' C.
6. Vbb προφάσει — τοῖς κακοῖς non sunt in O. Ex Cot. versione liquet, illum rescribendum statuisse παρὰ τὸ μὴ πρῶτοι, δεύτεροι. Sed adjectione particulae negantis haud opus est. D. Tum πράσσομεν S O, πράσσωμεν C, πράσσοντες Cod. Reg. 804.
7. εἰδότας Cod. Reg. 804.
8. Vbb. οἱ οὖν τοῖς om. O.

www.libtool.com.cn

μιζομένοις διατιθέμενοι αὐτοὺς εἰς τὸν Θεὸν τὸν οὕτω βουλευσάμενον εὐσεβοῦσιν.

XXXI. Κἀγὼ πρὸς ταῦτα ἀπεκρινάμην· οὐκοῦν οἱ ἀδικοῦντες οὐκ εἰσὶν αἴτιοι, ὅτι κρίσει Θεοῦ ἀδικοῦσι τοὺς δικαίους. καὶ ὁ Πέτρος ἔφη· καὶ πάνυ ἁμαρτάνουσιν, πρὸς γὰρ τὸ ἁμαρτάνειν ἑαυτοὺς ἀποδεδωκότες. ὅθεν εἰδὼς ἀπ' αὐτῶν [1] ἐκλέγεται τιμωρεῖν τοὺς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι μεταμεληθέντας δικαίως, ἵνα τοῖς μὲν δικαίοις διὰ τῆς τοιαύτης τιμωρίας τὰ πρὸ τῆς μετανοίας πραχθέντα ἀφεθῇ κακά. τοῖς δὲ τιμωροῦσιν ἀσεβέσι κακουχεῖν ἐπιθυμοῦσι καὶ μετανοεῖν μὴ θέλουσιν εἰς ἀναπλήρωσιν ἰδίας [2] κολάσεως δικαίους κακουχεῖν συνεχωρήθη, ἄνευ γὰρ τῆς τοῦ Θεοῦ βουλῆς οὐδὲ στρουθὸς ἐν παγίδι [3] ἐμπεσεῖν ἔχει· οὕτως δικαίων καὶ αἱ τρίχες τῷ Θεῷ ἐναρίθμιοί εἰσιν.

XXXII. Δίκαιος δέ ἐστιν ἐκεῖνος, ὁ τοῦ εὐλόγου ἕνεκα τῇ φύσει μαχόμενος. οἷον [4] πᾶσι πρόσεστιν ἐκ φύσεως φιλούντας φιλεῖν, δίκαιος πειρᾶται καὶ ἐχθροὺς ἀγαπᾶν καὶ λοιδοροῦντας εὐλογεῖν, ἔτι μὴν καὶ ὑπὲρ ἐχθρῶν εὔχεσθαι, ἀδικοῦντας ἐλεεῖν [5]. διὸ καὶ προαδικεῖσθαι [6] ἀπέχεται, καὶ ὁμῶς καταρωμένους εὐλογεῖ, τύπτουσι συγχωρεῖ, διώκουσιν ὑποχωρεῖ, μὴ ἀσπαζομένους ἀσπάζεται, τοῖς οὐκ ἔχουσιν ὧν ἔχει κοινωνεῖ, ὀργιζόμενον πείθει [7], τὸν ἐχθρὸν διαλλάσσει, τὸν ἀπειθῆ παρακαλεῖ, τὸν ἄπιστον

tiunt erga eos, qui ipsis injuriam inferre putantur, in Deum qui ita statuit pii sunt.

XXXI. Et ego ad haec dixi: itaque qui faciunt injuriam, rei non sunt, quoniam Dei judicio injuria justos afficiunt. Respondit Petrus: valde peccant, quippe qui se ad peccandum dedant. Unde sciens Deus ex iis illos punire deligit, qui de prioribus peccatis juste agunt poenitentiam, ut justis quidem per has poenas dimittantur quae ante poenitentiam fecerunt mala. Impiis vero qui castigant et vexare cupiunt, nec poenitentiam volunt agere, ad implenda delicta permittitur justos castigare et affligere. Nam absque Dei voluntate neque passer in laqueum incidere potest. Sic justorum etiam capilli Deo numerati sunt.

XXXII. Ille autem justus est, qui propter rectam rationem pugnat cum natura. Verbi gratia: cunctis a natura insitum est, diligentes diligere: justus conatur etiam diligere inimicos et conviciantibus benedicere, ac praeterea orare pro hostibus, injuriam inferentes miserari. Quocirca se priorem injuria affici patitur, item maledicentibus benedicit, verberantibus condonat, cedit persequentibus, salutat eos qui non salutant, cum non habentibus communicat quae ha-

1. ἁπάντων p. ἀπ' αὐτῶν C.
2. ἰδίας Cod. Reg. 804, τε διὰ C O.
3. ἐμπαγίδι Cod. Reg. 804. Cfr. Luc. 12, 6. 7.
4. Fort. addendum εἰ post οἷον. Cfr. Hom. XVI, 10. S.
5. ἐλεεῖ O.
6. προαδικεῖσθαι D, προσαδικεῖσθαι C O, πρὸς ἀδικεῖσθαι alter Cod. Ci, in quo subinde ἀνέχεται, ut exh. O.
7. ὀργιζόμενος ποθεῖ Cod. Reg. 804.

www.libtool.com.cn

κατηχεῖ, τὸν πενθοῦντα παραμυθεῖται, ἐπηρεαζόμενος στέγει, ἀχαριστούμενος[1] οὐκ ἀγανακτεῖ. εἰς δὲ τὸ ἀγαπᾶν τὸν πλησίον ὡς ἑαυτὸν ἀποδεδωκὼς πενίαν οὐ πεφόβηται, ἀλλὰ τὰ ἑαυτοῦ μερίζων τοῖς οὐκ ἔχουσι πένης γίνεται. ἀλλ' οὐδὲ μὴν ἁμαρτάνοντα[2] τιμωρεῖ. ὁ γὰρ τὸν πλησίον ἀγαπῶν ὡς ἑαυτόν, ὡς αὐτὸς ἁμαρτήσας οἶδε τιμωρηθῆναι μὴ θέλειν, οὕτως οὐδὲ τοὺς ἁμαρτάνοντας τιμωρεῖ. καὶ ὡς θέλει κολακεύεσθαι καὶ εὐλογεῖσθαι καὶ τιμᾶσθαι καὶ πάντα τὰ[3] ἁμαρτήματα αὐτῷ συγχωρεῖσθαι, τοῦτο αὐτὸς τῷ πλησίον ποιεῖ[4], ὡς ἑαυτὸν ἐκεῖνον ἀγαπῶν. ἐπὶ λόγῳ, ὃ θέλει ἑαυτῷ, θέλει καὶ τῷ πλησίον. οὗτος γάρ ἐστι Θεοῦ νόμος καὶ προφητῶν, αὕτη[5] τῆς ἀληθείας ἡ διδασκαλία. καὶ ταῦτα μὲν ἀγάπη ἡ πρὸς πάντα ἄνθρωπον τελεία τὸ ἄρρεν μέρος ἐστὶν οὖσα τῆς φιλανθρωπίας, τὸ δὲ ἐλεεῖν τὸ θῆλυ μέρος ἐστὶν αὐτῆς. ὅπερ ἐστὶ πεινῶντα θρέψαι καὶ ποτὸν διψῶντι παρασχεῖν καὶ γυμνὸν ἐνδῦσαι καὶ νοσοῦντα ἐπισκέψασθαι καὶ ξένον δέξασθαι, τῷ[6] ἐν εἱρκτῇ κατὰ τὸ δυνατὸν ἐπιφαινόμενον βοηθεῖν, ἁπαξαπλῶς τὸν ἐν συμφοραῖς ἐλεῆσαι.

XXXIII. Ἐγὼ δὲ ἀκούσας ἔφην· ταῦτα μὲν δυνατὸν πράττειν, ἐχθροὺς δὲ εὐεργετεῖν, πᾶσαν αὐτῶν ὑποφέροντα ἐπήρειαν, οὐκ οἶομαι[7] δυνατὸν ἀνθρωπείᾳ προσεῖναι φύσει. καὶ ὁ Πέτρος ἀπεκρίνατο· ὀρθῶς ἔφης· ἀθανασίας γὰρ αἰτία οὖσα ἡ φιλανθρωπία πολλοῦ δίδοται. κἀγὼ ἔφην· πῶς

bet, irascentem flectit, inimicum conciliat, contumacem hortatur, incredulum instituit, lugentem consolatur, exagitatus sustinet, ingrate acceptus non indigne fert, propensus est ad diligendum proximum tamquam se, paupertatem non timet, verum sua non habentibus dividens fit pauper. Sed nec peccantem ulciscitur. Qui enim proximum velut se diligit, quemadmodum ipse, cum peccavit, scit nolle in se animadverti, ita nec peccatores castigat, et sicut vult demulceri, benedici, honorari, omniumque delictorum veniam accipere, hoc ipse proximo facit, quem velut se amat. Uno verbo, quod sibi cupit, cupit et proximo. Haec enim est Dei ac prophetarum lex, haec veritatis doctrina. Itaque caritas erga omnem hominem perfecta pars est mascula humanitatis. At misericordia pars est illius feminea. Quae est, esurientem alere, potum sitienti dare, nudum vestire, visitare languentem, hospitem recipere, carcere conclusum pro viribus invisere et juvare, omnino denique calamitosi misereri.

XXXIII. Ego vero audito hoc dixi: haec quidem facere possumus, at inimicis benefacere omnesque eorum injurias tolerare, ut insit in humana natura, impossibile puto. Tum Petrus respondit: recte locutus es Cum enim humanitas causa sit immortalitatis, multo constat. Dixi ego: quo modo igitur

1. ἀχαριστούμενος O.
2. ἁμαρτάνοντας Cod. Reg. 804.
3. τὰ inserui c. O.
4. Matth. 7, 12.
5. αὕτη S O, αὐτὴ C, αὐτὴ Cl.
6. τῷ O c. D, τῶν C.
7. οἶεμαι O.

www.libtool.com.cn

οὖν[1] σύνεστιν ἐν νῷ λαβεῖν; καὶ ὁ Πέτρος ἀπεκρίνατο· ταύτην, ὦ φίλε Κλήμης[2], λαβεῖν ἔστιν, ἐὰν πληροφορηθῇ τις, ὅτι οἱ ἐχθροὶ πρὸς καιρὸν[3] κακουχοῦντες, οὓς μισοῦσιν, αἰωνίου κολάσεως ἀπαλλαγῆς αὐτοῖς αἴτιοι γίνονται· προσέτι δὲ αὐτοὺς ὡς εὐεργέτας σφόδρα ἀγαπήσουσιν. ἡ δὲ ὁδὸς τοῦ ταύτην λαβεῖν, ὦ φίλε Κλήμης[4], μία τίς ἐστιν, ἥπερ ἐστὶ φόβος Θεοῦ. ὁ γὰρ Θεὸν φοβούμενος τὸν πλησίον ὡς ἑαυτὸν ἀγαπᾶν μὲν καταρχὰς οὐ δύναται· ἐπεὶ τὸ τοιοῦτον κελεύειν[5] οὐ προσέρχεται τῇ ψυχῇ· τῷ μέντοι πρὸς Θεὸν φόβῳ τὰ ἀγαπώντων ποιεῖν δύναται, καὶ εἶθ' οὕτως πράξαντι τὰ ἀγάπης τὸ ἀγαπᾶν ὡς νύμφη οὖσα προσφέρεται ὡς νυμφίῳ τῷ φόβῳ. καὶ οὕτως τοὺς φιλανθρώπους τίκτουσα λογισμοὺς ἀθάνατον τίθησι τὸν κεκτημένον, ὡς εἰκόνα Θεοῦ[6] ὁμοίαν, ὑπὸ φθορᾶς ὑβρισθῆναι μὴ δυναμένην τὴν αὐτοῦ φύσιν. ὁμῶς τὸν τῆς φιλανθρωπίας ἐκθεμένου ἡμῖν λόγον, ἑσπέρας ἐπικαταλαβούσης, εἰς ὕπνον ἐτράπημεν.

## ΟΜΙΛΙΑ ΙΓ'.

I. Ὄρθρου δὲ γενομένου ὁ Πέτρος εἰσιὼν[7] ἔφη· ὁ μὲν Κλήμης μετὰ τῆς αὐτοῦ μητρὸς Ματτιδίας[8] καὶ τῆς ἐμῆς γυναικὸς ἅμα ἐπὶ τοῦ ὀχή-

mente potest concipi? Respondit Petrus: humanitas, dilecte Clemens, acquiri potest, si quis plene sibi persuadeat, inimicos, dum quos oderunt vexant ad tempus, aeterni supplicii liberationem illis producere: sicque ii etiam ut beneficii admodum diligentur. Porro via humanitatem accipiendi, amice Clemens, unica est, nimirum timor Dei. Nam qui timet Deum, non quidem potest principio diligere proximum tamquam se: etenim ad hoc praeceptum non accedit anima; at timore erga Deum amantium opera potest peragere, sicque postea, ubi opera dilectionis fecerit, caritas velut sponsa timori velut sponso adjungitur: atque ita humanitatis gignens cogitationes immortalem reddit possessorem, velut imaginem Deo similem, cujusque natura nequeat a corruptione ludibrio haberi. Caeterum postquam humanitatis doctrinam nobis exposuit, vespera succedente, ad somnum nos contulimus.

## HOMILIA XIII.

I. Exorto autem mane ingressus Petrus ait: Clemens cum matre sua Mattidia et mea uxore simul in curru consideant. Statimque ita factum est.

1. *οὖν* O et ex conject. C, in cuj. textu *οὐ*.
2. *κλήμη* O.
3. *πρόσκαιρον* O.
4. *κλήμη* O constanter.
5. *ἐπὶ τὸ τοιοῦτο κελεύσαντι* C. Tum *ἡ ψυχή* p. *τῇ ψυχῇ* legi vult S.
6. Leg. *θεῷ*, ut et Hom. XVIII, 19, ubi idem mendum repetitur. D.
7. *εἰσιὼν ὁ Πέτρος* C.
8. *Ματθιδίας* O.

www.libtool.com.cn

*ματος καθεζέσθωσαν. καὶ ὁμῶς οὕτως ἐγένετο. ὁρμώντων δὲ ἡμῶν τὴν ἐπὶ*[1] *Βαλανίας ὁδὸν ἐπύθετό μου ἡ μήτηρ, πῶς ὁ πατὴρ διάγει. κἀγὼ ἔφην· ἐπὶ τὴν ζήτησίν σου καὶ τῶν διδύμων ἀδελφῶν μου Φαυστίνου τε καὶ Φαυστινιανοῦ ἐκβὰς ἀνεύρετός ἐστιν. οἶμαι δὲ ἐκ τοῦ πλείστου τελευτῆσαι αὐτόν, ἢ ναυφραγίῳ περιπεσόντα, ἢ ἐν ὁδῷ σφαλέντα*[2]*, ἢ ὑπὸ λύπης μαρανθέντα. ἡ δὲ ἀκούσασα καὶ ἐπίδακρυς γενομένη ἐστέναξε λυπηθεῖσα, τῇ δὲ πρὸς ἐμὲ εὑρέσει*[3] *χαίρουσα τὴν ἐκ τῆς ὑπομνήσεως λύπην μετρίως ἀπήμβλυνεν. ὁμῶς οὖν κατηντήσαμεν εἰς Βαλανίας. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ*[4] *εἰς Πάλτον ἤλθομεν, κἀκεῖθεν εἰς Γάβαλαν· τῇ δὲ ἑτέρᾳ κατηντήσαμεν εἰς Λαοδίκειαν. καὶ ἰδοὺ πρὸ τῶν θυρῶν Νικήτης καὶ Ἀκύλας ἀπήντων ἡμῖν, καὶ καταφιλήσαντες ἦγον ἐπὶ τὴν ξενίαν. ὁ δὲ Πέτρος καλὴν καὶ μεγάλην πόλιν ἰδών· ἄξιον, ἔφη, ἐνταῦθα ἡμερῶν ἐπιμεῖναι. ὡς γὰρ ἐπίπαν τὸ πλῆθος δυνατώτερόν ἐστι τίκτειν*[5] *τοὺς ζητουμένους. ὁ μὲν οὖν Νικήτης καὶ Ἀκύλας ἐπυνθάνοντό μου, τίς εἴη αὕτη ἡ ξένη γυνή. κἀγὼ ἔφην· ἐμὴ μήτηρ, ἣν ἐπιγνῶναί μοι ὁ Θεὸς διὰ Πέτρου τοῦ κυρίου μου ἐδωρήσατο.*

II. *Ταῦτά μου εἰπόντος, ὁ Πέτρος πάντα αὐτοῖς ἐπὶ κεφαλαίων ἐξέθετο, ὡς ἅμα τῷ*[6] *αὐτοὺς προοδεῦσαι ἐγὼ Κλήμης τὸ ἐμὸν γένος αὐτῷ*

Cumque per viam quae Balanaeas ducit pergeremus, interrogavit me mater, quo modo pater ageret. Respondi: ad requirendum te ac geminos fratres meos Faustinum et Faustinianum profectus, non amplius comparuit: puto autem eum a longo tempore obiise, vel incidentem in naufragium, vel in via circumventum, vel e dolore tabem passum. At illa audiens lacrymis obortis suspiravit prae tristitia, verum ob me inventum gaudens de moerore ex commemoratione orto paullulum remisit. Itaque venimus Balanaeas. Sequenti vero die Paltum profecti sumus, et inde Gabalam, aliaque die Laodiceam devenimus. Et ecce ante portas occurrunt nobis Nicetas et Aquila, et osculati ducunt ad hospitium. Petrus autem videns pulcram magnamque civitatem, aequum est, inquit, hic aliquot dies commorari. Nam fere semper multitudo efficacior est ad producendos quos quaerimus. Tum Nicetas et Aquila requirebant a me, quaenam esset peregrina ignotaque ea mulier. Et ego respondi: mater mea est, quam agnoscere donavit mihi Deus, per dominum meum Petrum.

II. Haec cum ego dixissem, cuncta eis Petrus summatim exposuit: quod postquam illi praecesssissent, ego Clemens genus meum ipsi enarraverim, et

1. *ἐπὶ τὴν* Cod. Reg. 804. Subinde in O esse videtur *βαλαναίας*.
2. Ita uterque Hom. Cod. et Epit., *σφαγέντα* melius conj. C.
3. *εὕρεσιν* O.
4. *ἡμέρᾳ* om. O, qui deinde scr. *εἰς πάλταν*. Tum id. *γάβαλα* c. Cod. Reg. 804 et Epit.
5. Ita O et ex conject. C, qui in textu *τίκτει*.
6. *τῷ* adjunxi c. O.

www.libtool.com.cn

ἐξεθέμην, καὶ τῆς μητρὸς τὴν ἐκ τῆς τοῦ ὀνείρου πλαστῆς[1] προφάσεως μετὰ τῶν διδύμων αὐτῆς τέκνων γενομένην ἀποδημίαν, ἔτι τε καὶ τοῦ πατρὸς τὴν ἐπὶ ζήτησιν αὐτῆς ἀποδημίαν· ἔπειτα καὶ ὡς αὐτὸς Πέτρος μετὰ τὸ ἀκοῦσαι ταῦτα εἰσελθὼν εἰς τὴν νῆσον καὶ τῇ γυναικὶ συντυχὼν καὶ προσαιτοῦσαν ἰδὼν καὶ τοῦ προσαιτεῖν τὴν αἰτίαν πυθόμενος, ἔγνω [τὸ][2] αὐτῆς γένος, ἀναστροφήν, τὸν πλαστὸν ὄνειρον, καὶ τῶν τέκνων τὰ ὀνόματα, ἐμοῦ τε τοῦ καταλειφθέντος παρὰ τῷ πατρὶ καὶ τῶν αὐτῇ συμπορευθέντων διδύμων τέκνων, καὶ οὓς[3] ἐν βυθῷ ὑπενοεῖτο τεθνηκέναι.

III. Τούτων οὖν κεφαλαιωδῶς ῥηθέντων ὑπὸ Πέτρου, ὁ Νικήτης καὶ ὁ Ἀκύλας ἐκπλαγέντες ἔλεγον· ἆρά γε, δέσποτα καὶ κύριε τῶν ἁπάντων, τοῦτο ἀληθὲς ἢ ὄνειρός[4] ἐστιν; καὶ ὁ Πέτρος ἔφη· εἰ μὴ κοιμώμεθα[5], ἀληθὲς τυγχάνει. οἱ δὲ βραχὺ μείναντες καὶ σύννοι[6] γενόμενοι ἔφασαν· ἡμεῖς ἐσμὲν Φαυστῖνος καὶ Φαυστινιανὸς, καὶ ἀπαρχῆς σου διαλεγομένου ἀλλήλοις ἐμβλέποντες πολλὰ περὶ ἑαυτῶν κατεστοχαζόμεθα, μὴ ἄρα οὐχ ἡμῖν διαφέρῃ[7] τὰ λεγόμενα, λογιζόμενοι ὅτι πολλὰ παρόμοια γίνεται ἐν τῷ βίῳ· διὸ ἐσιωπῶμεν παλλόμενοι τὰς καρδίας. πρὸς δὲ τὸ τέλος τοῦ λεγομένου ἀποβλέψαντες[8], ὅτι ἡμῖν διαφέρει τὰ λεγόμενα, τότε ἑαυτοὺς

matris cum geminis suis filiis praetextu ficto somnii profectionem, praeterea patris ad quaerendam matrem iter, deinde quo modo ipse Petrus ubi haec audiisset, insulam ingressus mulierem invenerit, quam mendicare videns, et causam mendicationis postulans, cognoverit illius genus, educationem, fictum somnium, liberorum nomina, meum scilicet, qui relictus fueram apud patrem, et geminorum natorum, qui cum ea iter susceperant, denique suspicionem de horum obitu in mari.

III. His ergo summatim a Petro relatis Nicetas et Aquila stupefacti dixerunt: here ac domine omnium, verumne est hoc, an est somnium? Tum Petrus ait: nisi dormimus, verum est. At illi paullulum remorati et cogitabundi dixerunt: nos sumus Faustinus et Faustinianus, et ab initio, cum narrare coepisti, alter alterum inspicientes, plurimum circa nos considerabamus, num ad nos pertinerent quae dicebantur, reputantes multa similia accidere in vita hominum; quocirca tacuimus, licet cor nostrum palpitaret. Intuiti autem in fine

1. λαβῆς conj. D. At lectio vulgata nulla eget emendatione, si c. O legas πλαστῆς προφάσεως pro Ci πλαστῆς καὶ προφάσεως. S verum jam vidit.

2. Pro [τὸ] lacuna parvula in O. Nil certi constat de Cod. Parisiensi. Tum ἀναστροφήν conj. C, cujus textus ἀνατροφήν, ut O.

3. οὕς var. lect. ap. C, ὡς uterque Hom. Cod. Dein τεθνηκότων p. τεθνηκέναι O.

4. ὄνειρον O.

5. Ita et Epit., μαινόμεθα („insani sumus“) Rufin. Recogn. VII, 28.

6. Ita S, σύννοες C O, quam formam ille librariis deberi putat: esse enim aetatis infimae, quae Lob. Phryn. p. 453 hujus vitii attulerit exempla.

7. διαφέρει O et C in Corrigendis, διαφέρῃ in textu.

8. ἀποβλέψαν O. Tum αὐτοὺς C, αὐτοὺς S.

ὁμολογήσαμεν. καὶ ταῦτ'[1] εἰπόντες μετὰ δακρύων ἐπεισῆλθον τῇ μητρί, καὶ κοιμωμένην εὑρόντες ἤδη περιπλέκεσθαι[2] ἐβούλοντο. ὁ δὲ Πέτρος ἐκώλυεν αὐτοὺς εἰπών· ἐάσατέ με, προσαγάγω ὑμᾶς παραστῆσαι τῇ μητρί, μή πως ὑπὸ τῆς πολλῆς αἰφνιδίου χαρᾶς εἰς ἔκστασιν ἔλθοι φρενῶν, ἅτε δὴ κοιμωμένη καὶ τὸ πνεῦμα ὑπὸ τοῦ ὕπνου ἀπησχολημένον ἔχουσα.

IV. Ὁμῶς ἐπεὶ κόρον ἔσχεν ὕπνου, διεγερθεῖσῃ τῇ μητρὶ ὁ Πέτρος ἤρξατο περὶ τῆς θεοσεβείας αὐτῇ διαλέγεσθαι πρότερον λέγων[3]· γινώσκειν σε θέλω, γύναι, τῆς ἡμετέρας θρησκείας τὴν πολιτείαν. ἡμεῖς ἕνα Θεὸν σέβομεν, τὸν πεποιηκότα ὃν ὁρᾷς κόσμον, καὶ τούτου φυλάσσομεν τὸν νόμιον, περιέχοντα ἐν πρώτοις, αὐτὸν σέβειν μόνον καὶ τὸ αὐτοῦ ἁγιάζειν ὄνομα, τιμᾶν τε γονεῖς, καὶ σωφρονεῖν, βιοῦν τε σεμνῶς[4]. πρὸς τούτοις δὲ ἀδιαφόρως[5] μὴ βιοῦντες τραπέζης ἐθνῶν οὐκ ἀπολαύομεν, ἅτε δὴ οὐδὲ συνεστιᾶσθαι αὐτοῖς δυνάμενοι, διὰ τὸ ἀκαθάρτως αὐτοὺς βιοῦν. πλὴν ὁπόταν αὐτοὺς πείσωμεν τὰ τῆς ἀληθείας φρονεῖν τε καὶ ποιεῖν, βαπτίσαντες αὐτοὺς τρισμακαρίᾳ τινὶ ἐπονομασίᾳ, τότε αὐτοῖς συναυλιζόμεθα[6]. ἐπεὶ οὐδ' ἂν[7] πατὴρ τυγχάνῃ, ἢ γυνή, ἢ τέκνον, ἢ ἀδελφός, ἢ ἄλλος τις ἐκ φύσεως στοργὴν ἔχων, συνεστιᾶσθαι αὐτῷ τολμᾶν δυνάμεθα. θρησκείᾳ

sermonis, dicta pertinere ad nos, tunc nos declaravimus. Et postquam hoc dixissent, lacrymantes ad matrem accedebant, eamque dormientem nacti protinus complecti volebant. Petrus vero prohibuit, dicens: sinite me, adducam vos et exhibebo matri, ne forte multo et subito gaudio in animi stuporem incidat, ut pote quae etiam dormiat, spiritumque somno habeat occupatum.

IV. Igitur ubi somnum ad satietatem cepit ac experrecta est mater, Petrus adductis illis coepit ei de Dei cultu disserere prius dicens: scire te volo, mulier, religionis nostrae observantiam. Nos unum colimus Deum, qui fecit quem cernis mundum: illius et legem servamus, quae in primis continet, ipsum solum colendum esse, sanctificandum nomen ejus, parentes honorandos, colendam temperantiam, et pie vivendum. Ad haec non vivimus indifferenter, nec e Gentilium mensa cibum sumimus, neque cum iis possumus comedere, quod impuram vitam agunt. Verum cum eis persuaserimus sentire ac facere ea quae ad veritatem spectant, et baptizaverimus eos in ter beata quadam nominis invocatione, tunc una cum eis vescimur. Alioquin etiam si pater sit, aut mater, aut uxor, aut proles, aut frater, aut quivis alius naturali amore carus, nusquam audemus ac possumus cum ipso cibum sumere. Hoc quippe

1. *τοῦτο* C.
2. *περιπλέπεσθαι* O mendose.
3. *ἤρξατο προσαγαγὼν λέγειν* C, intermediis omissis.
4. *ἡδέως* O, supra *σεμνῶς*, ap. C *ἡδέως*. Hanc lectionem corruptela laborare recte vidit S, qui proposuit *ἁγίως*.
5. *διαφόρως* Cod. Reg. 804.
6. Ita O c. Epit., *συναλιζόμεθα* C.
7. Ita O c. Cod Reg. 804 et Epit., *οὐδαμοῦ* C. Deinde *τυγχάῃ* O c. Epit., *τυγχάνει* C. *τέκνον* om. O.

www.libtool.com.cn

γὰρ διαφερόντως[1] τοῦτο ποιοῦμεν. μὴ οὖν ὕβριν ἡγήσῃ τὸ μὴ συνεστιᾶσθαί σοι τὸν υἱόν, μέχρις ἂν μὴ τὰ αὐτὰ αὐτῷ φρονῇς[2] καὶ ποιῇς.

V. Ἡ δὲ ἀκούσασα ἔφη· τί οὖν κωλύει σήμερόν με[3] βαπτισθῆναι; ἤ τις πρὸ τοῦ σε ἰδεῖν τοὺς λεγομένους θεοὺς ἀπεστράφην, λογισμῷ τούτῳ, ὅτι πολλὰ σχεδὸν καθ' ἡμέραν[4] θυούσῃ αὐτοῖς ἐν ταῖς ἀνάγκαις οὐ παρεστάθησάν μοι. περὶ δὲ μοιχείας τι δεῖ καὶ λέγειν; ὁπότε οὐδ' ὅτε ἐπλούτουν, τρυφή με τοῦτο[5] ἠπάτησεν, οὐδ' ἡ μετὰ ταύτην πενία ἐπὶ τοῦτο ἐλθεῖν ἀναγκάσαι δεδύνηται, ἀντιποιουμένην[6] μου τῆς σωφροσύνης ὡς μεγίστου κάλλους[7], ἧς ἕνεκα εἰς τοσαύτην ἦλθον περίστασιν. ἀλλ' οὐδ' οἶμαί σε, κύριέ μου Πέτρε, ἀγνοεῖν, ὅτι ἡ πλείων ἐπιθυμία ἐξ εὐθυμιῶν γίνεται. ὅθεν ἐγὼ ἐν εὐθυμίᾳ σωφρονήσασα, ἐν δυσθυμίᾳ πρὸς ἡδονὰς ἐμαυτὴν οὐκ ἀποδίδωμι. ἀλλὰ μηδὲ νῦν μου κακουχίας ἀπηλλάχθαι νομίσῃς[8] τὴν ψυχήν, τὴν ποσῶς παραμυθίας τυχοῦσαν διὰ τὴν Κλήμεντος ἐπίγνωσιν. ἀντεισερχομένη γὰρ ἡ ἐκ τῶν δύο τέκνων μου βαρυθυμία[9] καὶ τὴν ποσῶς ἀμαυροῖ χαράν. λυπεῖ γὰρ ἡμᾶς οὐ τοσοῦτον τὸ ἐν τῇ θαλάσσῃ τούτους παραπολέσθαι, ὅσον τὸ χωρὶς τῆς θείας εἰς θεὸν εὐσεβείας διαφθαρῆναι μετά γε τῶν ψυχῶν αὐτοῖς καὶ τὰ σώματα[10]. ὁ δὲ τούτων πατήρ,

religionis causa praecipue facimus. Ne ergo tibi injuriosum videatur, si tecum filius cibum non capiat, usque quo non eadem cum illo sentias et agas.

V. Quibus illa auditis: Et quid, inquit, vetat hodie me baptizari? quae prius quam te viderem, illos quos vocant Deos aversata sim, per hanc ratiocinationem, quia mihi multa fere quotidie ipsis immolanti in adversis rebus non adfuerunt. De adulterio autem quid verbis opus est? cum neque quando dives eram, deliciae me in hoc deceperint, neque subsecuta paupertas potuerit ad eo veniendum cogere, quod pudicitiam meam velut maximum decus capesserem, cujus gratia in tantam calamitatem deveni. Sed nec te arbitror, Domine mi Petre, ignorare, majorem cupiditatem ex laeta fortuna oriri. Unde ego quae in secundis rebus temperate vixi, in afflictione me voluptatibus non tradam. Neque vero nunc animum meum existimes aegritudine esse liberum, qui nonnihil consolationis per Clementis agnitionem nactus fuerit. Succedens namque tristitia ex duorum liberorum interitu nata etiam hoc aliquantum gaudium obscurat. Etenim non tam circa eos dolemus, quod in mari obierint, quam quod extra divinam religionem mortui, perierint corpore et anima. Pa-

1. διαφέροντες conj. S.

2. Scripsi ἂν μὴ τὰ αὐτὰ αὐτῷ φρονῇς c. O, ἂν τὰ αὐτῷ φρ. C, qui deesse αὐτὰ recte suspicatus est, ἂν τὰ αὐτὰ φρ. Epit.

3. με σήμερον C.

4. καθημέρων O. Subinde θυούσῃ Epit., θυούσης C O. αὐτοῦ p. αὐτοῖς O.

5. πρὸς τοῦτο Epit., quod in textu poni vult D. Frustra. Cf. e. g. Xen. Anab. V, 7, 11: εἴ τις ἐξαπατηθῆναι οἴεται ταῦτα. S.

6. ἀντιποιουμένης Epit.

7. καλοῦ O.

8. νομίσειν O.

9. ἀπώλεια C, qui conj. ἀπωλείας ἀθυμία. In Epit. ἀθυμία.

10. Cfr. Epit. c. 102. Ap. C. haec periodus ita sonat: παραινέσωμεν (παρανιάζομεν vel

www.libtool.com.cn

ἐμὸς δὲ σύμβιος, ὡς παρὰ Κλήμεντος ἔμαθον, ἐπί τε τὴν ἐμὴν καὶ [1] τῶν υἱῶν ζήτησιν ἐκβάς, τοσούτοις ἔτεσιν ἀφανὴς ἐστιν· πάντως δὲ ἐτελεύτησεν. καὶ γὰρ ὁ ταλαίπωρος ὑπὸ σωφροσύνης με ἀγαπῶν φιλότεκνος ἦν. ὅθεν πάντων ἡμῶν τῶν [2] ὑπὲρ πάντα αὐτῷ ἠγαπημένων στερηθεὶς ὁ γέρων ὑπὸ μεγίστης ἀθυμίας διεφώνησεν.

VI. Τῆς μητρὸς ταῦτα λεγούσης, κατὰ τὴν Πέτρου παραίνεσιν [3], ἀκούοντες οὐκέτι στέγειν ἐδύναντο οἱ παῖδες, ἀλλ' ἐγερθέντες περιεπλέκοντο αὐτῇ, πολλὰ δακρύοντες καὶ καταφιλοῦντες. ἡ δὲ ἔφη· τί θέλει τοῦτο εἶναι; καὶ ὁ Πέτρος ἀπεκρίνατο· παράσχησον, ὦ γύναι, γενναίως τὸν νοῦν σου, ὅπως τῶν σῶν ἀπολαύσῃς τέκνων. οὗτοι γάρ εἰσι Φαυστῖνος καὶ Φαυστινιανός, οἱ υἱοί σου, οὓς ἐν βυθῷ τεθνάναι ἔλεγες. πῶς δὲ ζῶσιν, ἐπὶ βυθοῦ [4] θανόντες ἐν τῇ χαλεπωτάτῃ ἐκείνῃ νυκτί, καὶ πῶς νῦν ὁ μὲν αὐτῶν Νικήτης λέγεται, ὁ δὲ Ἀκύλας, αὐτοί σοι εἰπεῖν δυνήσονται. σὺν σοὶ γὰρ ἡμεῖς μαθεῖν ἔχομεν. ταῦτα τοῦ Πέτρου εἰπόντος, ἡ μήτηρ χαρεῖσα σφόδρα ὑπὸ ἐκλύσεως ὀλίγου διεφώνει. ὅτε δὲ αὐτὴν ἀνεκτησάμεθα, ἐκαθέσθη, καὶ ἑαυτῆς γενομένη ἔφη· παρακαλῶ, τέκνα μου ποθεινά, εἴπατε ἡμῖν τὰ μετὰ τὴν χαλεπὴν ἐκείνην νύκτα συμβάντα ὑμῖν.

ter autem eorum meusque vir, quemadmodum per Clementem comperi, ad quaerendum me ac liberos progressus, tot annis non comparet: prorsus vero interiit. Etenim infelix ob continentiam diligebat me, et erat amans liberorum. Quare cunctis nobis, a se super omnia dilectis, orbatus senex prae maximo dolore occubuit.

VI. Matrem vero haec locutam liberi audientes, non amplius secundum Petri admonitionem se continere potuerunt: sed surgentes complexi sunt eam, et cum multis lacrymis osculati. At illa dixit: Quid hoc sibi vult? Respondit Petrus: Advoca fortiter, o femina, animum tuum, ut natis tuis fruaris. Isti enim sunt Faustinus et Faustinianus, filii tui, quos in profundo periisse dicebas. Quo modo autem vivant in illa horribili nocte mortui in pelago, et quo modo nunc alius ipsorum Nicetas et alius Aquila nominetur, ipsi tibi exponere poterunt; et una tecum etiam nos audiemus. Ubi haec Petrus dixit, mater, vehementer gavisa, deliquio propemodum exanimata est. Postquam vero illam refocillavimus, sedit, atque in semetipsam regressa ait: Obsecro vos, dulcissimi filii, dicite nobis, quae acciderint vobis post illam perniciosam et crudelem noctem.

*παρανιάζωμεν* id. ex conject., *παραμυθήσομαι* — *ἐμαυτήν* var. lect. ap. eundem, *παρακαλέσομαι* D) *γὰρ περὶ αὐτῶν ὅτε* (*οὐχ ὅτι* proponit C ad Epit. referens) *ἐν θαλάσσῃ διεφώνησαν, ἀλλ' οὐχ* (*οὐχ* addidit D) *ὅτι πρὸς τούτοις ἐκτὸς τειχῶν θρησκείας Θεοῦ φθαρέντες τὰ σώματι καὶ τὰς ψυχὰς ἀπώλοντο.*

1. *καὶ τὴν* C.
2. *τῶν* addidi c. O.
3. Vbb. *κατὰ τὴν Πέτρου παραίνεσιν* post *οὐκέτι* rectius collocat Epit.
4. *βυθοῦ* conjectura ad oram Ottoboniani, in cuj. textu *σου*, ut C. *τέκνα μου ποθεινά, τέκνα γλυκύτατα τέκνα καρδίας καύσωνα τῆς ἐμῆς, εἴπατε μοι* O.

www.libtool.com.cn

VII. Καὶ ὁ Νικήτης, τοῦ λοιποῦ Φαυστῖνος[1], ἤρξατο λέγειν. τῆς αὐτῆς ἐκείνης νυκτὸς τοῦ πλοίου, ὡς οἶσθα, διαλυομένου, ἡμᾶς ἄνδρες τινὲς ἐν τῷ βυθῷ λῃστεύειν μὴ φοβούμενοι ἀνείλοντο[2], καὶ ἐν σκάφῃ θέντες καὶ κώπαις ἐλαύνοντες ὁτὲ μὲν παρὰ γῆν ἔφερον, ὁτὲ δὲ καὶ τροφὰς μεταπεμπόμενοι εἰς τὴν Στράτωνος ἦγον Καισάρειαν· κἀκεῖ δακρύοντας[3] ἡμᾶς λιμῷ, φόβῳ τε καὶ πληγαῖς, ὅπως μή τι προπετὲς λαλήσωμεν τῶν αὐτοῖς μὴ δοκούντων, ἔτι τε[4] καὶ τὰ ὀνόματα ἡμῶν ἀλλάξαντες, πωλῆσαι ἠδυνήθησαν. γυνὴ δέ τις Ἰουδαίας[5] προσήλυτος, ἀξιόλογος πάνυ, ὀνόματι Ἰοῦστα, ὠνησαμένη ἡμᾶς εἰς τέκνων ἐφύλαττεν τόπον, καὶ πάσῃ ἑλληνικῇ παιδείᾳ μετὰ σπουδῆς ἐξεπαίδευσεν. ἡμεῖς δὲ ἐφ' ἡλικίας ἔμφρονες γενόμενοι καὶ τὴν θρησκείαν ἠγαπήσαμεν, καὶ τὰ τῆς παιδείας ἐφιλοπονήσαμεν, ὅπως πρὸς τὰ λοιπὰ ἔθνη διαλεγόμενοι ἐλέγχειν αὐτὰ περὶ πλάνης δυνώμεθα. ἀλλὰ καὶ τὰ φιλοσόφων ἠκριβώσαμεν, ἐξαιρέτως δὲ τὰ ἀθεώτατα, λέγω δὴ[6] τὰ Ἐπικούρου καὶ Πύρρωνος, ἵνα μᾶλλον ἀνασκευάζειν δυνώμεθα.

VIII. Σίμωνι δέ τινι μάγῳ σχεδὸν σύντροφοι γενόμενοι, φιλίας[7] ὁδῷ ἀπατηθῆναι ἐκινδυνεύσαμεν. ἔστι[8] δέ τις περὶ ἀνθρώπου τινὸς λόγος, οὗ φανέντος ἐν βασιλείᾳ τῶν θεοσεβησάντων ὄχλος[9] ἀθανάτως καὶ ἀλύπως

VII. Tum Nicetas, qui et nunc Faustinus, coepit dicere: In illa ipsa nocte, cum navis, quemadmodum nosti, fuisset resoluta, viri quidam, qui in mari latrocinari non verentur, ceperunt nos, et naviculae imposuerunt, et remigando aliquando ad terram deferebant, aliquando et cibos accersebant, sicque Caesaream Stratonis perduxerunt: ibique nos in lacrymas effusos fame, metu, verberibus affligentes, ne quid temere contra suam sententiam loqueremur, immutatis etiam nostris nominibus, vendiderunt. Porro mulier quaedam apud Judaeos proselyta, honesta admodum, Justa nomine, cum nos emisset, habuit loco filiorum, atque omnibus Graecis disciplinis studiose erudivit. Nos vero per aetatem prudentes facti, et religionem amavimus, et litteris gnaviter operam dedimus, ut cum reliquis gentibus disputantes, eas de errore possemus arguere. Sed et perdidicimus philosophorum decreta, maxime quae a pietate in Deum alienissima sunt, Epicuri, inquam, et Pyrrhonis, quo magis possemus confutare.

VIII. Caeterum una cum Simone quodam mago educati, ratione amicitiae in fraudem fere inducti fuimus. Fertur enim quaedam de aliquo homine fama, qui ubi apparuerit, universa piorum multitudo in regno vivet perpetuo ac citra

1. Vbb. τοῦ λ. Φαυστῖνος om. O.
2. ἀνείλαντο C.
3. δάκνοντες conj D, „affligentes nos fame“ Ruf. in Recogn. C deesse aliquid putat.
4. δὲ C.
5. Ἰουδαίοις C.
6. Ita Epit., λέγω δὲ C O.
7. φιλίοις O.
8. Recogn. VIII, 33: „Fertur enim in religione nostra sermo de Propheta quodam — per quem immortalis et beata vita credentibus danda promittitur. Hunc ergo nos putabamus Simonem. Sed haec tibi, mater, opportunius exponentur.“
9. ὄχλον C, qui conj. ὄχλος, in O ὄχλων.

www.libtool.com.cn

βιῶσαι ἔχει· ὅμως ταῦτα μέν σοι, μῆτερ[1], ἐπὶ καιροῦ ἀκριβέστερον ἐκτεθήσεται[2]. πλὴν μέλλουσιν ἡμῖν ἀπατᾶσθαι ὑπὸ τοῦ Σίμωνος ἑταῖρός τις τοῦ κυρίου ἡμῶν Πέτρου, Ζακχαῖος λεγόμενος, προσηκάμενος ἐνουθέτησε μὴ ἀπατηθῆναι τῷ μάγῳ, ἐπελθόντι δὲ τῷ Πέτρῳ προσήγαγεν, ὅπως πληροφορήσας ἡμᾶς[3] πείσῃ περὶ τῶν τῇ θεοσεβείᾳ διαφερόντων. διὸ καὶ σέ, μῆτερ[4], εὐχόμεθα, ἵνα ὧν ἡμεῖς κατηξιώθημεν ἀγαθῶν, τούτων καὶ σὺ μεταλάβῃς, ὅπως κοινῶν[5] ἁλῶν καὶ τραπέζης μεταλαβεῖν δυνηθῶμεν. αὕτη οὖν ἐστὶν ἡ αἰτία, τεκοῦσα, δι' ἣν ἐνόμιζες ἡμᾶς τεθνάναι, τῷ[6] ἐκείνῃ τῇ χαλεπωτάτῃ νυκτὶ ὑπὸ πειρατῶν ἁρθῆναι ἐν πελάγει, σὲ δὲ νομίζειν ἡμᾶς ἀπολωλέναι.

IX. Ταῦτα τοῦ Φαυστίνου εἰπόντος ἡ μήτηρ ἡμῶν προσέπεσε τῷ Πέτρῳ, δεομένη καὶ ἀξιοῦσα, ὅπως αὐτήν τε καὶ τὴν ξενοδόχον αὐτῆς μεταπεμψάμενος ἐξαυτῆς βαπτίσῃ, ἵνα, φησί, μηδεμία τις ἡμέρα ἄμοιρος γένηται, ἀφ' ἧς τὰ ἐμαυτῆς ἀπέλαβον τέκνα, καθ' ἣν ἂν οὐ[7] συνεστιαθείην αὐτοῖς. ταυτὰ οὖν καὶ ἡμῶν τῇ μητρὶ συμπαρακαλεσάντων, ὁ Πέτρος ἔφη· τί νομίζετε, ἐγὼ μόνος ἄσπλαγχνός[8] εἰμι, ὅτι μὴ βούλομαι ὑμᾶς συνεστιαθῆναι[9] τῇ μητρί, βαπτίσας αὐτὴν σήμερον; ἀλλὰ κἂν μίαν ἡμέραν πρὸ τοῦ βαπτισθῆναι νηστεύσαι αὐτὴν δεῖ. καὶ ταῦτα ἐπεὶ ἁπλῶς

molestiam. Sed haec tibi, mater, in tempore diligentius exponentur. Nos interim, cum paene jam deciperemur a Simone, quidam collega domini nostri Petri, Zacchaeus nomine, accedens monuit ne falleremur a Mago, et Petro advenienti nos obtulit, ut ab ipso perfecte quae spectant ad cultum Dei doceremur. Quare etiam te oramus, mater, ut quae nos consecuti sumus bona, illa et tu percipias, quo possimus cibum et mensam habere communem. Ea igitur causa fuit, o genitrix, propter quam existimasti nos obiisse, quod in ea difficillima nocte a piratis in pelago rapti sumus, tuque nos periisse credidisti.

IX. Postquam haec dixisset Faustinus, mater nostra procidit ad pedes Petri, rogans et obsecrans, ut et ipsam et hospitam suam evocatam sine mora baptizaret, uti ne una, inquit, dies excludatur, ex quo natos meos recepi, in qua cum iis non sumpserim cibum. Cumque nos eadem quae mater compreCaremur, Petrus ait: Quid putatis, me immisericordem esse solum, quod nolim vos matris convivio sociari, hodie illam baptizans? Sed necesse est eam vel una die ante baptismum jejunare: et hoc, quia omnino quemdam pro se

1. μῆτερ S O, μήτερ C.
2. ἐκτελήσεται S c. Cl.
3. ἡμᾶς πληροφορήσας C.
4. μερῶν O.
5. κοινῇ C.
6. τό conj. S.
7. ἐν ᾗ μὴ p. καθ' ἣν ἂν οὐ C. Subinde συνεστιαθείην Epit. c. 106 et O, συνεστιάσθην C. Tum ταυτὰ S, ταῦτα C O.
8. εὐσπλαγχνὸς O. Alia man. praemisit μὴ in marg.
9. Ita O c. S. συνεστιασθῆναι C.

www.libtool.com.cn

τινὰ ὑπὲρ ἑαυτῆς ἐφθέγξατο λόγον [1], ὃν ἐγὼ τῆς πίστεως αὐτῆς ἱκανὸν ἑρμηνέα συνεῖδον· ἐπεὶ πολλῶν ἡμερῶν αὐτὴν ἀγνισθῆναι [2] ἔδει.

X. Κἀγὼ ἔφην· εἰπὲ ἡμῖν τίνα ἐφθέγξατο λόγον, ὃς [3] τὴν πίστιν αὐτῆς ἐξέφηνεν [4]. καὶ ὁ Πέτρος ἔφη· ἡ ἀξίωσις αὐτῆς τοῦ συμβαπτισθῆναι [5] αὐτῇ τὴν ξενοδόχον καὶ εὐεργέτιν. οὐκ ἂν δὲ τοῦτο τῇ ὑπ' αὐτῆς ποθουμένῃ δοθῆναι παρεκάλει, εἰ μὴ πρότερον αὐτὴ διετέθη [6] ὡς ἐπὶ μεγάλῃ τῇ τοῦ βαπτίσματος δωρεᾷ. ὅθεν ἐγὼ πολλῶν καταγινώσκω, ὁπόταν [7] βαπτισθέντες καὶ πιστεύειν λέγοντες μηδὲν ἄξιον πίστεως ποιῶσι, μηδ' οὓς ἀγαπῶσιν, λέγω δὴ γυναῖκας αὐτῶν ἢ υἱοὺς ἢ φίλους, πρὸς τοῦτο προτρέπωνται. εἰ γὰρ πεπιστεύκασι ζωὴν αἰώνιον σὺν ἔργοις καλοῖς δωρεῖσθαι τὸν Θεὸν ἐπὶ τῷ βαπτίσματι [8], ἀνυπερθέτως οὓς ἠγάπων προετρέποντο βαπτισθῆναι. ἀλλ' ἐρεῖ τις ὑμῶν· ἀγαπῶσιν αὐτοὺς καὶ φροντίζουσιν αὐτῶν. τοῦτο εὔηθές ἐστιν. ἐπεὶ τί δή ποτε νοσοῦντας ὁρῶντες, ἢ ἀπαγομένους τὴν ἐπὶ θάνατον [9], ἢ ἄλλα τινὰ χαλεπὰ πάσχοντας, ὀδύρονται καὶ ἐλεοῦσιν [10]; οὕτως εἰ πεπιστεύκεισαν αἰώνιον πῦρ μένειν τοὺς [11] τὸν Θεὸν μὴ σέβοντας, οὐκ ἂν ἐπαύσαντο νουθετοῦντες, ἢ καὶ ἀπειθοῦντας ὁρῶντες, ὡς περὶ ἀπίστων ὀδυνώμενοι, τὴν κατ' αὐτῶν κόλασιν πεπλη-

locuta est sermonem, quem ego idoneum fidei illius interpretem habeo: alioqui multis ipsam diebus oportebat lustrari.

X. Et ego: Dic nobis, inquam, qualem protulerit sermonem, qui fidem illius patefecerit. Respondit Petrus: Ille sermo est, quo rogavit ut hospita et benefica simul baptizaretur cum ipsa. Non autem rogaret, ut illi quam diligit praestaretur haec gratia, nisi prius erga baptismum tamquam erga magnum munus esset affecta. Unde ego reprehendo plurimos, qui cum baptizati fuerint, et credere se dicant, nihil tamen dignum fide agant, neque eos quos diligunt (uxores, inquam, vel filios, vel amicos) ad hoc hortentur. Nam si crederent, vitam aeternam cum bonis operibus a Deo propter baptismum donari, absque dilatione, quos diligerent, ad eum suscipiendum exhortarentur. Sed dicet vestrum quis: Diligunt eos, ac de iis sunt solliciti. Id stultum est. Nam cur tandem eos aegrotare videntes, aut in mortis viam abduci, aut quaedam alia molesta sustinere, gemunt atque miserantur? Ita si credidissent, ignem aeternum manere eos qui Deum non colunt, non cessarent monere vel tamquam de infidelibus dolere, dum eos cernunt incredulos, certi futurae illorum ipoe-

1. λόγον om. O.
2. ἀφελληνισθῆναι C.
3. ὃ C, ᾧ D.
4. ἐξέφηνεν D, ἐξέφαγεν C O.
5. βαπτισθῆναι O. Cum eod. addidi καὶ post ξενοδόχον.
6. Ita O c. S, διεθέτη C.
7. ὁπότ' ἂν C.
8. Vbb. ἐπὶ τῷ βαπτίσματι recepi ex O.
9. θανάτῳ C.
10. ἐλεῶσιν C.
11. ἐπεὶ τοὺς var. lect. ap. C.

ροφορημένοι. καὶ τὰ νῦν τὴν ξενοδόχον πέμψας ἐπανακρινῶ [1] εἰ τὸν νόμιον τὸν δι' [2] ἡμῶν ἀγαπᾶν αἱρεῖται· καὶ οὕτως ἀκολούθως ἃ δεῖ πράξομεν.

XI. Ἡ δὲ μήτηρ ὑμῶν ἐπειδὴ πιστῶς διάκειται περὶ τοῦ βαπτίσματος, κἂν μίαν πρὸ τοῦ βαπτίσματος νηστευσάτω ἡμέραν. ἡ δὲ ὤμνυεν· δύο τῶν διελθουσῶν ἡμερῶν, τῇ γυναικὶ τὰ κατὰ τὸν ἀναγνωρισμὸν διηγουμένη, ὑπὸ τῆς πολλῆς χαρᾶς τροφῆς μεταλαβεῖν [3] οὐκ ἠδυνήθην, ἢ ἐχθὲς μόνον βραχέος ὕδατος. ἐμαρτύρησέ [4] τε τῷ ὅρκῳ ἡ γυνὴ Πέτρου λέγουσα· ἀληθῶς οὐκ ἐγεύσατο. καὶ ὁ Ἀκύλας, μᾶλλον δὲ τοῦ λοιποῦ Φαυστῖνος [5], ἔφη· οὐκοῦν οὐδὲν κωλύει αὐτὴν βαπτισθῆναι. καὶ ὁ Πέτρος γελάσας ἀπεκρίνατο· ἀλλ' οὐκ ἔστι τοῦτο νηστεία βαπτίσματος, ὃ [6] μὴ δι' αὐτὸ γέγονεν. καὶ ὁ Φαυστῖνος ἀπεκρίνατο· ἴσως οὖν ὁ Θεὸς βουλόμενος ἡμῶν τὴν μητέρα μηδεμίαν ἡμέραν μετὰ τὸν ἀναγνωρισμὸν χωρίσαι τῆς ἡμετέρας τραπέζης, προῳκονόμησεν τὴν νηστείαν. ὡς γὰρ ἐσωφρόνει ἐν ἀγνοίᾳ τὸ πρέπον τῇ ἀληθείᾳ ποιήσασα, οὕτω [7] καὶ νῦν ὁ Θεὸς ἴσως ᾠκονόμησεν αὐτὴν πρὸ μιᾶς νηστεῦσαι [8] ὑπὲρ τοῦ ἀληθοῦς βαπτίσματος, ἵνα ἀπὸ πρώτης ἡμέρας τοῦ γνωρίσαι ἡμᾶς σὺν ἡμῖν ἁλῶν μεταλαβεῖν δυνηθῇ.

nae. Nunc ergo hospitam accersitam interrogabo, num legem nostram velit amplecti, et prout consequens fuerit agemus.

XI. At vestra mater, quoniam, ut decet fidelem, in baptismum animata est, vel uno die ante baptismum jejunet. Illa vero jurabat dicens: Duobus superioribus diebus, dum narro mulieri recognitionis eventum, prae multo gaudio cibum capere nequivi; nisi quod hesterna die paullum aquae sumpsi. Juramento autem testimonium praebuit uxor Petri dicens: Vere nihil gustavit. Et Aquila, magis vero deinceps Faustinus, ait: Nihil ergo obstat, quin baptizetur. Tum Petrus subridens respondit: Sed non est hoc jejunium baptismi, quod non propter illum susceptum est. Et Faustinus excepit: Sed forte volens Deus matrem nostram nec una die, agnitis nobis, separari a consortio mensae nostrae, praeordinarit hoc jejunium. Sicut enim pudicitiam servavit in ignorantia, faciens quod veritatem decet, ita et nunc Deus forsan providit, eam ante unum diem jejunare pro vero baptismo, ut a primo die agnitionis nostrae nobiscum posset salem seu cibum capere.

1. ἀνακρινῶ C.
2. τὸν δι' om. var. lect. ap. C.
3. τροφῆς μὴ μεταλαβεῖν O, qui om. vbb. οὐκ ἠδυνήθην.
4. Ita conj. C, cuj. textus μαρτυρήσει ut Epit., μαρτυρήσω O, ἐμαρτύρει nonnulli Codd. Epit.
5. φαυστινιανὸς O.
6. ἢ C. Tum φαυστινιανὸς p. Φαυστῖνος O.
7. ἡμέραν τῆς ἡμῶν ἐπιγνώσεως χωρίσαι τῆς τραπέζης, προφκονόμησεν τὴν νηστείαν. ὡς γὰρ ἐσωφρόνησεν ἐν ἀγνοίᾳ, τὸ πρέπον τῆς ἀληθείας ποιήσασα, οὕτως C.
8. φκονόμησεν πρὸ μιᾶς νηστεῦσαι αὐτὴν ἐν ἀγνοίᾳ C.

XII. Καὶ ὁ Πέτρος ἔφη· μὴ ἡμᾶς νικάτω ἡ κακία, πρόφασιν εὑροῦσα τὴν πρόνοιαν καὶ τεκούσης στοργήν· ἀλλὰ μᾶλλον ὑμεῖς κἀγὼ σὺν ὑμῖν διαμείνωμεν τὴν σήμερον ἐν νηστείᾳ[1], καὶ αὔριον βαπτισθήσεται. οὐδὲ γὰρ ἡ ὥρα τῆς σήμερον ἡμέρας ἐπιτήδειός ἐστιν εἰς βάπτισμα. καὶ ὁμῶς οὕτως γενέσθαι οἱ πάντες συνευδοκήσαμεν.

XIII. Αὐτῆς οὖν τῆς[2] ἑσπέρας τῆς Πέτρου οἱ πάντες διδασκαλίας ἀπηλαύομεν, δεικνύντος ἡμῖν ἐκ τῆς κατὰ τὴν μητέρα προφάσεως, τίνι λόγῳ τὰ τέλη τῆς σωφροσύνης καλά, τὰ δὲ τῆς μοιχείας χαλεπὰ ὄντα ὅλῳ γένει[3] ὄλεθρον ποιεῖν φύσιν ἔχει, κἂν μὴ ταχέως, ἀλλ' οὖν γε κἂν βραδέως. ἐπὶ τοσοῦτον δέ, φησίν, τὰ τῆς σωφροσύνης ἀρέσκει τῷ Θεῷ, ὅτι[4] καὶ τοῖς ἐν πλάνῃ οὖσι βραχείάν τινα ὑπὲρ αὐτῆς ἐν τῷ νῦν βίῳ ἀπονέμει χάριν (ἡ γὰρ ἐκεῖ σωτηρία μόνοις τοῖς διὰ τὴν εἰς αὐτὸν ἐλπίδα βαπτισθεῖσι καὶ σωφρόνως δικαιοπραγοῦσιν ἀποδίδοται). ὥσπερ ἐγνώκατε ἐπὶ τῆς ὑμετέρας μητρὸς γενόμενα, λέγω δὴ τὰ ἐπὶ τέλει καλά. ἴσως δὲ εἰ ἐμοιχήσατο, ἀνῄρητο ἄν. διὸ σωφρονήσασαν ἐλεήσας ὁ Θεὸς τὸν κατ' αὐτῆς ἀπέστρεψεν φόνον, καὶ τὰ ἀφαιρεθέντα τέκνα ἀπέδωκεν.

XIV. Ἀλλ' ἐρεῖ τις ἴσως· πόσοι διὰ σωφροσύνην ἀπώλοντο; φημὶ ἀναισθησίας αἰτίᾳ, χρὴ γὰρ τὴν αἰσθανομένην ἢ ἐρωμένου[5] τινὸς ἢ[6]

XII. Tum Petrus: Non nos, inquit, vincat malitia, praetextum nacta Providentiam et matris affectum: sed magis vos et ego vobiscum hodie in jejunio permaneamus; et cras baptizabitur. Neque enim hodiernae diei hora ad baptismum apta est. Itaque sic fieri omnes consensimus.

XIII. Hac ergo vespera cuncti fruiti sumus Petri doctrina, qui nobis ostendit per occasionem matris, quo modo pudicitiae fines sint boni, fines vero moechiae exitiales, et ita natura comparati, ut toti generi perniciem inferant, etiamsi non statim, tamen licet tarde. In tantum autem, inquit, pudicitia Deo placet, ut etiam his, qui in errore sunt positi, nonnihil gratiae pro illa in praesenti conferat vita. Nam futura beatitudo illis solum retribuitur, qui baptizati sunt propter spem in eum, quique pudicitiam et justitiam servant. Quemadmodum vidistis quae matri vestrae contigerunt, bona, inquam, quae in fine obtinuit. Forte enim si adulterasset, e medio fuisset sublata. Quocirca pudicam miseratus Deus necem ei imminentem avertit, et ablatos liberos reddit.

XIV. Verum fortasse dicet aliquis: Quot ob pudicitiam periere? Dico: Quia non senserunt. Certe enim oportet ut, quae sentit aliquem vel amasium

1. τὴν σήμερον διαμείνωμεν C. Epitome ut O.
2. τῆς inserui c. O.
3. χαλεπὰ ὄντα, ὅλῳ γένει p. χαλεπὰ ὄντα ὅλῳ γένει O. Tum id. πέφυκε p. φύσιν ἔχει.
4. Fortasse ὥστε, vel ὅσον — ἀπονέμειν. S.
5. γενομένου p. ἢ ἐρωμένου O.
6. ἢ add. D. Tum τὴν πρὸς αὐτὸν ἐπιμιξίαν O.

www.libtool.com.cn

ἐραστοῦ παρ' αὐτὸ φυγεῖν τῆς πρὸς αὐτὸν ἐπιμίξεως, ὡς πῦρ φλέγον ἢ λυσσοῦντα[1] κύνα. Ὅνπερ τρόπον ἐποίησεν ἡ ὑμᾶς τεκοῦσα, τὸ τῆς σωφροσύνης ὄντως ἀγαπήσασα καλόν. διὸ[2] φυλαχθεῖσα σὺν ὑμῖν[3] αἰωνίου βασιλείας ἔλαβε τὴν ἐπίγνωσιν. ἡ σωφρονεῖν βουλομένη γυνὴ εἰδέναι ὀφείλει, ὅτι φθονουμένη ὑπὸ κακίας προφάσει ἔρωτος πολλοὺς ἔχει τοὺς ἐπιβούλους. μιᾷ δὲ τῇ πρὸς τὸ σωφρονεῖν ἐνστάσει σεμνὴ μείνασα τὴν κατὰ[4] πάντων νίκην λαβοῦσα σωθῆναι ἔχει. καὶ γὰρ εἰ πάντα καλὰ διαπράξαιτό τις, μιᾷ τῇ πρὸς τὸ μοιχήσασθαι ἁμαρτίᾳ κολασθῆναι δεῖ[5], ὁ προφήτης ἔφη.

XV. Ἡ σώφρων γυνὴ τὸ τοῦ Θεοῦ θέλημα ποιοῦσα τῆς αὐτοῦ πρώτης κτίσεως ἀγαθὴ ὑπόμνησις γίνεται. ὅτι εἷς ὢν ὁ Θεὸς ἑνὶ[6] ἀνθρώπῳ μίαν ἔκτισε γυναῖκα. ἔτι δὲ μᾶλλον σώφρων μένει, ἐὰν τῆς κτίσεως[7] μὴ ἐπιλανθάνηται, καὶ τὴν κόλασιν προβλέπῃ, καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν ζημίαν μὴ ἀγνοῇ. ἡ σώφρων γυνὴ ἐπὶ τοῖς σώζεσθαι θέλουσιν ἡδομένη παράδειγμα εὐσεβὲς τοῖς θεοσεβοῦσι τυγχάνει· ἀγαθοῦ γὰρ βίου νόμος ἐστίν. ἡ σωφονεῖν θέλουσα τὰς προφάσεις τῆς λοιδορίας ἐκκόπτει, ἐὰν δὲ μὴ παρέχουσα πρόφασιν λοιδορεῖται[8] ὡς ὑπὸ ἐχθροῦ, ὑπὸ Θεοῦ εὐλογεῖται καὶ ἐκδικεῖται. ἡ σώφρων τὸν Θεὸν ποθεῖ, τὸν Θεὸν φιλεῖ, τὸν Θεὸν τέρπει, τὸν Θεὸν δοξάζει· ἀνθρώποις πρόφασιν πρὸς λοιδορίαν οὐ παρέχει. ἡ σώφρων γυνὴ τὴν ἐκκλησίαν ἀγαθῇ τιμῇ μυρίζει καὶ ἐπὶ σεμνότητι

vel amatorem, fugiat statim commistionem cum eo, tamquam ignis flammam, vel canem rabidum. Quemadmodum fecit quae vos peperit, revera pudicitiae bonum diligens. Propter quod servata vobiscum regni sempiterni accepit cognitionem. Mulier quae pudice cupit vivere, scire debet, sibi a malitia invideri, multosque se amoris causa habere insidiatores. Uno autem pudicitiae affectu casta permanens, sumpta de omnibus victoria salutem consequetur. Etenim licet quis cunctas excoluerit virtutes, ob unicum adulterii peccatum dabit poenas, inquit Propheta.

XV. Mulier pudica, Dei voluntatem faciens, primae suae creationis praeclara est commemoratio: quia Deus qui unus es, homini uni unam creavit mulierem. Adhuc vere amplius manet pudica, si creationis non obliviscatur, futurum supplicium praevideat, nec ignoret aeternorum bonorum amissionem. Pudica mulier, iis delectata qui volunt salvi fieri, est pium exemplum cultoribus divinitatis: utpote bonae vitae lex. Quae cupit pudice agere, occasiones maledicti amputat: si vero non data occasione tamquam ab inimico male audit, a Deo benedicitur ac vindicatur. Pudica Deum desiderat, Deum diligit, Deum oblectat, Deo gloriam defert; hominibus occasionem obloquendi non praebet.

1. λυσσῶντα O.
2. δι' ὃ C.
3. ἡμῖν C.
4. ὑπὸ C.
5. δὴ O, δεῖν conj. C.
6. Ita D, ἐν C O.
7. κτήσεως O. Deinde λανθάνῃ C.
8. λοιδορῆται O.

www.libtool.com.cn

δοξάζει· ἔτι δὲ καὶ διδασκάλων ἔπαινός ἐστιν, καὶ συνεργὸς αὐτοῖς σωφρονοῦσι τυγχάνει.

XVI. Ἡ σώφρων γυνὴ ὡς νυμφίῳ τῷ υἱῷ τοῦ Θεοῦ [1] κοσμεῖται, ἐνδεδυμένη τὸ σεμνὸν φῶς. ἔστι δὲ αὐτῇ κάλλος ἡ [2] ἐν τῇ ψυχῇ εὐνομία. μύρου δὲ πνέει τῆς ἀγαθῆς φήμης. καλὰ φόρεα ἠμφίεσται [3], τὴν αἰδῶ· καὶ τιμίους μαργαρίτας περίκειται, τοὺς σωφρονίζοντας λόγους. λευκὴ δὲ τυγχάνει, ὅταν [4] τὰς φρένας ἡ λελαμπρυμένη. καλῷ ἐσόπτρῳ ὁρᾷ, εἰς τὸν Θεὸν ἐμβλέπουσα [5]. καλῷ κόσμῳ χρῆται, τῷ πρὸς Θεὸν [6] φόβῳ τὴν ψυχὴν νουθετοῦσα. καλὴ ἡ γυνή, οὐχ ἡ χρυσῷ πεπεδημιένη, ἀλλ' ἡ τῶν προσκαίρων ἐπιθυμιῶν λελυμιένη. ἡ σώφρων γυνὴ μεγάλῳ βασιλεῖ περιπόθητός ἐστιν, αὐτῷ μεμνήστευται, αὐτῷ τετήρηται, ὑπ' [7] αὐτοῦ ἠγάπηται. ἡ σώφρων εἰς τὸ θέλεσθαι προφάσεις οὐ παρέχει, ἢ τῷ αὐτῆς ἀνδρί. ἡ σώφρων ὑπὸ ἑτέρου θελομένη λυπεῖται. ἡ σώφρων τὸν ἄνδρα ἐνδιαθέτως φιλεῖ, καὶ καταφιλεῖ, καὶ κολακεύει, ἀρέσκει, δουλεύει, πρὸς πάντα αὐτῷ πείθεται, παρεκτὸς [8] τοῦ ἀπειθεῖν Θεῷ. ἡ γὰρ πειθομένη Θεῷ ἄνευ φυλάκων καὶ τὴν ψυχὴν σωφρονεῖ καὶ τὸ σῶμα καθαρεύει.

XVII. Ἀνόητος οὖν πᾶς ἀνὴρ ὁ τὴν ἑαυτοῦ γυναῖκα χωρίζων φόβου Θεοῦ. ὅτι ἡ Θεὸν μὴ φοβουμιένη οὐδὲ τὸν ἄνδρα φοβεῖται. ἐὰν Θεὸν τὸν ἀόρατα βλέποντα μὴ φοβῆται, πρὸς τὸν μὴ ὁρῶντα πῶς σωφρονήσει [9];

Mulier pudica excellenti dignitate replet Ecclesiam atque bono odore: et praeterea magistrorum laus est, adjutrixque pudicitiam colentibus.

XVI. Pudica mulier tamquam sponso Filio Dei ornatur, vestita sacro lumine. Ipsi autem decus in anima est, honesta vita. Unguentum vero olet, bonam famam. Praeclare amicta est, pudorem induta; atque pretiosis margaritis redimita, castificis sermonibus. Candida autem est, ut animo illustrata. In optimum intuetur speculum, quae in Deum aspiciat. Pulcro ornatu utitur, timore erga Deum animam instituens. Egregia mulier, non quae auro irretita est, sed quae a temporariis cupiditatibus soluta. Pudica mulier a magno Rege desideratur, desponsatur, custoditur, diligitur. Pudica uon praebet occasiones ut appetatur, nisi viro suo. Pudica, ab alio cupita, dolet. Pudica marito defert sincerum ac suavem amorem, blanditur, placet, servit; in omnibus ei obsequitur, nisi quando inobsequens foret Deo. Nam quae Deo credit ac obtemperat, absque custodibus et animo casta et corpore pura est.

XVII. Amens ergo est omnis maritus, qui uxorem suam a timore Dei separet. Quoniam, quae non timet Deum, nec maritum metuit. Si Deum inaspectabilia cernentem nequaquam vereatur, quo modo illum qui ea non videt

1. *νυμφίῳ υἱῷ Θεοῦ* C.
2. *ἡ* adscripsi ex O. Fort. legendum *αὐτῆς κάλλος ἡ ἐν κτλ.* secundum S.
3. *φορεῖ· ἠμφίεσται* C.
4. *ὅτ' ἂν* C.
5. *ἐμβλέπτουσα* O.
6. *Θεὸν* S add. ex conject. Ci.
7. *ὑπὸ* C.
8. *παρ' ἐκτὸς* C.
9. *πρὸς τὸν μὴ ὁρῶντα πῶς σωφρο-*

πῶς δὲ σωφρονήσει ἡ μὴ συνερχομένη πρὸς τοὺς σωφρονίζοντας ἀκούειν λόγους; πῶς δὲ καὶ νουθεσίας τύχοι; πῶς δὲ σωφρονήσει ἄνευ φυλάκων, ἐὰν τὴν ἐσομένην κρίσιν τοῦ [1] Θεοῦ μὴ διδαχθῇ, μηδὲ τὴν ἐπὶ μικρᾷ ἡδονῇ αἰώνιον ζημίαν πληροφορηθῇ; διὸ τοὐναντίον ἄκουσαν αὐτὴν πρὸς τὸν σωφρονίζοντα ἀεὶ εἰσέρχεσθαι [2] λόγον ἀνάγκασον, κολάκευσον.

XVIII. Πολὺ δὲ κρεῖττον, εἰ χειραγωγήσας ἤξεις· ἵνα καὶ αὐτὸς σώφρων γένῃ· θελήσεις γὰρ σώφρων γενέσθαι, ἵνα γνώσῃ [3] σεμνοῦ γάμου τὸ τέλος, καὶ οὐκ ὀκνήσεις, εἰ ἀγαπᾷς, λέγω δή [4] πατὴρ γενέσθαι, ἴδια τέκνα φιλεῖν καὶ ὑπὸ ἰδίων φιλεῖσθαι τέκνων. ὁ [5] σώφρονα γυναῖκα ἔχειν θέλων καὶ αὐτὸς σωφρονεῖ, τὴν ὀφειλομένην εὐνὴν ἀποδίδωσιν, ταύτῃ συνεστιᾶται, ταύτῃ σύνεστιν, σὺν αὐτῇ πρὸς τὸν σωφρονίζοντα ἔρχεται λόγον, οὐ λυπεῖ, οὐκ εἰκῇ μάχεται, ἑαυτὸν μισητὸν οὐ ποιεῖ, ἃ δύναται καλὰ παρέχει, ὧν μὴ ἔχει, τῇ κολακείᾳ τὸ λεῖπον [6] ἀποπληροῖ [7]. ἡ σώφρων γυνὴ κολακευθῆναι οὐκ ἀναμένει, κύριον τὸν ἄνδρα γνωρίζει, πενομένου [8] τὴν πενίαν φέρει, πεινῶντι συμπεινᾷ, ἀποδημοῦντι συναποδημεῖ, λυπούμενον παραμυθεῖται, κἂν προῖκα μείζονα ἔχῃ, ὡς μηδὲν ἔχουσα ὑπόκειται. ὁ δὲ

verebitur? An gratuito castitatem colet? Qua vero ratione casta erit, quae non convenit ad audiendos castificos sermones? Et quo pacto instruetur? Quo modo etiam temperanter se geret absque custodibus, si futurum Dei judicium non edoceatur, neque sibi plene persuadeat aeternum ob exiguam voluptatem supplicium? Quare contra invitam coge, ut ad doctrinam castitatis effectricem semper accedat, vel adulationibus vince.

XVIII. Multo autem melius erit, si manu eam ducens venias, quo ipse etiam pudicus fias; desiderabis enim fieri, ut cognoscas finem honesti ac venerandi matrimonii, neque pigebit, si cupis, esse, inquam, pater, tuos liberos diligere, et ab iis diligi. Qui mulierem pudicam habere vult, et ipse pudice vivit, ac debitum persolvit concubitum, cum ea vescitur, moratur, ad castificam doctrinam venit; non contristat, non temere litigat, se non facit odiosum, quae potest bona praestat, quando vero non habet, assentatione quod deest supplet. Mulier pudica adulationem non exspectat, virum pro domino habet ac dominum vocat, eo paupere fert paupertatem, cum esuriente esurit, cum peregrinante peregrinatur, tristem consolatur, quamvis majorem habuerit dotem, tamquam ni-

νήσει scripsi de conjectura, πῶς τὴν ἀόρατον προαὶ σωφρονήσει Cod. Hom. Parisin., πῶς τὸν ἀόρατον προῖκα σωφρ. conj. C, πρὸς τὸν ἄνδρα ὁρατὸν παρέσται σωφρονῆσαι; conj. D. Praeterea aliquis possit conjicere πῶς τῷ ἀνδρὶ ἀόρατος (vel ἀφύλακτος) οὖσα σωφρ. S. πῶς τὴν ἀόρατον προαίρεσιν σωφρονίσει O. Tum lege πρὸς τὸ τοὺς. D.

1. τοῦ om. O, qui pergit Θεοῦ κρίσιν μὴ διδ.
2. ἔρχεσθαι O.
3. Post γνώσῃ in O extat τε subnotatum.
4. δὲ O.
5. ἡ O.
6. λυποῦν C.
7. Malim ἀναπληροῖ. S.
8. Ita O et Cod. Tur. (cfr. Tur. Const. Apost. p. 93), πενομένῳ C.

www.libtool.com.cn

ἀνὴρ κἂν πένητα ἔχῃ γυναῖκα, μεγάλην προῖκα ἡγείσθω αὐτῆς τὴν σωφροσύνην. ἡ σώφρων γυνὴ αὐταρκείᾳ βρωμάτων καὶ ποτῶν χρῆται, ἵνα μὴ λιπανθέντος τοῦ σώματος τῷ βάρει[1] πρὸς ἐπιθυμίας ἀνόμους κατασπάσῃ τὴν ψυχήν. ἀλλ' ἔτι μὴν σὺν νέοις οὐκ ἰδιάζει, καὶ τοὺς γέροντας ὑποπτεύει, γέλωτας ἀτάκτους ἀπωθεῖται, Θεῷ μόνῳ ἑαυτὴν ἀπονέμουσα οὐ σφάλλεται, σεμνοὺς λόγους ἀκούουσα ἥδεται, τοὺς δὲ μὴ ἐπὶ σωφροσύνῃ[2] λεγομένους ἀπωθεῖται.

XIX. Μάρτυς Θεός, πολλοὶ φόνοι μοιχεία μία[3]· καὶ τὸ δεινόν, ὅτι τῶν φόνων αὐτῆς τὸ φοβερὸν καὶ ἀσεβὲς οὐ βλέπεται. ὅτι αἵματος χυθέντος νεκρὸν κεῖται σῶμα, καὶ τὸ τῆς συμφορᾶς δεινὸν πάντας ἐκπλήσσει. τῆς δὲ μοιχείας[4] οἱ τῆς ψυχῆς φόνοι φοβερώτεροι ὄντες, ἐπεὶ μὴ ἀνθρώποις βλέπονται[5], τοῖς τολμῶσιν ἄοκνον τὴν ὁρμὴν παρέχουσιν. γνῶθι ἄνθρωπε, τίνος πνοὴν ἔχεις πρὸς τὸ ζῆν, καὶ οὐ μὴ αὐτὴν μιανθῆναι θελήσῃς. ὑπὸ μοιχείας μόνης μιαίνεται ἡ Θεοῦ πνοή. καὶ διὰ τοῦτο αὐτὴ τὸν μιάναντα εἰς πῦρ κατασπᾷ. σπεύδει γὰρ τὸν ὑβριστὴν αἰωνίῳ παραδοῦναι κολάσει.

XX. Ταῦτα λέγων ὁ Πέτρος, τὴν[6] ἀγαθὴν καὶ σώφρονα Ματτιδίαν[7] ὑπὸ χαρᾶς δακρύουσαν ἰδών, ὡς ἐπὶ ὑποσχέσει τῶν γεγονότων λυπηθῆναι νομίσας, ἔφη· θάρσει γύναι· πολλῶν πολλὰ κακὰ παθόντων διὰ μοιχείαν,

hil habens subjicitur. Maritus autem licet pauperem uxorem duxerit, magnam dotem putet pudicitiam ipsius. Mulier pudica nimio non utitur cibo ac potu, ne cibus, pinguefacto corpore, pondere animam trahat ad cupiditates illicitas. Praeterea cum juvenibus nequaquam sola manet, ac senes reveretur; incompositos risus removet; se soli Deo tradens non decipitur; honesta verba audiens delectatur, ea vero, quae ad pudicitiam non tendunt, repellit.

XIX. Testis est Deus: multa homicidia unum adulterium, et quod grave est, homicidiorum illius horror ac impietas non cernitur. Nam fuso sanguine corpus mortuum jacet, et calamitatis magnitudine omnes stupent. At neces animarum per adulterium, cum sint magis horribiles, quia tamen ab hominibus non videntur, agressoribus occasionem indesidis impetus praebent. Cognosce homo, cujus spiritum habeas ad vivendum, et ne illum patiaris pollui. A solo adulterio polluitur Dei spiritus: atque ideo ille ad ignem trahit hominem qui polluit. Festinat enim contumeliosum tradere aeterno supplicio.

XX. Haec cum diceret Petrus, videretque bonam pudicamque Mattidiam flere prae gaudio, arbitratus dolere eam de toleratis casibus, ait: Confide mulier. Cum multi multa mala pertulerint propter adulterium, tu propter pudici-

1. τὸ βάρος vel τὰ βάρη conj. D.
2. σωφροσύνης C.
3. μία μοιχεία C.
4. τῇ δὲ μοιχείᾳ conj. D.
5. Ita D, βλέπεται C O.
6. τὴν adjunxi c. O.
7 Ματθιδίαν O.

www.libtool.com.cn

σὺ διὰ σωφροσύνην πέπονθας, καὶ διὰ τοῦτο οὐκ ἐτελεύτησας. εἰ δὲ καὶ τεθνήκεις, σεσωσμένην ἂν εἶχες τὴν ψυχήν. πατρίδα Ῥώμην ἔλειπες διὰ σωφροσύνην· ἀλλὰ τῇ ταύτης προφάσει ἀλήθειαν εὗρες, τὸ διάθημα τῆς ἀϊδίου βασιλείας· ἐν βυθῷ κεκινδύνευκας, καὶ οὐκ ἐτελεύτησας, καὶ εἴτε [1] τετελευτήκεις, αὐτός σοι ὁ βυθὸς διὰ σωφροσύνην θνησκούσῃ βάπτισμα ἐγίνετο πρὸς ψυχῆς σωτηρίαν. τέκνων ἀπελείφθης πρὸς ὀλίγον, ἅτινα γνησίας ὄντα σπορᾶς ἐν τοῖς κρείττοσιν εὕρηται. λιμώττουσα τροφὰς προσῄτησας [2], ἀλλὰ πορνείᾳ σῶμα σὸν οὐκ ἐμίανας. σῶμα σὸν ἐβασάνισας, ἀλλὰ τὴν ψυχὴν ἔσωσας. μοιχὸν ἔφυγες, ἵνα μὴ κοίτην ἀνδρὸς μιάνῃς [3], ἀλλὰ διὰ τὴν [4] σωφροσύνην ὁ τὴν φυγὴν εἰδὼς Θεὸς τὸν ἀνδρὸς ἀποπληρώσει τόπον. λυπηθεῖσα καὶ μονωθεῖσα πρὸς ὀλίγον ἀνδρὸς καὶ τέκνων ἀπελείφθης, ἀλλὰ τούτους πάντας ἀπολιπεῖν [5] εἶχες προθεσμίᾳ θανάτου [6]· κρεῖττον δὲ ὅτι διὰ σωφροσύνην ἑκοῦσα ἀπελείφθης, ἢ [7] εἴπερ ἄκουσα μετὰ χρόνον ἐφ' ἁμαρτίαις αὐταῖς ἀπωλλύου.

XXI. Πολλῷ οὖν ἄμεινον τὰ πρωτεῖα [8] εἶναι θλιβερά. καὶ γὰρ ὅτε πάρεστιν, ἐλπίδι τοῦ παρελθεῖν οὐ πάνυ λυπεῖ, προσδοκίᾳ τε τοῦ κρείττονος καὶ χαίρειν παρέχει. πρὸ πάντων δὲ εἰδέναι σε θέλω, πόσον τὸ σωφρονεῖν ἀρέσκει Θεῷ. ἡ σώφρων γυνὴ Θεοῦ ἐκλογή, Θεοῦ εὐδοκία, Θεοῦ

tiam passa es, ideoque non interiisti. Sed et si obiisses, animae salutem fuisses consecuta. Patriam Romam pudicitiae ergo reliquisti: sed hac occasione invenisti veritatem, aeterni regni diadema. In mari periclitata es, at non mortua; verum licet mortua fuisses, ipsum tibi pelagus propter pudicitiam fuisset morienti baptismus ad animae salutem. Ad paucum tempus orbata es liberis, qui cum e legitimo essent semine, inventi sunt in meliori sorte. Fame pressa mendicasti cibum: sed stupro tuum corpus non foedasti. Corpus afflixisti: at servasti animam. Adulterum fugisti, ne mariti cubile maculares: verum qui fugam vidit Deus, propter pudicitiam locum viri supplebit. Ad tristitiam et solitudinem redacta, privata es ad breve tempus tum marito, tum liberis: sed hi omnes tibi relinquendi erant per mortis necessitatem: praestat autem, quod propter castitatem volens privata es, quam si invita postea periisses in peccatis.

XXI. Multo igitur melius est, priora molesta esse ac dura. Etenim quando adsunt, spe quod praeteribunt, non admodum contristant, immo potiorum exspectatione gaudium praebent. Ante omnia autem scire te volo, quantum pudicitia Deo placeat. Mulier pudica est Dei electio, Dei beneplacitum, Dei glo-

1. εἰ O.
2. προσήτιδι O.
3. μιανῇς C.
4. τὴν om. O.
5. ἀπολείπειν C.
6. In O esse videtur μανθάνειν.
7. ἢ addidit D. Subinde ἤπερ p. εἴπερ O. Tum idem om. αὐταῖς, scribitque ἀπωλλύου, c. S, ἀπολλύου C.
8. πρωατεῖα O.

δόξα, Θεοῦ τέκνον. τοσοῦτον ἀγαθὸν[1] σωφροσύνη. εἰ μὴ ὅτι νόμος ἦν, μηδὲ δίκαιον ἀβάπτιστον[2] εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν, τάχα που τῶν ἐθνῶν οἱ πεπλανημένοι διὰ σωφροσύνην μόνον σωθῆναι ἐδύναντο. διὰ τοῦτο λίαν ἀθυμῶ περὶ τῶν ἐν πλάνῃ σωφρονούντων, ὅτι ἄνευ ἐλπίδος ἀγαθῆς σωφρονεῖν ἑλόμενοι πρὸς τὸ βαπτισθῆναι ὀκνηρῶς ἔχουσιν. διὸ οὐ σώζονται· ὅτι δόγμα Θεοῦ κεῖται, ἀβάπτιστον εἰς τὴν αὐτοῦ βασιλείαν μὴ εἰσελθεῖν. ταῦτα αὐτοῦ εἰπόντος καὶ τούτων πλείονα, εἰς ὕπνον ἐτράπημεν.

## ΟΜΙΛΙΑ ΙΔ.

I. Ὀρθριαίτερον[3] δὲ πολλῷ τοῦ καθημέραν ὁ Πέτρος διυπνισθεὶς εἰσῆει πρὸς ἡμᾶς, καὶ ἐξυπνίσας ἔφη· Φαυστῖνος καὶ Φαυστινιανὸς ἅμα Κλήμεντι μετὰ τῶν οἰκείων ἀκολουθησάτωσάν μοι[4], ὅπως ἐν σκεπινῷ[5] τῆς θαλάσσης τόπῳ ἐλθόντες ἐν ἀκατασκόπῳ βαπτίσαι αὐτὴν δυνηθῶμεν. πλὴν ἐπὶ τῶν αἰγιαλῶν[6] γενομένων ἡμῶν, μεταξὺ πετρῶν τινῶν γαληνοῦ καὶ[7] καθαροῦ τόπου εὐπορησάντων ἐβάπτισεν αὐτήν. ἡμεῖς δὲ οἱ ἀδελφοί, τῶν γυναικῶν χάριν ἅμα ἀδελφῷ καὶ ἄλλοις τισὶν ὑποχωρήσαντες καὶ λου-

ria, Dei filia. Tot praerogativas habet pudicitia. Nisi lex esset, ut ne justus quidem absque baptismo ingrediatur in regnum Dei, forte qui errant in Gentibus, propter solam pudicitiam possent salvari. Quocirca vehementer anxius sum de iis qui in errore vivunt pudice, quod sine bona spe pudicitiam consectati, ad baptismum recipiendum se gerant segniter. Quare salvi non fiunt; quia Dei decretum positum est, ne in ipsius regnum ingrediatur expers baptismi. Quae postquam protulit, et his plura, ad somnum conversi sumus.

## HOMILIA XIV.

I. Multo autem maturius quam quotidie solebat Petrus experrectus ad nos ingressus est, quos expergefecit, ac dixit: Faustinus et Faustinianus unaque Clemens cum suis me sequantur, ut venientes ad obtectum maris locum clam possimus eam baptizare. Itaque ubi fuimus in littore, inter saxa quaedam, quae tranquillum et mundum locum praebebant, baptizavit illam. Nos autem fratres mulierum gratia una cum fratre et aliis nonnullis secessimus et lavimus;

1. Ita O et ex conject. C, in cuj. textu τοσούτων ἀγαθῶν. S insuper conjecit τοσούτων ἀγαθῶν αἴτιον.
2. δίκαιον καὶ ἀβάπτιστον O. Cfr. Hom. XIII, 13.
3. Ita O e. S, ὀρθρίτερον C. Cfr. Hom. XII, 12; XVI, 21; XVII. 1; XIX, 1. Tum καθ' ἡμέραν idem.
4. ἀκουλουθησάτωσάν μοι O.
5. σκεπεινῶ O, et posthac. Tum id. τὰ τοῦ βαπτίσματος σχεδιάσωμεν (in marg. παρενθὲν καὶ νόθον) p. ἐν ἀκατασκόπῳ βαπτίσαι αὐτὴν δυνηθῶμεν.
6. τὸν αἰγιαλὸν C.
7. καὶ Epit. 110 et O, deest in textu Ci.

www.libtool.com.cn

σάμενοι, ἐλθόντες ἐπὶ[1] τὰς γυναῖκας παρελάβομεν. καὶ οὕτως ἐν κρυφαίῳ τόπῳ πορευθέντες εὐχόμεθα. ἔπειτα ὁ Πέτρος τὰς γυναῖκας διὰ τὸν ὄχλον προέπεμψεν, δι' ἄλλης ὁδοῦ ἐπὶ τὴν ξενίαν ἐλθεῖν κελεύσας, ἀνδρῶν τε μόνοις ἡμῖν συνεῖναι τῇ μητρὶ καὶ ταῖς αὐταῖς γυναιξὶν[2] ἐπέτρεψεν. ἐλθόντες οὖν εἰς τὴν ξενίαν καὶ ἀναμένοντες αὐτὸν ἐλθεῖν ἀλλήλοις διελεγόμεθα. μετὰ ἱκανὰς δὲ ὥρας ὁ Πέτρος ἐλθών, τὸν ἄρτον ἐπ' εὐχαριστίᾳ κλάσας καὶ ἐπιθεὶς ἅλας, τῇ μητρὶ πρῶτον ἐπέδωκεν, καὶ[3] μετ' αὐτὴν ἡμῖν τοῖς υἱοῖς αὐτῆς. καὶ οὕτως αὐτῇ συνεστιάθημεν καὶ τὸν Θεὸν εὐλογήσαμεν.

II. Τότε λοιπὸν ὁ Πέτρος, τὸν ὄχλον εἰσεληλυθότα ἰδὼν καὶ καθεσθεὶς καὶ παρακαθεσθῆναι ἡμᾶς κελεύσας, ὑφηγεῖται τὰ πρῶτα πείθων ἡμᾶς, τίνι λόγῳ προπέμψας ἡμᾶς ἀπὸ τοῦ βαπτίσματος καὶ αὐτὸς βραδύνας ἐπῆλθεν. τὴν δὲ αἰτίαν ἔλεγε τοιαύτην. ἅμα τῷ ὑμᾶς, φησίν, ἀποστῆναι, γέρων συνεισῄει ἐργάτης, περιέργως[4] κλέπτων[5] ἑαυτόν, καὶ προκατασκοπήσας ἡμᾶς, ὡς αὐτὸς ὕστερον ὡμολόγει, πρὸς τὸ ἰδεῖν τί ἂν πράττοιμεν εἰς τὸν σκεπινὸν τόπον εἰσελθόντες, λάθρα ἐκβὰς ἠκολούθησεν. καὶ[6] ἐν εὐκαίρῳ τόπῳ προσελθὼν καὶ προσαγορεύσας ἔφη· ἐκ πολλοῦ σοι ἀκολουθῶν καὶ συντυχεῖν θέλων ᾐδούμην, μήπως ὡς περιέργῳ μοι χαλεπαίνῃς· νῦν δὲ τὰ ἐμοὶ δοκοῦντα ἀληθῆ, εἰ βούλει, λέγω. κἀγὼ ἀπεκρινάμην·

ac profecti ad mulieres recepimus ipsas. Sicque in locum occultam progressi illic precati sumus. Postea Petrus mulieres ob multitudinem praemisit, jubens ut per alteram viam irent ad hospitium, solisque virorum nobis permisit matrem ac mulieres comitari. Venientes ergo ad diversorium et praestolantes adventum illius colloquebamur invicem. Post multas vero horas Petrus regressus panem in eucharistiam fregit, et cibo posito matri primum dedit, ac post eam nobis filiis ejus. Atque ita cum ea comedimus, Deumque laudibus prosecuti sumus.

II. Tum deinde Petrus, ingressum populum videns, cum sedisset, nosque jussisset assidere, enarravit primo ac docuit, qua ratione nobis post baptismum praemissis ipse tarde rediisset. Causam vero hanc dicebat: simul atque vos, inquit, discessistis, senex operarius advenit, curiose occultans se, nobisque prius observatis (sicut ipse postea fassus est), ut videret, quidnam ingressi locum obtectum ageremus, clam exiit et secutus est, atque in opportuno loco conveniens me ac salutans ait: jam diu te sequens et alloqui cupiens, verebar ne mihi tamquam curioso irascereris, nunc autem quae mihi videntur vera, si vis profero. Et ego respondi: dic nobis quod tibi videtur esse bonum, et lau-

1. ἐπὶ supplevi ex O.
2. καὶ ταύταις ταῖς γυναιξὶν O, καὶ ταῖς ἄλλαις γ. conj. S.
3. καὶ add. c. O. Ex eodem reposui ἡμῖν, quod transiit S. Tum συνεστιάθημεν C.
4. περίεργος Epit.
5. κλέπων O. Sequens καὶ ex Epit. et O, deest ap. C.
6. καὶ inserui c. O.

www.libtool.com.cn

λέγε ἡμῖν ὅπερ σοι δοκεῖ καλὸν εἶναι, καὶ ἀποδεξόμεθά σε, κἂν τῷ ὄντι μὴ καλὸν ᾖ τὸ λεγόμενον, ἐπείπερ ἀγαθῇ προαιρέσει τὸ δοκοῦν σοι καλὸν εἰπεῖν ἠθέλησας.

III. Καὶ ὁ γέρων τοῦ λέγειν ἤρξατο οὕτως· Θαλάσσῃ ὑμᾶς λελουμένους εἰς[1] τὸν ἀπόκρυφον τόπον ὑποχωρήσαντας ἰδών, προσελθὼν λάθρα κατεσκόπουν τὸ τί ἂν ἐν κρυφαίῳ εἰσιόντες πράττοιτε, καὶ ἐπειδὴ εὐχομένους εἶδον[2], ὑπεχώρησα· ἐλεήσας δὲ ὑμᾶς ἀνέμεινα, ὅπως ἐξιοῦσι[3] προσομιλήσας πείσω μὴ ἀπατᾶσθαι. οὔτε γὰρ Θεός ἐστιν, οὔτε πρόνοια, ἀλλὰ γενέσει τὰ πάντα ὑπόκειται, ὡς ἐγὼ ἐφ' οἷς πέπονθα πεπληροφόρημαι, ἐκ πολλῶν[4] ἀκριβῶν τὸ μάθημα. μὴ οὖν ἀπατῶ, τέκνον. εἴτε γὰρ εὔχῃ, εἴτε μή, τὰ ἐκ τῆς γενέσεως πάσχειν ἀνάγκην ἔχεις· εἰ γὰρ εὐχαί τι ἐδύναντο[5] ἢ τὸ εὖ ποιεῖν, αὐτὸς ἂν ἐν τοῖς κρείττοσιν ἦμην. καὶ νῦν εἰ μή σε ἀπατᾷ ἡ πενιχρά μου αὕτη ἐσθής, οὐκ ἀπιστήσεις[6] οἷς λέγω. ἐν πολλῇ βίου ποτὲ ὢν περιουσίᾳ, πολλὰ καὶ θεοῖς ἔθυον, καὶ δεομένοις παρεῖχον, καὶ ὅμως εὐχόμενός τε καὶ εὐσεβῶν τὴν πεπρωμένην ἐκφυγεῖν οὐκ ἠδυνήθην. κἀγὼ ἔφην· τίνα ἐστὶν ἃ πέπονθας[7]; ὁ δὲ ἀπεκρίνατο· οὐκ ἀνάγκη λέγειν νῦν, ἴσως ἐπὶ τέλει ἀκούσῃ, τίς τε ὢν ἐγὼ καὶ τίνων, ἐν ποίαις βίου περιστάσεσι γέγονα. νῦν δὲ ὅτι γενέσει τὰ πάντα ὑπόκειται, πληροφορηθῆναί σε θέλω.

dabimus te, licet re vera, quod dixeris, bonum non fuerit, quoniam prudenti consilio id, quod tibi visum est bonum, volueris proloqui.

III. Tum senex ita coepit dicere: In mari vos lavisse vidi, et post hoc ad secretum secessisse locum: accedens ergo, et observans de occulto, quid in secretum ingressi ageretis, cum orantes inspexissem, secessi: et vos miseratus opperiri coepi, usquequo egressos alloquerer, ac docerem ne erretis. Quia neque Deus est, neque Providentia, sed Genesi omnia subjacent, sicut ego ex iis, quae mihi acciderunt, manifestissime comperi, in disciplina matheseos jam pridem diligenter eruditus. Noli ergo errare fili. Sive enim ores, sive non, quae Genesis tua continet, haec tibi accident necessario. Nam si preces possent aliquid, vel bona opera, ipse inter feliciores essem. Ac nunc, nisi te decipit haec paupercula mea vestis, dictis meis non diffidas. Quum olim in magna bonorum abundantia versarer, multa tum Diis immolabam, tum egenis largiebar: attamen dum oro sc pie vivo, fatum non potui effugere. Et ego dixi: Quaenam sunt, quae tibi contigerunt? Ille vero respondit: Non necesse est nunc dicere: forte in fine audies, quisnam ego cum essem, et ex quibus ortus, in quales incurrerim vitae calamitates. Sed nunc, omnia subjici Geniturae, volo tibi esse persuasissimum.

1. *ὑπὸ* O.
2. *εἶδον* S O, *ἴδον* C.
3. Ita O et ex conject. C, in cuj. textu *ἀξιοῦσι*.
4. *πολλοῦ* C.
5. *δύνανται* C.
6. Ita O c. S, *ἀπιστήσῃς* C.
7. *πέπονθεν* O.

IV. Κἀγὼ ἔφην· εἰ γενέσει τὰ πάντα ὑπόκειται, καὶ τοῦθ'[1] οὕτως ἔχειν[2] πεπληροφόρησαι, σεαυτῷ ἐναντία νοῶν συμβουλεύεις. εἰ μὲν γὰρ[3] παρὰ γένεσιν οὐ δυνατὸν οὐδὲ τὸ φρονεῖν, τί ματαιοπονεῖς, συμβουλεύων γενέσθαι ὃ γενέσθαι ἀδύνατόν ἐστιν; ἀλλ' ἔτι μὴν εἰ γένεσις ὑφέστηκεν, μὴ σπεῦδε πείθειν ἐμὲ μὴ σέβειν τὸν καὶ τῶν ἄστρων δεσπότην, οὗ θέλοντος καὶ μὴ γενέσθαι τι, γενέσθαι ἀδύνατον[4]. αἰεὶ γὰρ τὸ ὑποκείμενον τῷ ἡγουμένῳ πείθεσθαι ἀνάγκην ἔχει. τὸ μέντοι τοὺς νομιζομένους θεοὺς σέβειν, γενέσεως ἐπικρατούσης, περιττόν ἐστιν. οὔτε γὰρ παρὰ τὸ δοκοῦν τῇ πεπρωμένῃ τι[5] γίνεται, οὔτε αὐτοί τι ποιεῖν δύνανται, τῇ καθόλου αὐτῶν ὑποκείμενοι γενέσει. εἰ γένεσις ἔστιν, ἀντίκειται τὸ μὴ πρῶτον ἄρχειν, ἢ[6] ὑποκεῖσθαι οὐ δύναται, τὸ ἀγέννητον ὡς ἀγέννητον ἑαυτοῦ πρεσβύτερον μηδὲν ἔχον.

V. Τοιαῦτα πρὸς ἀλλήλους λεγόντων ἡμῶν, πολὺς παρέστη ὄχλος. καὶ τότε ἐγὼ εἰς τὸν ὄχλον ἀποβλέπων ἔφην· ἐγὼ καὶ τὸ ἐμὸν φῦλον ἐκ προγόνων Θεὸν σέβειν παρειληφὼς καὶ παράγγελμα ἔχων γενέσει μὴ προσανέχειν, λέγω δὴ τῷ τῆς ἀστρολογίας μαθήμασι, διὰ τοῦτο οὐ προσέσχον. ὅθεν ἀστρολογίας μὲν οὐκ εἰμὶ ἔμπειρος, ὧν δέ εἰμι, ὑφηγήσομαι. ἐπειδὴ[7] γένεσιν ἀπ' αὐτῆς τῆς κατὰ τὴν γένεσιν ἐπιστήμης ἀνασκευάζειν οὐ[8] δύναμαι,

IV. Ego dixi: Si Genesi cuncta subsunt, hocque ita esse persuasum habes, tecum pugnantia cogitas et consulis. Etenim si contra Natale ne sentire quidem possumus, cur frustra laboras, id fieri consulendo, quod esse nequit? Quinetiam si Nativitas subsistit, noli in eo navare operam, ut persuadeas mihi, ne colam astrorum etiam Dominum, qui etsi velim non fieri aliquid, fieri nequit. Semper enim, quod subest, ei, quod praeest ac ducit, pareat necesse habet. Certe venerari eos, qui Dii putantur, Genesi dominante superfluum est. Neque enim praeter id, quod fato placet, quidquam fit, neque ipsi quidpiam facere possunt, qui universali Genesi suae sint subjecti. Si Genesis exsistit, repugnat, id quod non est primum, imperare: aut subjectum esse non potest, quum ingenitum, utpote ingenitum, nihil habeat se antiquius.

V. Haec cum inter nos loqueremur, ingens adstitit hominum multitudo. Tuncque ad eos respiciens dixi: Ego cum genere meo accepi a majoribus cultum Dei, et praeceptum habeo ne ortui adhaeream, astrologicae inquam disciplinae: idcirco ad eam animum non applicui. Unde astrologiae quidem non sum peritus: quorum autem peritiam habeo, illa exponam. Quia Genesin ex ipsa Geneseos scientia confutare nequeo, volo alia ratione ostendere, per Dei

1. τοῦτο C.
2. ἔχον C.
3. γὰρ praetermis. S c. Cl. ed. 1638 et 1724.
4. Ita O c. Epit. et marg. Ci, δυνατόν in textu, quod ut sanam lect. repetivit S, dummodo οὐ θέλοντος referas ad ἐμέ.
5. τι O c. Epit., deest in textu Ci.
6. ἢ et τὸ ἀγέννητον Cod. Reg. 804, desunt in utroque Hom. Cod.
7. ἐπειδὴ γὰρ Cod. Reg. 804.
8. οὐ add. D ex conject. c. nonnullis

βούλομαι ἄλλῳ τρόπῳ ἀποδεῖξαι, ὅτι κατὰ πρόνοιαν διοικεῖται τὰ πράγματα, καὶ ἕκαστος, πρὸς ἃ πράττει, τιμῆς ἢ κολάσεως τεύξεται· εἴτε δὲ[1] νῦν εἴτε αὖθις, οὐθέν μοι διαφέρει, πλὴν ὅτι πάντως ἀπολαύσει ἕκαστος ὧν ἔπραξεν. ἡ δὲ ἀπόδειξις τοῦ μὴ εἶναι γένεσιν, ἔστιν αὕτη. τῶν παρεστώτων εἴ τις ὀφθαλμῶν ἐστέρηται, ἢ κυλλὴν ἔχει[2] τὴν χεῖρα, ἢ χωλὸν τὸν πόδα, ἢ ἕτερόν τι περὶ σῶμα, ὃ ὑποστροφὴν πρὸς ἴασιν πάλιν οὐκ ἔχει, καὶ παντὸς ἰατικοῦ[3] ἐπαγγέλματος ἐκτός ἐστιν· ὃν οὐδὲ ἀστρολόγοι ἰᾶσθαι ἐπαγγέλλονται, ὅτι μὴ ἀπὸ τοῦ μακροῦ αἰῶνος τοιοῦτόν τι γέγονεν· ἐγὼ δὲ Θεοῦ δεηθεὶς τὴν ἴασιν παράσχω[4], ὁπότε ἐκ γενέσεως κατόρθωσιν τὸ τοιοῦτο[5] οὐδέποτε λαβεῖν ἠδυνήθη. τούτου οὕτως γενομένου οὐχ ἁμαρτάνουσιν οἱ τὸν πάντα δημιουργήσαντα Θεὸν βλασφημιοῦντες; καὶ ὁ γέρων ἀπεκρίνατο· βλασφημεῖν γάρ ἐστι τὸ λέγειν γενέσει ὑποκεῖσθαι τὰ πάντα; κἀγὼ ἀπεκρινάμην· καὶ πάνυ. εἰ γὰρ πᾶσαι αἱ τῶν ἀνθρώπων ἁμαρτίαι καὶ ἀσέβειαι καὶ ἀσέλγειαι ἐξ ἀστέρων γίνονται, οἱ δὲ ἀστέρες ταῦτα ποιεῖν ὑπὸ Θεοῦ ἐτάγησαν, ἵνα πάντων χαλεπῶν ἀποτελεστικοὶ γένωνται, αἱ πάντων ἁμαρτίαι εἰς αὐτὸν ἀναφέρονται, τὸν τὴν γένεσιν θέντα ἐν τοῖς ἄστροις.

VI. Καὶ ὁ γέρων ἀπεκρίνατο· ἀληθῶς μεγάλως[6] ἔφης, ἀλλὰ πάσῃ σου

providentiam res administrari, et unumquemque secundum ea quae faciat, praemium vel poenas esse nacturum: sive nunc, sive posthac, nihil mea interest: nisi quod omnino unusquisque fructum eorum quae gesserit percipiet. Demonstratio autem, non esse Genesin, haec est. Ex adstantibus si quis oculis sit orbatus, aut mutilam habeat manum, vel pedem claudum, vel in corpore aliquid aliud, quod et redire ad integritatem non valeat, et sit supra omnem magicam artem: quem neque astrologi se profiteantur sanaturos, quoniam ab omni saeculo nihil tale contigit: ego vero Deum precatus sanitatem praebuero, quandoquidem id nullatenus potuit per Genesin corrigi. Hoc ita facto, nonne errant qui in cunctorum opificem Deum maledicta et blasphemias conjiciunt? Respondit senex: Scilicet id est maledicta conferre, dicere Geniturae subjici universa? Excepi ego: Omnino est. Nam si omnes hominum errores et impietates et impudicitiae ex stellis oriuntur, stellae autem ad ea facienda a Deo constitutae sunt, quo cunctorum flagitiorum sint effectrices, omnium peccata ad eum referuntur, qui in astris posuerit Genesin.

VI. Et senex respondit: Admodum vere locutus es: sed omni tuae in-

Epitomes Codicibus. Verba ἐπειδὴ γένεσιν ἀπ' αὐτῆς τῆς κατὰ τὴν γένεσιν ἐπιστήμης ἀνασκευάζειν οὐ δύναμαι desiderantur in O.

1. δὲ transcripsi ex O.
2. ἔχει addunt Epit. et Cod. Reg. 804. In O est: ἢ κυλλὴν τὴν χεῖρα ἔχοι.
3. ἰᾶται O.
4. παρασχῷ C, παρέξω Epit., παρασχήσω conj. S. Subinde ὁπότε ὁ ἐκ O.
5. τοιοῦτον O.
6. μεγάλως omiserim c. O.

www.libtool.com.cn

τῇ ἀπαραβλήτῳ ἀποδείξει ἡ ἐμὴ ἐμποδίζει συνείδησις. ἐγὼ γὰρ ἀστρολόγος ὢν καὶ Ῥώμην πρῶτον οἰκήσας, εἶτα[1] φιλιωθείς τινι πρὸς γένους ὄντι Καίσαρος, αὐτοῦ τε καὶ τῆς συμβίου τὴν γένεσιν ἀκριβῶς[2] ἠπιστάμην, καὶ ἱστορήσας ἀκολούθως τὰς πράξεις ἀποτελεσθείσας αὐτῶν τῇ γενέσει ἔργῳ[3], σοὶ λόγῳ πείθεσθαι οὐ δύναμαι. ἦν γὰρ τῆς γενέσεως αὐτῆς τὸ διάθεμα, ποιοῦν μοιχάδας, ἰδίων δούλων ἐρώσας, καὶ ἐπὶ ξένης ἐν ὕδασι θνησκούσας. ὃ καὶ οὕτως[4] γέγονεν. ἐρασθεῖσα γὰρ τοῦ ἰδίου δούλου καὶ μὴ φέρουσα τὸν ψόγον, φυγοῦσα σὺν αὐτῷ, ἐν ἀλλοδαπῇ ὁρμήσασα καὶ κοίτης αὐτῷ κοινωνήσασα, κατὰ θάλασσαν[5] διεφθάρη.

VII. Κἀγὼ ἀπεκρινάμην· καὶ πῶς ἄρα[6] γινώσκεις ὅτι ἡ φυγοῦσα ἐν ἀλλοδαπῇ γενομένη τὸν δοῦλον ἔγημεν, καὶ γήμασα[7] ἐτελεύτησεν; καὶ ὁ γέρων· ἀσφαλῶς οἶδα τἀληθῆ, οὐχ ὅτι ἔγημεν, ὁπότε οὐδ' ὅτι ἤρα ἐγίνωσκον, ἀλλὰ μετὰ τὴν αὐτῆς ἀπαλλαγὴν καὶ[8] ἀδελφὸς ὁ τοῦ ἀνδρὸς αὐτῆς ἐμοὶ διηγήσατο πάντα τὰ κατὰ τὸν αὐτῆς ἔρωτα, καὶ[9] ὡς σεμνὸς ὤν, ἅτε δὴ καὶ[10] ἀδελφός, οὐκ ἐβουλήθη μιᾶναι τὴν κοίτην, καὶ πῶς βουλομένη καὶ αἰδουμένη αὐτὸν καὶ τὸν ψόγον ἡ τάλαινα (οὐκ ἔστι γὰρ αὐτὴν μέμψασθαι, ὅτι ἐκ γενέσεως ταῦτα ποιεῖν τε[11] καὶ πάσχειν ἠναγκάζετο[12]) ὄνειρον εἴτε ἀληθῆ εἴτε ψευδῆ ἐπλάσατο οὐκ ἔχω λέγειν· ἔλεγε γὰρ αὐτὴν

comparabili probationi mea obstat conscientia. Ego enim, qui astrologus sum, et Romae primum habitavi, amicus postea factus cujusdam qui erat ex genere Caesaris, viri illius uxorisque ejus Genituram accurate notam habui; cumque viderim, res, prout ferebat eorum Genesis, revera evenisse, sermone a te nequeo persuaderi. Habebat enim mulier talem constellationem, quae adulteras facit, et servos proprios amare, in peregrinatione et in aquis defungi: quod et ita factum est. Incidit namque in amorem servi sui, et opprobrium non ferens fugit cum ipso; ac peregre profecta, illique commista, periit in mari.

VII. Et ego respondi: Unde igitur scis, quod illa fugiens, in alieno solo posita, servo nupserit, et post nuptias fuerit defuncta? Et senex: Certissime, inquit, scio, revera non quod nupserit servo, quandoquidem neque quod eum amaret, agnoveram: sed postquam profecta est, etiam frater viri ejus mihi enarravit omnem illius amorem; quod ipse, qui honestus erat, utpote frater, noluerit torum maculare, et quo modo volens, ac ipsum atque opprobrium verita illa infelix (neque enim imputandum ei est, quia eam Genesis facere illa et perpeti compulit) finxerit somnium, verumne an falsum, non habeo dicere.

1. εἶτα add. c. O. Subinde φιλωθείς C.
2. ἀκριβῶς recepi ex O.
3. ἀκολούθως τῇ γενέσει αὐτῶν τὰς πράξεις ἀποτελεσθείσας ἔργῳ C.
4. οὕτω C.
5. κοινωνήσασα αὐτῷ, θαλάσσῃ p. κοίτης αὐτῷ κοινωνήσασα, κ. θάλασσαν C.
6. πῶς p. καὶ πῶς ἄρα D.
7. γήμασασα O.
8. ὁ C.
9. καὶ καὶ O.
10. καὶ O c. Epit., ὁ C. Tum recipi τὴν ex O, qui scr. μιάναι.
11. τε add. c. O.
12. ἠναγκάζετο, O.

www.libtool.com.cn

εἰρηκέναι, ὡς ὅτι ἐν ὁράματι ἐπιστάς τις ἐκέλευσέ μοι ἅμα τέκνοις ἐξαυτῆς τὴν Ῥωμαίων ἐκβῆναι πόλιν. ὁ δὲ ἀνὴρ σώζεσθαι αὐτὴν σὺν τοῖς υἱοῖς σπεύδων αὐτίκα αὐτοὺς παιδευθησομένους [1] εἰς τὰς Ἀθήνας ἐξέπεμψε σὺν τῇ μητρὶ καὶ δούλοις, τρίτον δὲ νεώτερον υἱὸν ἔχων ἔσχε παρ' ἑαυτῷ [2], ὡς δὴ τοῦ χρηματίσαντος κατ' ὄναρ συνεῖναι αὐτὸν αὐτῷ ἐπιτρέψαντος. πολλοῦ δὲ χρόνου διελθόντος οὐκ ἔλαβε γράμματα παρ' αὐτῆς. αὐτὸς πολλάκις πέμψας εἰς Ἀθήνας, ἐμὲ παραλαβὼν ὡς πάντων αὐτῷ γνησιώτερον ὄντα, ἐπὶ τὴν ζήτησιν αὐτῆς [3] ἐπορεύθη. πολλὰ μὲν οὖν αὐτῷ καὶ κατὰ τὴν ἀποδημίαν συνέκαμνον [4] προθύμως, μεμνημένος ὅτι τῆς πάλαι αὐτοῦ εὐδαιμονίας κοινωνόν με πάντων εἶχεν, ὑπὲρ πάντας αὐτοῦ με τοὺς φίλους ἀγαπῶν [5]. καὶ δὴ ἀπεπλεύσαμεν αὐτῆς Ῥώμης, καὶ οὕτως εἰς τὰ ἐνταῦθα τῆς Συρίας ἐγενόμεθα μέρη [6], καὶ εἰς Σελεύκειαν παρεβάλομεν [7], καὶ οὕτως ἐκβάντων ἡμῶν τοῦ πλοίου μετ' οὐ πολλὰς ἡμέρας ἐκεῖνος μὲν [8] ἀθυμῶν ἐτελεύτησεν. ἐγὼ δὲ ἐνταῦθα ἐλθών, τὰς διὰ τῶν χειρῶν τροφὰς ἔκτοτε καὶ εἰς δεῦρο πορίζομαι [9].

VIII. Ταῦτα τοῦ γέροντος εἰπόντος σύνοιδα [10], ὅτι, ὃν ἔλεγεν γέροντα τεθνάναι [11], οὗτος αὐτὸς ἦν, ἐξ ὧν ἔλεγεν, ὁ πατὴρ ὁ ὑμέτερος. οὐκ ἐβουλήθην οὖν [12] τὸ καθ' ὑμᾶς αὐτῷ συναντιβαλεῖν, μέχρις ἂν ὑμῖν προσα-

Aiebat siquidem ipsam dixisse: Adstitit mihi quidam per visum, qui jussit me cum liberis sine mora urbe Roma egredi. At vir pro salute ejus filiorumque sollicitus confestim eos erudiendos Athenas misit cum matre et servis: habens vero tertium filium, qui erat junior, sibi eum retinuit, is enim, qui responsa in somnis dederat, cum eo manere illum permiserat. Caeterum multo elapso tempore ab ea litteras non accepit; cumque saepe Athenas misisset, assumpto me, qui ei omnium essem conjunctissimus ac fidissimus, ad eam quaerendam profectus est. Multos equidem cum ipso in peregrinatione labores alacriter tuli, memor quod in prisca sua feliciiate me omnium habuisset socium, ac supra omnes amicos dilexisset. Itaque Roma solvimus, sicque in has Syriae partes devenimus et appulimus ad Seleuciam. Atque ita e navi egressis nobis ille non multos post dies prae animi dolore obiit, ego autem huc veniens, victum ab eo tempore ad hunc usque diem manibus comparo.

VIII. His a sene dictis intellexi ex oratione ejus, senem, quem obiisse dixerat, illum ipsum esse patrem vestrum. Nolui ergo de vestris rebus cum

1. παιδευθησομένας O.
2. ἔσχεν παρ' αὐτῷ C. Tum δὲ p. δὴ Cl. Errat S de C, qui et ipse δή.
3. αὐτῆς assumpsi ex O.
4. συνέκαμον C.
5. ἀγαπῶν Epit., ἀγαπῶντα C O.
6. μέρη ἐγενόμεθα C, insequente καὶ omisso.
7. παραβαλόντες suspicatur S.
8. Add. ἐκεῖνος μὲν ex O, quocum omisi ἑαυτὸν ἀποδοὺς ante τὰς διά.
9. ἔκτοτε μέχρι τοῦ δεῦρο πορίζω τροφάς C.
10. συνιδὼν O.
11. τεθνάναι γέροντα C. Sequens οἵτος adscripsi e. O. Dein ὁ ὑμέτερος πατὴρ C.
12. οὖν om. O.

www.libtool.com.cn

νάθωμαι. πλὴν τὰ κατὰ τὴν ξενίαν αὐτοῦ καταμαθὼν καὶ τὴν ἐμὴν δὲ[1] μηνύσας, ἀκριβείας ἕνεκα, τοῦτο μόνον ἐπυθόμην, τί ὄνομα τῷ γέροντι; ὁ δὲ ἔφη, Φαῦστος. τί δὲ τοῖς διδύμοις υἱοῖς; ὁ δὲ ἀπεκρίνατο, Φαυστῖνος καὶ Φαυστινιανός. τί δὲ τῷ τρίτῳ υἱῷ; ὁ δὲ εἶπεν, Κλήμης. τί δὲ τῇ τούτων μητρὶ ὄνομα; ὁ δὲ ἔφη, Ματτιδία[2]. ὑπὸ συμπαθείας οὖν ἐγὼ σύνδακρυς γενόμενος, ἀπολύσας τοὺς ὄχλους ἦλθον πρὸς ὑμᾶς, ἵνα μετὰ τὴν ἁλῶν κοινωνίαν ταῦτα προσανάθωμαι ὑμῖν. πρὸ δὲ τοῦ ἁλῶν μεταλαβεῖν εἰπεῖν ὑμῖν οὐκ ἐβουλήθην, μή πως ὑπὸ λύπης νικηθέντες ἐν τῇ τοῦ βαπτίσματος ἡμέρᾳ πενθοῦντες διατελέσητε, ὁπότε καὶ ἄγγελοι χαίρουσιν. ταῦτα τοῦ Πέτρου λέγοντος ἐδακρύομεν οἱ πάντες μετὰ τῆς μητρός. ὁ δὲ δακρύοντας ἰδὼν ἡμᾶς[3] ἔφη· νῦν ἕκαστος ὑμῶν φόβῳ τῷ πρὸς τὸν Θεὸν γενναίως φερέτω τὰ λεχθέντα. οὐ γὰρ δὴ σήμερον ὑμῖν ἐτελεύτησεν ὁ πατήρ, ἀλλὰ καὶ ἔκπαλαι[4], ὡς ὑμεῖς στοχαζόμενοι εἰρήκατε.

IX. Ταῦτα τοῦ Πέτρου εἰπόντος, ἡ μήτηρ μὴ φέρουσα βοῶσα ἔφη· οἴμοι[5] ἄνερ, ἡμᾶς ἀγαπῶν κρίσει μὲν αὐτὸς ἐτελεύτησας, ἡμεῖς δὲ ζῶντες φῶς ὁρῶμεν, καὶ τροφῆς ἄρτι[6] μεταλαμβάνομεν. οὔπω δὲ τῆς μιᾶς ταύτης ὁλολυγῆς παυσαμένης, ἰδοὺ καὶ[7] ὁ γέρων εἰσῄει, καὶ ἅμα τῷ βούλεσθαι αὐτὸν τῆς κραυγῆς τὴν αἰτίαν πυνθάνεσθαι εἰς τὴν γυναῖκα ἐμ-

eo sermonem conferre, donec communicassem vobiscum. Nisi quod ubi hospitium ejus didicissem, meumque indicassem, explorandi causa, hoc tantum percontatus sum, quod esset seni nomen? ille autem, *Faustus.* inquit; item quod nomen geminis filiis? illé vero respondit, *Faustinus et Faustinianus;* et quodnam tertio filio? at ille dixit, *Clemens;* denique quo nomine vocaretur eorum mater? et ait, *Mattidia.* Ego igitur ex miseratione collacrymans, dimissa turba, veni ad vos, ut post cibi communem perceptionem haec vobiscum communicarem. Porro ante cibum sumptum nolui narrare, ne forte victi dolore baptismi diem in luctu duceretis, quando etiam Angeli efferuntur laetitia. Haec Petrus cum diceret, omnes una cum matre lacrymis nos dedidimus. Quos ille lacrymantes videns ait: Nunc unusquisque vestrum, pro timore ergo Deum, fortiter quae memorata sunt ferat. Neque enim hodie vobis interiit pater, sed jam olim, sicut vos conjectura recte facta dixistis.

IX. Ista Petro loquente mater ferre non valens clamavit et dixit: Hei mihi, o vir; tu nos diligens mori voluisti; nos vero vivimus, et lucem aspicimus, et adhuc capimus cibum. Nondum autem hoc uno ejulatu finito, ecce senex ingreditur, et simul atque clamoris causam sciscitari vellet, respiciens

1. δὲ inserui c. O.
2. ματθιδία O.
3. ἡμᾶς ἰδὼν C.
4. ἔκ πάλαι O.
5. Ita Epit. et O, οἴμμοι C. Tum μὲν αὐτὸς accessit ex O.
6. ἄρτι add. c. O, qui om. seq. δέ.
7. καὶ recepi ex O.

www.libtool.com.cn

βλέψας ἔφη· οἶμοι[1] τί θέλει τοῦτο εἶναι; τίνα ὁρῶ; προσελθὼν δὲ καὶ ἀκριβέστερον ἐνιδὼν καὶ ὁραθεὶς περιεπλέκετο. οἱ δὲ ὑπὸ χαρᾶς αἰφνιδίου διεφώνουν ἀμφότεροι, καὶ λαλεῖν ἀλλήλοις βουλόμενοι, ἀφασίᾳ συσχεθέντες ἐκ[2] τῆς ἀπλήστου χαρᾶς οὐκ ἐδύναντο κρατεῖν. πλὴν μετ' οὐ πολὺ πρὸς αὐτὸν ἡ[3] μήτηρ· ἔχω σε Φαῦστε, τὸν κατὰ πάντα μοι[4] γλυκύτατον. πῶς ἄρα ζῇς, ὃν ὡς τεθνεῶτα μικρῷ πρόσθεν[5] ἠκούσαμεν; πλὴν οὗτοί εἰσιν ἡμῶν υἱοί, Φαυστῖνος, Φαυστινιανὸς καὶ Κλήμης. ταῦτα εἰποῦσης, ἡμεῖς οἱ τρεῖς προσπέσοντες αὐτῷ καὶ καταφιλοῦντες ἀμαυρῶς πως τὴν μορφὴν αὐτοῦ ἀνεφέρομεν.

X. Ταῦτα βλέπων ὁ Πέτρος ἔφη· σὺ εἶ Φαῦστος, ὁ ταύτης ἀνὴρ καὶ τῶν αὐτῆς παίδων πατήρ; ὁ δὲ ἔφη· ἐγώ εἰμι. καὶ ὁ Πέτρος· πῶς οὖν μοι τὰ σεαυτοῦ[6] ὡς περὶ ἄλλου διηγήσω, πόνους εἰπὼν καὶ λύπην καὶ τάφον; καὶ ὁ πατὴρ ἀπεκρίνατο· πρὸς γένους ὑπάρχων Καίσαρος, καὶ περίφωρος μὴ θέλων γενέσθαι, ἄλλῳ τινὶ[7] τὴν ἐξήγησιν ἀνετυπωσάμην[8], ἵνα αὐτὸς ὅστις εἰμὶ μὴ νοηθῶ. ἤδειν γὰρ ὅτι, εἰ ἀναγνώριμος γένωμαι, οἱ κατὰ τόπον ἡγούμενοι ταῦτα μαθόντες ἀνακαλέσονταί[9], Καίσαρι κεχαρισμένα ποιοῦντες, καὶ τὴν τοῦ βίου πάλαι εὐδαιμονίαν μοι[10] περιθήσουσιν, ᾧπερ ὅλῃ προθέσει πρότερον ἀπεταξάμην. οὐ γὰρ ἠδυνάμην, περὶ

ad uxorem: Hei, inquit, quidnam hoc est? Quam video? Accedens vero et diligentius aspiciens ac visus complexus est. Ambo autem prae gaudio repentino defecerunt exclamare nisi, et alter alteri loqui cupientes vocem non potuerunt emittere, nec continere inexpletam laetitiam. Verum non multo post mater quidem ad eum: Habeo te Fauste, omni modo mihi suavissimum. Et qua ratione vivis, de cujus morte paullo ante audivimus? Caeterum hi sunt filii nostri, Faustinus, Faustinianus, et Clemens. Quae cum dixisset, nos tres in ipsum incumbentes, eumque deosculati, formam illius obscure recoluimus.

X. Haec videns Petrus ait: Tu es Faustus, hujus vir, ejusque liberorum pater? Ille vero: Ego sum, inquit. Et Petrus: Quare ergo tua mihi tamquam de alio enarrasti, labores referens et dolorem et exsequias? Tum Pater respondit: Cum sim ex genere Caesaris, cumque nollem deprehendi, de alio quodam narrationem effinxi, ut ipse quis essem non intelligerer. Sciebam enim quod, si fuissem recognitus, loci praesides eo audito, ut Caesari rem gratam facerent, me essent revocaturi, et prioris vitae felicitate circumdaturi, cui ex

1. Ita Epit. et O, *οἰμμοι* C.
2. *συσχεθέντες, καὶ* C. Tum in O *ἐδύσαντο*, ad oram p. *ἐδύναντο*.
3. *ἡ μὲν* p. *πρὸς αὐτὸν ἡ* C.
4. *πάντοιμοι* p. *πάντα μοι* O.
5. *τάχιον* C.
6. *τοὺς ἑαυτοῦ* p. *τὰ σεαυτοῦ* O.
7. Ita O c. Epit. 119, *εἰς ἄλλου τινὸς* C, *ἐπ' ἄλλου τινὸς* S.
8. Ita O et Epit., *ἀνατυπωσάμενος* C. *αὐτοῖς* p. *αὐτὸς* O. Idem *ἐπιγνωσθῶ*. *ἤδοι* p. *νοηθῶ*. *ἤδειν*.
9. *ἡγούμενοι ἀκούσαντες, ἀνακαλέσαντες* C. Sequens *καὶ* inserui c. O.
10. *βίου μοι εὐδαιμονίαν* C, qui pergit *περιθήσουσιν, ὅπερ ἀπεταξάμην*.

τῶν ἐμοὶ ἠγαπημένων τὰ μέγιστα ὡς περὶ θανόντων κρίνας, πρὸς τὴν τοῦ βίου τρυφὴν ἑαυτὸν ἀποδιδόναι.

XI. Καὶ ὁ Πέτρος ἔφη· ταῦτα μὲν ἐποίησας ὡς ἐβουλεύσω. περὶ δὲ γενέσεως ἄρα ψευδόμενος διισχυρίζου, ἢ ὡς ἀληθεύων ἐβεβαίους[1]; καὶ ὁ πατὴρ ἔφη· οὐ ψεύσομαι πρὸς σέ, ἀληθῶς ὡς οὔσης γενέσεως ἐβεβαίουν. εἰμὶ γὰρ οὐκ ἀμύητος τοῦ θεωρήματος· πλὴν ἀλλὰ καὶ[2] συνῆν μοί τις, ἀστρολόγων ἄριστος, ἀνὴρ Αἰγύπτιος, Ἀννουβίων ὀνόματι, ὅστις ἐν ταῖς ἀποδημίαις κατ' ἀρχάς μοι φιλιωθεὶς[3] τὸν τῆς ἐμῆς συμβίου μετὰ τῶν τέκνων θάνατον ἐδήλου. καὶ ὁ Πέτρος ἔφη· οὐκοῦν ἔργῳ πέπεισαι νῦν[4], ὅτι οὐ συνέστηκε τὰ κατὰ τὴν γένεσιν; καὶ ὁ πατὴρ ἀπεκρίνατο· ἀνάγκη με πάντα τὰ ὑποτρέχοντά μου[5] εἰς τὸν νοῦν ἐκτίθεσθαί σοι, ἵνα πρὸς αὐτὰ ἀκούων μανθάνειν ἔχω τούς σου τούτων ἐλέγχους. ἀλλὰ καὶ[6] πολλὰ παίειν οἶδα τοὺς ἀστρολόγους, πολλὰ δὲ καὶ ἀληθεύειν. ὑποπτεύω οὖν μήπως ἃ μὲν ἀκριβοῦσιν, ἀληθεύουσιν, ἃ δὲ παίουσιν, ἀμαθίᾳ πάσχουσιν, ὡς ὑπονοεῖν με, τὸ μὲν μάθημα συνεστάναι, αὐτοὺς δὲ δι' ἀμαθίαν ψεύδεσθαι μόνην[7], διὰ τὸ μὴ πάντας[8] περὶ πάντων ἀκριβοῦν δύνασθαι.

toto animo antea renunciaveram. Qui enim me ob mortem carorum creditam ad maxima damnaveram, non poteram vitae deliciis indulgere.

XI. Et Petrus dixit: Haec quidem fecisti quemadmodum placuit. Sed de Genitura mentiensne affirmabas, an veluti verum dicens asserebas? Respondit pater: Non mentiar apud te. Tamquam vere sit Genesis, confirmabam. Non enim rudis sum in mysteriis hujus disciplinae: sed et mecum versatus est quidam Aegyptius, astrologorum praestantissimus, nomine Annubion, qui in peregrinationibus, ab initio mihi amicus effectus, uxoris meae ac liberorum mortem indicavit. Dixit Petrus: Numquid jam re ipsa persuasum habes, Genesin non consistere? Pater respondit: necesse est ut omnia, quae mentem meam subeunt, tibi exponam, quo ad ea audiens possim discere tuas eorum refutationes. Sed enim animadverti errare in multis astrologos, in multis etiam vere loqui. Suspicor igitur eos forte in iis, quae explorata habent, vere dicere, in iis autem, in quibus errant, id ignorantia pati, quare conjecto constare quidem disciplinam, illos autem per solam inscitiam falsa praedicare, eo quod non omnes possint de omnibus habere scientiam. Et Petrus dixit: cave ne cum verum

1. ἐβεβαιοῦ C. Vb. ἔφη in O ponitur post ψεύσομαι.
2. θεωρήματος· πλὴν C, θεωρήματος, πλὴν S.
3. φιλωθεὶς C.
4. νῦν inserui c. O. Subinde οὐ ex eod. et Epitome. τὴν ante γένεσιν om. C.
5. μοι nonnulli Epit. Codd.
6. Vbb. τούς σου τούτων ἐλέγχους. ἀλλὰ καὶ (S) des. in O. τοῖς δὲ τούτου ἐλέγχου C in textu, in marg. τούς — ἐλέγχους. Epitome exhibet: ἵνα παρὰ σοῦ πάλιν τἀληθῆ μάθω καὶ βέβαια· πολλὰ παίειν οἶδα κτλ. Unde Davisius: μανθάνειν ἔχω τοῖς δή σου ἐλέγχοις τἀληθῆ. καὶ πολλῶν παίειν κτλ.
7. μόνην om. O.
8. πάντως O.

καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἄπεχε[1], μή πως, περὶ ὧν ἀληθεύουσιν, ἐπιτυγχάνουσιν, καὶ οὐχὶ ἀκριβοῦντες λέγουσιν. ἀνάγκη γὰρ πᾶσα ἐκ πολλῶν τῶν λεγομένων ἀποβαίνειν τινά. καὶ ὁ γέρων ἔφη. πῶς οὖν ἔστι περὶ[2] τούτου πληροφορηθῆναι, τὸ εἴτε συνέστηκεν τὸ κατὰ τὴν γένεσιν, ἢ οὔ;

XII. Ἀμφοτέρων οὖν σιωπώντων ἔφην ἐγώ[3]· ἐπειδὴ τὸ μάθημα ἀκριβῶς ἐπίσταμαι, ὁ δὲ κύριος καὶ ὁ πατὴρ οὐχ οὕτως, ἤθελον, εἰ αὐτὸς Ἀννουβίων παρῆν, ἐπὶ τοῦ πατρὸς ποιήσασθαι[4] λόγον. οὕτω γὰρ ἂν τὸ πρᾶγμα εἰς φανερὸν ἐλθεῖν ἠδύνατο, τεχνίτου πρὸς ὁμότεχνον τὴν ζήτησιν ἐσχηκότος. καὶ ὁ πατὴρ ἀπεκρίνατο· ποῦ οὖν δυνατόν ἐστιν Ἀννουβίωνι συντυχεῖν; καὶ ὁ Πέτρος ἔφη· ἐν Ἀντιοχείᾳ, ἐκεῖ γὰρ μανθάνω Σίμωνα τὸν μάγον ὄντα[5], ᾧ Ἀννουβίων παρεπόμενος ἀχώριστός ἐστιν. ἐπὰν[6] οὖν ἐκεῖ γενώμεθα, ἐάν γε καταλάβωμεν αὐτούς, ἡ ζήτησις γενέσθαι δύναται. καὶ ὁμῶς πολλὰ διαλεχθέντες καὶ ἐπὶ τῷ ἀναγνωρισμῷ χαρέντες[7] καὶ Θεῷ εὐχαριστήσαντες, ἑσπέρας ἐπικαταλαβούσης, εἰς ὕπνον ἐτράπημεν.

## *ΟΜΙΛΙΑ ΙΕ'.*

I. *Ὄρθρου δὲ γενομένου ὁ πατὴρ μετὰ τῆς μητρὸς ἡμῶν καὶ τῶν τριῶν υἱῶν εἰσελθών, ἔνθα ὁ Πέτρος ἦν, προσαγορεύσας ἐκαθέσθη, ἔπειτα*

proferunt, casu assequantur et non tamquam certo scientes dicant. Omnino enim necesse est, ex multis dictis evenire nonnulla. Tum senex ait: qua ergo ratione certitudo hac in re esse potest, an constet genesis, nec ne?

XII. Cum igitur uterque taceret, ego dixi: quia mathematicas disciplinas penitus novi, dominus autem et pater non item, si ipse Annubion adesset, coram patre disputationem haberem. Ita quippe res palam venire posset, dum artis peritus adversus ejusdem artis hominem quaestionem agitaret. Respondit pater: ubi ergo potest cum Annubione congressus et colloquium haberi? Et Petrus ait: Antiochiae: ibi enim audio esse Simonem magum, quem Annubion affectatus non deserit. Quando ergo illic fuerimus, si eos nanciscamur, disceptatio fieri poterit. Et postquam de multis disseruimus, propter recognitionem laeti et Deo gratias agentes, nocte superveniente ad somnum nos contulimus.

## HOMILIA XV.

I. Exorto autem mane pater cum matre nostra tribusque filiis ingressus in locum ubi erat Petrus, cum salutasset, sedit, deinde nos quoque, illo jubente.

1. ἔπεχε var. lect. in Epit.
2. Ita O c. Epit., πρὸ C.
3. ἐγὼ excidit ap. Cl et S.
4. Ita O c. Epit., ἐποιησάμην C. Supra ἐθέλων leg. censet S.
5. εἶναι p. τὸν μάγον ὄντα O.
6. ὡς ἂν C.
7. χαρᾶς πληρωθέντες O.

www.libtool.com.cn

καὶ ἡμεῖς, αὐτοῦ κελεύσαντος. καὶ ὁ Πέτρος τῷ πατρὶ προσεμβλέψας ἔφη· σπεύδω ὁμόφρονά σε γενέσθαι γυναικὶ καὶ τέκνοις, ὅπως αὐτοῖς καὶ ἐνταῦθα ὁμοδίαιτος ἦς, κἀκεῖ μετὰ τὸν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς χωρισμὸν συνὼν ἄλυπος ἔσῃ[1]. ἢ γὰρ οὐ τὰ μέγιστά σε λυπεῖ καὶ αὐτοὺς τὸ μὴ ἀλλήλοις συνεῖναι; καὶ ὁ πατήρ· καὶ πάνυ γε. καὶ ὁ Πέτρος· εἰ οὖν καὶ[2] ἐνταῦθα τὸ ἀλλήλων κεχωρίσθαι λυπεῖ, μετὰ θάνατον πάντως ὀφειλόμενον ὑμῖν μετ' ἀλλήλων μὴ εἶναι, πόσῳ γε μᾶλλον λυπήσει[3], σὲ μὲν ἄνδρα σοφὸν ὄντα τῷ τῆς γνώμης σου λόγῳ[4] τῶν σῶν κεχωρίσθαι, αὐτοὺς δὲ πολὺ μᾶλλον ὀδυνάσθαι τῷ εἰδέναι, ὅτι σε ἄλλα φρονοῦντα αἰώνιος μένει κόλασις, ῥητοῦ δόγματος ἀποφάσει;

II. Καὶ ὁ πατὴρ ἔφη· ἀλλ' οὐκ ἔστιν, ὦ φίλτατε, τὸ ἐν ᾅδου ψυχὰς κολάζεσθαι, αὐτῆς ἅμα τῷ ἀποστῆναι τοῦ σώματος εἰς ἀέρα λυομένης. καὶ ὁ Πέτρος ἔφη· μέχρις οὖν ὅτε ἂν[5] περὶ τούτου πείσωμέν[6] σε, ἀπόκριναί μοι, οὐ δοκεῖ σοι, σὲ μὲν ἀπιστοῦντα τὴν κόλασιν μὴ λυπεῖσθαι, ἐκείνους δὲ πεπεισμένους ἀνάγκην ἔχειν περὶ σοῦ ἀνιᾶσθαι; καὶ ὁ πατήρ· ἀκολούθως λέγεις. καὶ ὁ Πέτρος· διὰ τί δὲ αὐτοὺς οὐκ ἀπαλλάξεις μεγίστης περὶ οὗ λύπης, τῇ θρησκείᾳ συνθέμενος, οὐ δυσωπίᾳ λέγω, ἀλλ' εὐγνωμοσύνῃ, περὶ τῶν λεγομένων σοι ὑπ' ἐμοῦ ἀκούων, καὶ κρίνων εἰ ταῦτα οὕτως ἔχει, ἢ οὔ; καὶ εἰ μὲν οὕτως ἔχει ὡς λέγομεν, καὶ ὧδε συν-

Ac Petrus patrem intuitus ait: percupio te idem sentire quod uxor ac liberi, ut et hic cum eis convivas, et illic, post animae a corpore disjunctionem, simul cum eisdem sis omni molestia liber. An non enim te atque illos maxime contristaret, si una non essetis? Et pater, omnino sane. Tum Petrus: si ergo heic invicem separatos esse, molestia afficit, nonne, quando post mortem erit omnino necesse vos non esse simul, multo magis te contristabit, te quidem, qui vir sapiens es, ratione tuae opinionis disjungi a tuis, illos vero multo magis dolere, quod sciant te alia sentientem aeternum supplicium ob veri dogmatis negationem manere?

II. Et pater dixit: at non ita est, o amice, ut apud inferos puniantur animae, quoniam anima simul atque a corpore discesserit, in aërem dissolvitur. Excepit Petrus: itaque, usque dum hac de re tibi persuadeamus, responde mihi, nonne tibi videtur, te quidem, qui futuras poenas non credis, nequaquam dolere, illos vero, qui credunt, de te necessario angi? Tum pater: recte dicis. Petrus autem: et quare maximo de te moerore non eos liberabis, religioni assentiens, non pudore inquam, sed aequitate, de iis quae tibi a me dicuntur audiendo et judicando, utrum ea ita habeant, nec ne. Ac si quidem ita est, ut dicimus, et hic una cum carissimis delectaberis et illic cum eisdem requiem

1. μετὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος συνόντα ἄλυπον ἔσεσθαι C. In Epit. 122 συνὼν ἐν εὐφροσύνῃ διάγῃς,
2. καὶ add. e. O.
3. μᾶλλον οὐ λυπήσει C.
4. Ita Epit. et O, λόγῳ σου C.
5. ἂν om. O.
6. Ita S, πείσομεν C O.

ἀπολαύσεις τοῖς φιλτάτοις, κἀκεῖ συναναπαύσῃ, εἰ δὲ ἐν τῇ τῶν λόγων σου[1] σκέψει δείξῃς τὰ ὑφ' ἡμῶν λεγόμενα μῦθόν τινα ψευδῆ εἶναι, καὶ οὕτως καλῶς ποιήσεις, αὐτοὺς ὁμογνώμονάς σοι εἰληφώς, καὶ τοῦ κεναῖς ἐλπίσιν ἐπηρείδεσθαι παύσεις, καὶ ψευδῶν φόβων ἀπαλλάξεις.

III. Καὶ ὁ πατήρ· πολλὰ φαίνῃ μοι εὔλογα λέγων. καὶ ὁ Πέτρος ἔφη[2]· τί οὖν ἐστὶ τὸ κρατοῦν σε, μὴ εἰς τὴν ἡμετέραν πίστιν ἐλθεῖν, λέγε, ἵνα εἰς αὐτὸ λέγειν ἀρξώμεθα[3]. πολλὰ γάρ ἐστι τὰ κρατοῦντα· τοὺς μὲν πεπεισμένους ἀσχολίαν[4] ἀγορασμῶν, πράξεων, γεωργιῶν, φροντίδων καὶ ὅσα τοιαῦτα· ἀπιστοῦντας[5] δὲ, ἀφ' ὧν εἶ καὶ σύ, ὑπολήψεις τοῦ νομίζειν, ἢ θεοὺς τοὺς οὐκ ὄντας εἶναι, ἢ τὸ γενέσει τὰ πάντα ὑποκεῖσθαι ἢ αὐτοματισμῷ, ἢ τὰς ψυχὰς θνητὰς εἶναι[6], ἢ καὶ τὸν ἡμέτερον λόγον ψευδῆ ὡς οὐκ οὔσης προνοίας.

IV. Ἐγὼ δὲ προνοίᾳ Θεοῦ τὰ πάντα διοικεῖσθαι ἐκ τῶν περὶ σὲ γενομένων[7] εἶναι λέγω, τοσούτοις ἔτεσι τὴν διάστασίν σοῦ τε καὶ τῶν σῶν γενέσθαι. ἐπεὶ γὰρ σὺν σοὶ ὄντες ἴσως τῶν τῆς θεοσεβείας λόγων[8] οὐκ

consequeris. Quod si in sermonum tuorum disceptatione ostenderis, quae a nobis asseruntur, falsam esse fabulam, etiam sic praeclare facies, illos idem tecum sentientes accipiens, efficiesque ut desistant vana spe inniti, et liberabis falsis terroribus.

III. Et pater: multa mihi videris dicere rationi consentanea. Tum Petrus: effare ergo, inquit, quid te contineat, ne ad nostram venias fidem, ut circa illud incipiamus loqui. Multa quippe sunt quae retinent, fideles quidem occupationes mercaturae, rerum gerendarum, agriculturae, solicitudinum et similia, incredulos vero, ex quibus tu quoque es, creditae opiniones, vel deos qui re vera non sunt, exsistere, vel cuncta Genesi aut casui temerario subjacere, vel animas mortales esse, vel et doctrinam nostram esse falsam, nulla nimirum exsistente providentia.

IV. Ego vero cuncta per Dei providentiam gubernari affirmo ex iis quae tibi acciderunt, quod tot annos tu ac tui fuistis separati. Quia enim, si tecum

1. σου interposui c. O.

2. ἔφη deest in O. Tum scripsi κρατοῦν σε, μὴ εἰς c. eodem, κρατοῦν σε εἰς C, μὴ alios inserere notans in margine. Hic et infra C var. lect. apposuit duorum Codd. Regiae Bibliothecae 148 et 804 Clementinam Epitomen continentium. sed vulgata longiorem ex Clementinorum laciniis. Non omnes repetivi, cum sint pleraeque, ut recte notat S, non tam lectionis varietates, quam interpretamenta.

3. Vbb. λέγε, ἵνα εἰς αὐτὸ λέγειν ἀρξώμεθα non leguntur in O.

4. ἀσχολίαι C. Tum πράσεων conj. D. Frustra: πράξεις apud scriptores aetatis inferioris sunt munera officii. S.

5. ἀπιστοῦντας D, ἀπιστοῦσι C O. Codices Regii 148 et 804 haec habent: ἀπιστοῦσι δὲ πολλοί, ὡς καὶ σὺ ὑπολαμβάνεις. καὶ γὰρ ἢ θεοὺς τοὺς οὐκ ὄντας εἶναι λέγετε ἢ κτλ.

6. εἶναι accessit ex O.

7. Ita var. lect. ap. C et Epit., λεγομένων C O.

8. τὸν — λόγον C.

www.libtool.com.cn

ἂν ἐπήκουσαν, ἀπενοήθη σὺν μητρὶ ἡ ἀποδημία καὶ ναυάγιον[1] καὶ θανάτου ὑπόνοια καὶ ἀπρασίαι· ἔτι τε καὶ ἐκπαιδευθῆναι αὐτοὺς τὰ Ἑλλήνων καὶ[2] ἄθεα δόγματα, ἵνα μᾶλλον ὡς εἰδότες ταῦτα ἀνασκευάζειν δυνατοὶ ὦσιν· ἐπὶ τούτοις τὸ φιλῆσαι τὸν τῆς θεοσεβείας λόγον, καὶ ἐμοὶ ἐνωθῆναι δυνηθῆναι, πρὸς τὸ συλλαβέσθαι[3] μου τῷ κηρύγματι· ἀλλ' ἔτι μὴν συνελθεῖν καὶ τὸν ἀδελφὸν Κλήμεντα, καὶ οὕτως τὴν μητέρα ἐπιγνωσθῆναι, καὶ ὑπὸ θεραπείας τῆς θεότητος[4] πληροφορηθῆναι, καὶ μετ' οὐ πολὺ εὐθὺ τὰ δίδυμα τέκνα[5] ἐπιγνωσθέντα καὶ ἐπιγνόντα καὶ τῇ ἄλλῃ ἡμέρᾳ σοι συντυχεῖν, καὶ τοὺς σοὺς ἀπολαβεῖν. τοσαύτην οὖν ταχεῖαν ἁρμονίαν πανταχόθεν συνδραμοῦσαν εἰς ἕνα γνώμης σκοπὸν οὐκ οἶμαι ἀπρονόητον εἶναι.

V. Καὶ ὁ πατὴρ τῷ Πέτρῳ ἤρξατο λέγειν· μὴ νόμιζε, φίλτατέ μοι Πέτρε, ἐν ἐννοίᾳ μὴ ἔχειν περὶ τοῦ ὑπὸ σοῦ κηρυσσομένου λόγου. πέρας[6] γοῦν ταύτης τῆς παρωχηκυίας νυκτὸς πολλὰ τοῦ Κλήμεντος προτρεπόμενά μοι[7] τῇ ὑπὸ σοῦ κηρυσσομένῃ ἀληθείᾳ συνθέσθαι, ἀπεκρινάμην· τί γὰρ καινότερον ἐντέλλεσθαι δύναταί τις παρ' ὃ οἱ ἀρχαῖοι παρήνεσαν; ὁ δὲ ἡρέμα γελάσας ἔφη· πολλὴ διαφορά, πάτερ, μεταξὺ τῶν τῆς[8] θεοσεβείας

mansissent, forte non audiissent sermones verae religionis, provisa est peregrinatio cum matre, item naufragium et mortis suspicio et venditio, praeterea illos erudiri in graecis ac impiis dogmatibus, ut melius tamquam periti possent ea evertere, ad haec dilexisse pietatis doctrinam et mihi potuisse adunari, ad percipiendam praedicationem meam, sed et adhuc convenire fratrem Clementem, sicque agnosci matrem, et recuperata sanitate plene persuaderi de cultu divinitatis, nec multo post statim geminos filios, agnitos et agnoscentes, sequenti quoque die tibi occurrere, teque tuos recipere. Tantam igitur adeoque celerem cohaerentiam, undique concurrentem ad unam consilii metam, non puto absque providentia contigisse.

V. Et pater coepit dicere Petro: ne arbitreris, carissime Petre, me praedicatam a te doctrinam in mente non habere. Denique hac praeterita nocte, cum Clemens multis hortaretur me ad amplectendam veritatem quam praedicas, respondi, quid enim novi praecipere quis potest praeter id quod antiqui monuerunt? At ille, postquam leniter risit, ait: magnum discrimen est, pater, in-

1. ναυφραγίῳ C in textu, ναυφράγιον ex conject., ναυάγιον var. lect. in marg. Tum πρᾶσις vel πεπρᾶσθαι p. ἀπρασίαι conj. C, ἀφασίαι („stupores") legi vult D. In duobus Ci Codd. et in O des. vbb. καὶ ἀπρασίαι.

2. καὶ om. var. lect. ap. C.

3. συλλαμβάνεσθαι var. lect. ap. C. Cotelerius haec perperam interpretatur: συλλαμβάνεσθαί τινι significat „succurrere alicui". Debebat vertere: „ad adjuvandam praedicationem meam." S.

4. τὴν θεότητα O. Idem εὐθύς.

5. τέκνα deest in O. Tum τῇ ἄλλῃ ἡμέρᾳ var. lect. ap. C.

6. τέρας Cl. Falsa notat S de C, qui exhibet πέρας.

7. προτρεπομένου με C. Tum add. συνθέσθαι c. O et var. lect. ap. C.

8. τῶν τῆς recepi c. O, var. lect. ap. C et Epit. 125.

λόγων καὶ τῶν τῆς φιλοσοφίας. ὁ γὰρ τῆς ἀληθείας λόγος[1] ἀπόδειξιν ἔχει τὴν[2] ἐκ προφητείας, ὁ δὲ τῆς φιλοσοφίας καλλιλογίας παρέχων ἐκ στοχασμῶν δοκεῖ παριστάνειν[3] τὰς ἀποδείξεις, καὶ ὁμῶς ταῦτα εἰπὼν δείγματος χάριν τὸν περὶ φιλανθρωπίας μοι λόγον ἐξέθετο[4], ὅνπερ αὐτῷ ὑφηγήσω[5], ὃς ἀδικώτατός μοι μᾶλλον ἐφαίνετο. καὶ τὸ πῶς ἐρῶ. δίκαιον ἔφασκεν[6] εἶναι καὶ τῷ τύπτοντι αὐτοῦ τὴν σιαγόνα παρατιθέναι καὶ τὴν ἑτέραν, καὶ τῷ αἴροντι αὐτοῦ τὸ ἱμάτιον προσδιδόναι καὶ τὸ μαφόριον[7], ἀγγαρεύοντι δὲ μίλιον ἓν συναπέρχεσθαι δύο, καὶ ὅσα τοιαῦτα.

VI. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἀλλ' ἐνόμισας ἄδικον ὅ τι δικαιότατόν ἐστιν. εἴ σοι φίλον ἐστίν, ἄκουσον. καὶ ὁ πατὴρ[8] ἔφη· πάνυ μοι φίλον. καὶ ὁ Πέτρος· οὐ δοκεῖ σοι, δύο ἐχθρῶν βασιλέων ὄντων καὶ διῃρημένας τὰς χώρας ἐχόντων, εἴτις ἐκ τῶν τοῦ ἑνὸς ὑπηκόων ἐν τῇ τοῦ ἑτέρου χώρᾳ φωραθείη, καὶ διὰ τοῦτο θάνατον ὀφείλον[9], ἐὰν ῥαπίσματι καὶ μὴ θανάτῳ τῆς τιμωρίας ἀπολυθῇ, οὐ φαίνεται μὴν[10] ὁ ἀπολύσας φιλάνθρωπος εἶναι; καὶ ὁ πατὴρ ἔφη· καὶ πάνυ. καὶ ὁ Πέτρος ἔφη· τί δέ, εἰ καὶ ἴδιόν τί[11] τινος αὐτὸς οὗτος ἀφέληται, ἢ καὶ ἀλλότριον[12], καὶ ἐπὶ τούτῳ συλληφθεὶς ἐὰν διπλάσιον δῷ, τετραπλάσιον ὀφείλων[13], καὶ τὸ θανεῖν, ὡς ἐν

ter religionis ac philosophiae sermones. Nam sermo veritatis ex prophetia demonstratur, philosophiae autem sermo, elegantiam exhibens orationis, ex conjecturis videtur afferre demonstrationes. Hisque dictis exempli gratia doctrinam de humanitate mihi exposuit, quam ei enarraveras, quae mihi profecto maxime iniqua videbatur. Et quo modo, dicam. Aequum aiebat esse, et ei qui maxillam tuam percutit, alteram quoque opponere, et ei qui aufert tuum pallium, tradere et maforte, et cum eo, qui ad unum milliare adigit, per duo proficisci, atque alia similia.

VI. Respondit Petrus: atqui hoc existimasti iniquum, quod aequissimum est. Ac si lubet audi. Et pater dixit: prorsus lubet. Tum Petrus: num tibi videtur, cum duo reges inimici sunt et divisas regiones tenent, si quispiam ex iis, qui subjecti sunt alteri, in alterius regione deprehendatur, ideoque mereatur mortem, at colapho, non autem capite punitus poenam evadat, num videtur humanus, qui veniam dedit? Et pater ait, admodum. Dixit Petrus: quid vero, si is ipse etiam alicui proprium vel aliud quid auferat, et in furto comprehensus si duplum det, cum quadrupli sit debitor, insuperque mortis, qui

1. λόγος accessit ex O.
2. τὴν add. c. O, var. lect. ap. C et Epit.
3. περιστᾶν C, παριστᾶν S.
4. ἐξέθετο λόγον C.
5. Cfr. Hom. XII, 25 seqq.
6. Luc. 6, 29. Matth. 5, 39.
7. Vid. Suicer thesaur. s. v., Credner Beiträge I, 308. S. Tum adjunxi ἓν c. O.
8. ὃς p. ὁ πατὴρ O.
9. Ita O c. Epit., ὀφειλὼς C, ὀφείλων S.
10. μὴν om. O.
11. τί adscripsi ex O et Epit.
12. ἄλλο τι C. Insequens καὶ inserui c. O.
13. ὀφείλων S O, ὀφειλὼς C, qui notat: poena quadrupli in furto sancitur legibus plurimis.

www.libtool.com.cn

τοῖς τοῦ ἐναντίου ἁλοὺς ὅροις, οὐ δοκεῖ σοι ὅτι ὁ λαβὼν τὸ διπλάσιον καὶ θανάτου αὐτὸν ἀπολύσας φιλάνθρωπος τυγχάνει; καὶ ὁ πατὴρ ἔφη· φαίνεται. καὶ ὁ Πέτρος· τί δέ, οὐ χρὴ τὸν ἐν ἑτέρου βασιλείᾳ ὄντα [1], καὶ ταῦτα πονηροῦ τινὸς ἐχθροῦ, τοῦ ζῆν χάριν πάντας κολακεύειν, καὶ ἀγγαρεύουσιν ἐπὶ πλεῖον ὑπείκειν, μὴ προσαγορεύοντας προσαγορεύειν, ἐχθροὺς διαλλάσσειν, ὀργιζομένοις μὴ φιλονεικεῖν, τὰ ἑαυτοῦ ἀδεῶς [2] παντὶ αἰτοῦντι παρέχειν, καὶ ὅσα τοιαῦτα; καὶ ὁ πατήρ· πάντα μᾶλλον εὐλόγως ὑποσταίη [3], εἴπερ τούτων τὸ ζῆν προκρίνει.

VII. Καὶ ὁ Πέτρος· οὐκοῦν [4] οὓς ἀδικεῖσθαι ἔλεγες, αὐτοὶ παρορισταὶ τυγχάνουσιν, καθὸ [5] ἐν ἑτέρου εἰσὶ βασιλείᾳ, καὶ τοσοῦτον πλεονέκται εἰσίν, ὅσον κεκτημένοι εἰσίν· οἱ δ' [6] ἀδικεῖν νομιζόμενοι τοσαῦτα ἑκάστῳ τῷ ἐξ ἐναντίας ὄντι χαρίζονται [7], ὅσα ἂν αὐτοῖς ἔχειν συγχωρῶσιν. αὐτῶν γάρ ἐστι ταῦτα τῶν τὰ παρόντα ἑλομένων. καὶ εἰς τοσοῦτον φιλάνθρωποί εἰσιν, ὡς τὸ ζῆν αὐτοῖς συγχωρεῖν. καὶ τὸ μὲν παράδειγμα οὕτως ἔχει· ἄκουε δὴ [8] αὐτὸ τὸ πρᾶγμα. ὁ τῆς ἀληθείας παρὼν προφήτης [9] ἐδίδαξεν ἡμᾶς, ὅτι ὁ τῶν ὅλων δημιουργὸς καὶ Θεὸς δυσί τισιν ἀπένειμε βασιλείας δύο, ἀγαθῷ τε καὶ πονηρῷ, δοὺς τῷ μὲν κακῷ τοῦ παρόντος κόσμου μετὰ νόμου τὴν βασιλείαν, ὥστ' ἂν ἔχειν ἐξουσίαν κολάζειν τοὺς ἀδικοῦντας· τῷ

nempe in adversarii finibus captus sit, nonne tibi videtur, humanum esse eum, qui duplum accepit et mortem illi remisit? Et pater ait: clarum est. Ac Petrus: quid vero, nonne oportet, ut, qui in alterius regno versatur, idque pessimi hostis, vitam conservandi gratia omnibus aduletur, et vi adigentibus magis cedat, non salutantes salutet, inimicos sibi conciliet, cum irascentibus non contendat, sua omni petenti praebeat audacter, et faciat quaecumque sunt hujusmodi? Tum pater: cuncta potius merito sustinebit, si his vitam praefert.

VII. Et Petrus: nonne igitur ii, quos dicebas affici injuria, ipsi sunt finium transgressores, in quantum versantur in regno alterius, et in tantum defraudatores sunt, in quantum possident? Sed qui videntur facere injuriam, unicuique ex contraria parte tanta gratificantur, quanta eis permittunt habere. Haec quippe ad eos pertinent, qui praesentia elegerunt. Et adeo humani sunt, ut illis vitam donent. Atque exemplum ita quidem habet. Audi jam ipsam rem. Veritatis propheta adveniens docuit nos, quod omnium creator ac Deus duobus quibusdam duo regna distribuit, bono et malo, dans malo quidem regnum hujus mundi cum lege, ita ut habeat potestatem injuriosos puniendi, bono autem

1. τοὺς ἑτέρου βασιλέως ὄντας p. τὸν (ἐν C add. ex conject.) ἑτέρου βασιλείᾳ ὄντα O.
2. Fortasse ἡδέως. S.
3. Ita O c. S, ὑποστέη C. Cfr. Hom. III, 31. 71; XII, 4.
4. οὔκουν C.
5. καθὰ C.
6. ὥσιν οἱ p. εἰσίν· οἱ δ' C, ὦσιν; οἱ S.
7. Ita O c. S, χαρίζοντι C.
8. δὲ O.
9. προφήτης παρὼν C.

δὲ ἀγαθῷ τὸν ἐσόμενον ἀΐδιον[1] αἰῶνα. ἕκαστον δὲ τῶν ἀνθρώπων ἐλεύθερον ἐποίησεν ἔχειν τὴν ἐξουσίαν ἑαυτὸν ἀπονέμειν ᾧ βούλεται, ἢ τῷ παρόντι κακῷ, ἢ τῷ μέλλοντι ἀγαθῷ. ὧν οἱ ἑλόμενοι τὰ παρόντα ἐξουσίαν ἔχουσι πλουτεῖν, τρυφᾶν, ἥδεσθαι, καὶ πᾶν ὅ τι ἂν δύνωνται. τῶν γὰρ ἐσομένων ἀγαθῶν οὐδὲν ἔξουσιν. οἱ δὲ τὰ τῆς μελλούσης βασιλείας κρίναντες λαβεῖν, τὰ[2] ἐνταῦθα ὡς ἀλλοτρίου βασιλέως ἴδια ὄντα αὐτοῖς νομίζεσθαι[3] οὐκ ἔξεστιν, ἢ ὕδατος μόνου καὶ ἄρτου καὶ τούτων μεθ' ἱδρώτων ποριζομένων πρὸς τὸ ζῆν (ἐπειδὴ ἑκοντὶ[4] ἀποθανεῖν οὐκ ἔξεστιν), ἔτι δὲ καὶ περιβολαίου ἑνός, γυμνὸν γὰρ ἑστάναι οὐκ ἐφίεται[5], ἕνεκεν τοῦ παντὸς ὁρῶντος[6] οὐρανοῦ.

VIII. Εἰ μὲν οὖν τὸν ἀκριβῆ τοῦ πράγματος λόγον ἀκοῦσαι θέλῃς[7], οὗς μικρῷ τάχιον εἴρηκας ἀδικεῖσθαι, αὐτοὶ μᾶλλον ἀδικοῦσιν. ὅτι αὐτοὶ μὲν οἱ τὰ ἐσόμενα ἑλόμενοι ἐν τοῖς παροῦσι σύνειοι τοῖς κακοῖς[8], κατὰ πολλὰ τῶν ἴσων αὐτοῖς ἀπολαύοντες, αὐτοῦ τε τοῦ ζῆν, τοῦ φωτός, τοῦ

largitus futurum perpetuum saeculum. Unumquemque vero hominum liberum fecit, quique habeat potestatem se tradendi cui velit, aut praesenti malo, aut futuro bono. Ex quibus, qui praesentia eligunt, potestatem habent ut divites sint, in deliciis ac voluptatibus vitam agant, et similia omnia pro viribus percipiant. Nam futurorum bonorum nullum possidebunt. Qui vero futurum regnum maluerunt accipere, iis non licet praesentes res, utpote alieni regis, suas existimare, si excipias dumtaxat aquam et panem, ita tamen ut cum sudoribus ad vivendum comparentur (neque enim ultro licitum est mori), si etiam excipias unum vestimentum, non enim permittitur nudum consistere, propter cuncta perspiciens caelum.

VIII. Si ergo accuratam hujus negotii rationem audire cupias, quos paulo ante dixisti injuria affici, ipsi potius nocent. Quoniam illi quidem, qui elegerunt futura, usum rerum praesentium simul cum malis hominibus accipiunt, cum aliis percipientes, nempe ipsam vitam, lucem, panem, aquam, indumentum

1. ἴδιον O.

2. λαβεῖν, τὰ O, λαβεῖν τῶν C. Locum mendosum Schliemannus Clem. p. 239 sic emendat: τοῖς δὲ — — κρίνασι λαβεῖν, τὰ ἐντ. ὡς ἀλλ. βασ., ἴδια ὄντα αὐτοῖς — — — ὕδωρ μόνον καὶ ἄρτον — — περιβόλαιον ἕν — —. Ego malim: οἱ δὲ — βασιλέως ἴδιοι ὄντες οὐδενὸς ἐξουσίαν ἔχουσιν, εἰ μὴ κτλ. vel οὐδὲν αὐτοῖς λογίζεσθαι ἐξουσίαν ἔχουσιν ἐκτὸς κτλ. S.

3. νομίζεσθαι exh. etiam O, sed ad oram: ἴσως νοσφίζεσθαι ἢ αὐτῶν νομίζεσθαι.

4. Schliemannus l. c. scribit ἑκόντι: at nihil mutandum cl. Lobeck Phryn. p. 5. S.

5. ἐφεῖται O.

6. Fort. πάντ' ἐφορῶντος. S.

7. θέλεις O. Subinde οὗς O et ex conject. C, in cuj. textu ὡς.

8. Cotelerius reponit καλοῖς eamque lectionem in sua versione dedit expressam. Sed sana est vulgata. Mendum suspicatus est vir doctissimus, quod τοῖς κακοῖς non masculinam, ut par erat, sed neutram potestatem tribuerit. D. Neque O approbat Ci conjecturam καλοῖς, cum exhibeat κακοῖς. Tum ἀπολαύοντες O c. D, ἀπολαβόντες C. Cfr. Hom. XI, 16.

ἄρτου, τοῦ ὕδατος, τοῦ ἱματίου καὶ ἄλλων τοιούτων τινῶν. οἱ δὲ ἀδικεῖν ὑπὸ σοῦ νομισθέντες τοῖς ἐσομένοις ἀγαθοῖς ἀνδράσιν[1] οὐδὲν συνυπάρχουσιν. καὶ ὁ πατὴρ πρὸς ταῦτα ἀπεκρίνατο· νῦν με ὅτε[2] πέπεικας ὅτι οἱ ἀδικοῦντες αὐτοὶ ἀδικοῦνται, οἱ δὲ ἀδικούμενοι μᾶλλον πλεονεκτοῦσιν, ἔτι μᾶλλον ἀδικώτατον ὅλων[3] μοι φαίνεται τὸ πρᾶγμα, ὅτι οἱ μὲν δοκοῦντες ἀδικεῖν πολλὰ τοῖς τὰ ἐσόμενα ἑλομένοις συγχωροῦσιν, οἱ δὲ δοκοῦντες ἀδικεῖσθαι αὐτοὶ ἀδικοῦσιν, ὅτι τὰ ὅμοια οὐ παρέχουσιν ἐκεῖ τοῖς ἐνταῦθα αὐτοῖς συγκεχωρηκόσιν, ἃ αὐτοὶ[4] αὐτοῖς συνεχώρησαν. καὶ ὁ Πέτρος· οὐδὲ τοῦτο ἄδικον, διὰ τὸ ἐξουσίαν ἔχειν ἕκαστον τὰ παρόντα αἱρεῖσθαι ἢ τὰ μέλλοντα, εἴτε μικρὰ εἴη, εἴτε μεγάλα. ἰδίᾳ κρίσει καὶ βουλῇ ὁ ἑλόμενος οὐκ ἀδικεῖται, λέγω δή[5] οὐδ' ἂν τὰ μικρὰ ἕληται, ἐπεὶ προέκειτο τὰ μεγάλα. προέκειτο γὰρ αὐτῷ καὶ τὰ μικρά. καὶ ὁ πατὴρ ἔφη· ὀρθῶς ἔφης, καὶ γὰρ εἴρηταί τινι Ἑλλήνων σοφῷ· αἰτία ἑλομένων, Θεὸς ἀναίτιος[6].

IX. Ἀλλ' ἔτι μὴν καὶ τοῦτόν μοι διελθε τὸν λόγον. μέμνημαι τὸν Κλήμεντα εἰπόντα μοι, ὅτι τὰ ἀδικήματα καὶ τὰ πάθη[7] εἰς ἄφεσιν ἁμαρτιῶν πάσχομεν. καὶ ὁ Πέτρος· ὀρθῶς ἔχει καὶ οὕτως. ἡμεῖς γὰρ οἱ ἑλό-

et alia quaedam hujusmodi. Qui vero a te putantur facere injuriam, in futuris bonis nulla ex parte cum aliis viris degent. Et pater ad haec respondit: nunc quando persuasisti mihi, eos, qui injuriam faciunt, injuriam pati, eos autem, qui injuria afficiuntur, potius injuriam facere, adhuc amplius res omnium iniquissima mihi videtur, quoniam ii quidem, qui videntur conferre injuriam, multa iis concedunt qui futura elegerunt, qui vero videntur injuriam sustinere, ipsi eam inferunt, quia hominibus, qui hic ipsis concessere, non praebent illic eadem, quibus illi ipsos donarunt. Et Petrus: neque hoc iniquum est, quandoquidem unusquisque potestate praeditus est anteponendi vel praesentia vel futura, sive parva sint, sive magna. Qui proprio judicio et consilio deligit, non afficitur injuria, neque, inquam, licet parva praeferat, quando et magna prostabant. Nam ei proposita etiam erant quae exigua sunt. Et pater ait: Recte locutus es. Etenim dictum est a quodam inter Graecos sapiente: *Culpa deligentium est, Deus culpa caret.*

IX. Sed et adhuc hanc mihi enarra rationem. Memini Clementem mihi dicere, nos injurias et afflictiones ad peccatorum remissionem pati. Et Petrus: Recte ita habet. Nos enim, qui futura maluimus, quae plura possidemus, seu

1. Lege *ἐν τοῖς ἐσομένοις τοῖς ἀγ. ἀνδ.*, quemadmodum supra legebatur *ἐν τοῖς παροῦσι σύνεισιν τοῖς κακοῖς*. S.
2. *ὅτε* om. O.;
3. *ὅλον* C.
4. Fortasse *οὗτοι*. S.
5. *δὴ* S, *δὲ* C O.
6. Cfr. Plat. de Rep. X. 617, E. Sententiae illa quantopere a scriptoribus posterioris aetatis celebrata fuerit, docent Astius ad h. l. et Elmenhorst ad Arnob. contra gentes II, p. 60. Alia affert C ad nostrum locum. S.
7. *παθήματα* O.

μενοι τὰ ἑπόμενα, ἃ κεκτήμεθα πλείονα, εἴτε ἐσθήματα[1] εἴτε βρώματα εἴτε ποτὰ εἴτε ἄλλα τινά, ἁμαρτίας κεκτήμεθα, διὰ τὸ δεῖν μηδὲν ἔχειν, ὡς μικρῷ τάχιον διείλον τὸν λόγον. πᾶσι τὰ κτήματα ἁμαρτήματα[2]. ἡ τούτων ὅπως ποτὲ στέρησις ἁμαρτιῶν ἐστὶν ἀφαίρεσις. καὶ ὁ πατὴρ ἔφη· ἀκολούθως ἔχει, καθὼς δύο διείλες[3] ὅρους τῶν δύο βασιλέων, τὰ ἐφ' ἑκάστῳ τῶν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν ὄντων αἱρεῖσθαι ὃ βούλεται. τί δὲ καὶ τὰ πάθη[4] εἰ δικαίως πάσχομεν; καὶ ὁ Πέτρος· δικαιότατα. ἐπεὶ γὰρ ὁ τῶν σωζομένων ὅρος ἐστίν, ὡς ἔφην, τὸ[5] μηδενὶ μηδὲν ὑπάρχειν, ὑπάρχει[6] δὲ πολλὰ πολλοῖς κτήματα, καὶ ἄλλως ἁμαρτήματα, τούτου χάριν ἐξ ὑπερβαλλούσης Θεοῦ φιλανθρωπίας ἐπάγεται τὰ πάθη τοῖς μὴ εἰλικρινῶς πολιτευομένοις, ἵνα διὰ τὸ ποσῶς[7] φιλόθεον προσκαίροις τιμωρίαις αἰωνίων σωθῶσι κολάσεων.

X. Καὶ ὁ πατήρ· τί δὲ[8] οὐ πολλοὺς ἀσεβεῖς ὁρῶμεν πένητας; εἶτα[9] παρὰ τοῦτο καὶ οὗτοι τῶν σωζομένων εἰσίν; καὶ ὁ Πέτρος· οὐ πάντως. οὐ γὰρ ἀποδεκτὴ ἡ πενία ὧν μὴ προσῆκεν ὀρεγομένη. ὥστε τινὲς τῇ προαιρέσει πλουτοῦσι πενόμενοι[10] χρήμασιν, καὶ ὡς πλεονεκτεῖν ἐπιθυμοῦντες τι-

vestes, seu cibos, seu potiones, sed alia quaepiam, peccata possidemus, quia nihil debemus habere, uti paullo ante sermone declaravi. Omnibus possessiones peccata sunt. Earum qualitercumque privatio ademptio est delictorum. Dixit pater: recte habet, quemadmodum divisisti duos fines duorum regum, ut quis quod vult eligat ex iis quae in alterutrius sita sunt potestate. Quid vero, an et afflictiones juste patimur? Et Petrus: Justissime. Quandoquidem enim eorum qui salvantur terminus est, sicut dixi, ut nemo aliquid habeat, multis autem multae suppetunt possessiones, quae aliter et peccata, ideo per eximiam Dei humanitatem afflictiones inducuntur iis qui non pure vivunt, ut propter aliquantam erga Deum caritatem per temporaria supplicia aeternis poenis liberentur.

X. Tum pater: quid enim, nonne multos impios videmus pauperes? An propterea et illi inter eos qui salutem consequentur numerandi sunt? Et Petrus: Nequaquam omnino. Non enim probanda est inopia, si, quae non opor-

1. ἐσθῆτα C.

2. εἰ γὰρ ἐν πᾶσι τὰ κτήματα προξενεῖν οἶδε τοῖς ἔχουσιν ἁμαρτήματα p. πᾶσι τὰ κτήματα ἁμαρτήματα O. Idem scr. ὁπώσποτε.

3. Ita O c. S, διείλας C. Occurrit forma εἰλάμην (Lob. Phryn. p. 183), non autem, quantum sciam, aoristus act. εἶλα. S. Tum p. τὰ sensus postulat εἶναι, „esse in cujusvis potestate.“ D. S maluerit ὄντος.

4. Dedi καὶ τὰ πάθη c. O, κατὰ πᾶσιν (lectio monstruosa) C, παντάπασιν S ex conjectura.

5. τὸ D, τοῦ C Θ.

6. Ita O c. S, ὑπάρχῃ C. Tum omisi Ci τὰ ante ἄλλως c. O.

7. τοσῶς Cl et S.

8. δὲ Cl et O, δὴ C.

9. εἶτα add. c. O.

10. ἡ τοῦ πένητος πενία, ἐὰν ὀρέγεται (ὀρέγηται var. lect. ap. C) ὧν οὐ χρή. ὥστε (ὥσπερ conj. S) τινὲς τῇ προαιρέσει πλουτοῦσιν C.

μωροῦνται. ἀλλ' οὐδὲ ἐν τῷ πένητα εἶναί τινα πάντως δίκαιός ἐστιν. δύναται γὰρ πτωχὸς μὲν τοῖς χρήμασιν εἶναι, ἐπιθυμεῖν δὲ ἢ καὶ πράττειν ὃ προηγουμένως οὐ χρή. ἢ γὰρ εἴδωλα σέβει, ἢ βλασφημεῖ, ἢ πορνεύει, ἢ ἀδιαφόρως ζῇ, ἢ ἐπιορκῶν, ἢ ψευδόμενος, ἢ ἀπίστως βιούς. πλὴν ὁ διδάσκαλος ἡμῶν πιστοὺς πένητας ἐμακάρισεν [1], καὶ αὐτοὺς οὐχ ὡς παρεσχηκότας τι, οὐδὲ γὰρ εἶχον, ἀλλ' ὡς μηδὲν ἁμαρτάνοντας [2], καὶ ἐπὶ μόνῳ τῷ τὴν ἐλεημοσύνην μὴ ποιεῖν, διὰ τὸ μὴ ἔχειν, καταδικασθῆναι οὐκ ἔχοντας [3]. καὶ ὁ πατήρ· ἀληθῶς πάνυ κατὰ τὴν ὑπόθεσιν ὀρθῶς ἔχειν τὰ πράγματα φαίνεται, διὸ καὶ προαιρέσεως ἐγενόμην τῇ τάξει παντὸς ἐπακοῦσαι τοῦ λόγου.

XI. Καὶ ὁ Πέτρος· οὐκοῦν τοῦ λοιποῦ σπεύδοντί σοι τὰ κατὰ τὴν ἡμετέραν θρησκείαν μαθεῖν, ὀφείλω τῇ τάξει τὸν λόγον ἐκθεῖναι ἀπ' αὐτοῦ ἀρχόμενος τοῦ Θεοῦ, καὶ δεικνὺς ὅτι αὐτὸν μόνον δεῖ λέγειν Θεόν, ἑτέρους δὲ μήτε λέγειν [4] μήτε νομίζειν, καὶ ὅτι ὁ παρὰ τοῦτο ποιῶν αἰωνίως ἔχει κολασθῆναι, ὡς εἰς αὐτὸν τὸν τῶν ὅλων δεσπότην ἀσεβήσας τὰ μέγιστα. καὶ ταῦτα εἰπὼν καὶ τοῖς ὑπὸ παθῶν ὀχλουμένοις καὶ νοσοῦσι καὶ δαιμονῶσι [5] τὰς χεῖρας ἐπιθεὶς καὶ εὐξάμενος καὶ ἰασάμενος ἀπέλυσε τοὺς ὄχλους. καὶ εἶθ' οὕτως εἰσιὼν τῶν συνηθεστέρων [6] ἁλῶν μεταλαβὼν ὕπνωσεν.

tet, appetat. Sic quoque nonnulli voluntate divites opum sunt pauperes, et tamquam facultatum cupidi puniuntur. Sed nec quod aliquis sit pauper, statim justus est. Potest quippe pauper esse pecunia, at eam cupere, aut id facere quod praecipue non oportebat. Nam vel idola colit, vel blasphemat, vel fornicatur, vel indifferenter vivit, perjurus, mendax, aut infidelis. Caeterum Magister noster fideles pauperes beatos praedicavit, eosque non velut aliquid largientes: neque enim habebant: sed quia, cum nihil peccarent, ob id solum, quod inopiae ergo eleemosynam non faciebant, condemnari non poterant. Tum pater: vere prorsus secundum propositam quaestionem res videntur recte habere: quare statui totam ordine audire doctrinam.

XI. Et Petrus: itaque deinceps studenti tibi discere quae ad nostram religionem pertinent debeo ordine exponere doctrinam, ab ipso incipiens Deo, et ostendens, ipsum solum dici debere Deum, alios vero nec dici nec existimari, hominem autem, qui secus fecerit, perpetuo supplicio multandum, ut qui in ipsum universorum Dominum maxime impius exstiterit. Atque his dictis, cumque aliqua perpessione infestatis, aegrotantibus, et daemoniacis imposuisset manus, item precatus esset ac eos curasset, dimisit populum. Et postea ita ingressus, solito admodum cibo percepto, se somno dedit.

1. Matth. 5, 3. Credner, Beitr. I, 307. S.
2. Ita S, ὅτι μηδὲν ἁμαρτάνοντες C et O, qui om. seq. καὶ a S additum. τὴν ἐλ. S O, τῆς ἐλ. C.
3. ἔχουσι O.
4. λέλεγειν (sic) O.
5. δαιμονιῶσι C.
6. συνήθων O, quod praestat.

www.libtool.com.cn

## ΟΜΙΛΙΑ ις'.

I. Ὄρθρου δὲ ἐξιὼν ὁ Πέτρος καὶ ἑπιστὰς ἐπὶ τὸν συνήθη τοῦ διαλέγεσθαι τόπον ὄχλον πολὺν συνεστῶτα εἶδεν [1]. καὶ ἅμα τῷ μέλλειν διαλέγεσθαι αὐτὸν εἰσῄει τις τῶν αὐτοῦ διακόνων λέγων· Σίμων ἀπὸ Ἀντιοχείας ἐληλυθὼς ἐπ' [2] αὐτῆς ἑσπέρας, μαθὼν ὑποσχόμενόν σε τὸν περὶ μοναρχίας ποιεῖσθαι λόγον [3], ἕτοιμός ἐστι μετά γε [4] Ἀθηνοδώρου τοῦ Ἐπικουρείου διαλεγομένῳ σοι ἐπελθεῖν, πρὸς τὸ ἀντιλέγειν δημοσίᾳ πᾶσι τοῖς ὑπὸ σοῦ ὁπώσποτε ὑπὲρ μοναρχίας λεγομένοις λόγοις. ταῦτα τοῦ διακόνου λέγοντος, ἰδοὺ αὐτὸς εἰσῄει Σίμων μετὰ Ἀθηνοδώρου καὶ ἄλλων τινῶν τῶν ἑταίρων [5]. καὶ πρὸ τοῦ τι τὸν Πέτρον φθέγξασθαι αὐτὸς προλαβὼν ἔφη.

II. Ἐμαθον ὡς ὑπέσχου ἐχθὲς [6] τῷ Φαύστῳ, εἰς τὴν σήμερον δεῖξαι τῇ τάξει τὸν λόγον ποιούμενος, καὶ ἀπ' αὐτοῦ ἀρχόμενος τοῦ τῶν ὅλων δεσπότου, ὅτι αὐτὸν μόνον δεῖ λέγειν θεόν [7], ἄλλους δὲ μήτε λέγειν μήτε νομίζειν, ὅτι ὁ παρὰ τοῦτο ποιῶν αἰωνίως κολασθῆναι ἔχει. πρὸ πάντων δὲ ἀληθῶς καταπέπληγμαί σου τὴν ἀπόνοιαν [8], ὅτι ἤλπισας εἰς τὴν σὴν βούλησιν μεταπείσαι ἄνδρα σοφόν, καὶ ταῦτα πρεσβύτην. ἀλλ' οὐκ ἐπιτεύξῃ τῶν σῶν βουλευμάτων, ταύτῃ μᾶλλον, παρόντος ἐμοῦ, καὶ τοὺς

## HOMILIA XVI.

I. Mane vero egressus Petrus, cum venisset ad locum, in quo disserere solebat, ingentem hominum multitudinem convenisse vidit. Et simul ac ipse jam esset locuturus, introivit quidam ex ejus Diaconis, dicens: Simon, qui ab Antiochia ipsa vespera venit, audiens te promisisse de monarchia seu principatu unius verba esse facturum, paratus est una cum Athenodoro Epicureo tibi disserenti intervenire, ut palam impugnet omnia quaecumque pro monarchia a te quomodocumque proferentur verba. Haec dicente Diacono ecce ingressus est Simon cum Athenodoro aliisque nonnullis sodalibus: et, ante quam Petrus aliquid proferret, ipse anticipans ait:

II. Comperi, te heri Fausto pollicitum esse, quod hodie habito sermone ordine esses ostensurus, et incipiendo ab ipso universorum Domino, eum solum dicendum esse Deum, alios vero neque dicendos, neque existimandos, quoniam, qui secus fecerit, perpetuo supplicio multabitur. Ante omnia autem vere vecordiam tuam demiratus sum, quod speraveris te posse in tuam sententiam adducere virum sapientem, ad haec senem. At quae vis non obtine-

1. Ita O c. S, *ἴδεν* C.
2. *ἐπ'* D, *ἀπ'* C O.
3. *λέγων* O.
4. *γε* om. O. Tum *διαλεγομένῳ* O c. Epit., *διαλεγομένου* C.
5. *τῶν ἑταίρων* om. O.
6. *χθὲς* O.
7. *θεόν* addidi cum O et Epit.
8. *πρόνοιαν* C, *ὑπόνοιαν* Epit.

www.libtool.com.cn

ψευδεῖς σου διελέγχοντος λόγους. ἴσως γὰρ ἐμοῦ μὴ παρόντος ἠπατήθη ἂν ὁ σοφὸς γέρων, ἰδιώτης ὢν τῶν παρὰ Ἰουδαίοις δημοσίᾳ πεπιστευμένων [1] βίβλων. καὶ τὸ νῦν τοὺς πολλοὺς ὑπερθήσομαι λόγους, ἵνα τῆς ὑποσχέσεώς σου τάχιον τὸν ἔλεγχον ποιήσωμαι. διὸ ἐφ' ἡμῶν αὐτῶν τὰς γραφὰς εἰδότων, ὃ ὑπέσχου λέγειν, ἄρξαι. εἰ δὲ τὸν ἔλεγχον αἰδούμενος ἐφ' ἡμῶν αὐτῶν τὴν [2] ὑπόσχεσιν παραλιπεῖν θέλεις, αὐτάρκης καὶ οὕτως ἡ ἀπόδειξις ὅτι ψεύδῃ [3], καθ' ὅτι ἐπὶ τῶν τὰς γραφὰς εἰδότων εἰπεῖν οὐκ ἐτόλμησας. καὶ νῦν δὲ τί σε ἀναμένω λέγειν, μέγιστον ἔχων μάρτυρα τῆς ὑποσχέσεώς σου τὸν παρεστῶτα γέροντα; καὶ ταῦτα εἰπὼν ἐμβλέψας τῷ πατρὶ ἔφη· εἰπέ μοι, ἀνδρῶν πάντων τιμιώτατε, οὐχὶ οὗτος ὁ ἀνὴρ ὑπέσχετό σοι δεῖξαι σήμερον, ὅτι εἷς ἐστὶ Θεὸς καὶ οὐ χρὴ ἕτερόν τινα λέγειν ἢ νομίζειν Θεόν [4], ὁ δὲ παρὰ ταῦτα ποιῶν, ὡς τὰ μέγιστα ἁμαρτάνων, αἰωνίως κολασθῆναι ἔχει; ἢ γὰρ οὐκ ἀποκρίνῃ μοι [5];

III. Καὶ ὁ πατὴρ ἔφη· καλῶς ἂν τὴν μαρτυρίαν παρ' ἐμοῦ ἀπῄτεις, Σίμων, εἰ πρότερον ἠρνεῖτο ὁ [6] Πέτρος· νῦν δὲ οὐκ αἰδεσθήσομαι λέγειν ἃ δεῖ λέγειν. οἶμαί σε ὀργῇ πεπρησμένον [7] διαλεχθῆναι θέλειν, ὅπερ ἀνοίκειόν σοι τοῦτο [8] ποιεῖν, καὶ ἡμῖν τοιοῦτον ἐπακούειν, ὅτι μάχην ἐστὶν

bis, me potissimum praesente tuosque redarguente falsos sermones. Forte enim absente me deceptus fuisset sapiens senex, cum imperitus sit librorum qui Judaeis palam sunt traditi. Et nunc multis verbis supersedebo, ut citius promissionem tuam confutem. Quocirca coram nobis Scripturam peritis quod pollicitus es incipe dicere. Sin autem reprehensionem veritus coram nobis vis promissum omittere, etiam sic sufficiens erit probatio, quod fallas, quandoquidem coram hominibus Scripturas callentibus non ausus sis loqui. Et vero jam cur exspecto ut dicas, qui maximum habeo testem pollicitationis tuae adstantem senem? Et post haec verba patrem intuitus ait: Dic mihi, virorum praestantissime: nonne iste homo tibi pollicitus est ostensurum se hodie, unum Deum esse, nec alium dicendum aut habendum Deum, illum autem, qui secus fecerit, tamquam peccatorem maximum perpetuo supplicio multandum esse? An enim non respondes mihi?

III. Respondit pater: Recte a me testimonium postulares, Simon, si antea Petrus negasset. Nunc autem non verebor dicere quae dicenda sunt. Arbitror te ira constrictum ac inflammatum velle disputationem suscipere: porro neque convenit te hoc facere, neque nos tali praebere aurem, quoniam id

1. πεπιστωμένων O, qui deinde τὰ νῦν.
2. σὴν Cl et S invitis Codd.
3. Ita O c. D, ψευδὴς C, qui conj. ψεύδεις, Epit. ψευδῆ τὰ ὑπεσχημένα. Cfr. infra c. 8.
4. Θεόν; O.
5. ἢ γὰρ οὐκ; ἀπόκριναί μοι conj. D.
6. ὁ om. O.
7. Ita O et ex conject. C, qui περισμένον in textu, ὀργῆς πεπλησμένον Epit. 131 approbante D.
8. σοί τε O. Idem c. Cod. Reg. 804 τοιούτων p. τοιοῦτον. Tum ὑπακούειν C.

ἱστορῆσαι, καὶ οὐ πρὸς ἀλήθειαν ὠφελεῖσθαι. καὶ νῦν ἐξ ἑλληνικῆς παιδείας, ὡς χρὴ τοὺς ζητοῦντας ποιεῖν, εἰδὼς ὑπομνήσω. ἑκάτερος ὑμῶν τὸ ἑαυτοῦ δόγμα ἐκθέσθω, καὶ εἰς ἕτερον οἱ λόγοι γενέσθωσαν[1]. ἐὰν δὲ Πέτρος μόνος ἐκθῆται τὸ ἑαυτοῦ φρόνημα, σὺ δὲ τὸ σὸν σιωπᾷς, ἐνδέχεταί τινα λόγον ὑπὸ σοῦ ῥηθέντα θλίβειν[2] τὸ αὐτοῦ[3] καὶ τὸ σὸν φρόνημα, καὶ ἀμφοτέρους ὑμᾶς ὑπὸ τοῦ λόγου ἡττηθέντας μὴ φαίνεσθαι ἡττημένους, ἀλλὰ τὸν ἐκθέμενον τὸ φρόνημα, τὸν δὲ μὴ ἐκθέμενον ὁμοίως ἡττημένον[4] μὴ πρόδηλον εἶναι, ἀλλὰ καὶ νενικηκέναι νομίζεσθαι. καὶ ὁ Σίμων ἀπεκρίνατο· ποιήσω ὡς λέγεις, ἀθυμῶ δὲ μήπως ἤδη προειλημμένος αὐτοῦ τοῖς λόγοις οὐ φιλαλήθης ἔσῃ κριτής.

IV. Καὶ ὁ πατὴρ ἀπεκρίνατο· μή με βιάζου ἀκρίτως συνθέσθαι σοι, ἵνα δόξω φιλαλήθης εἶναι κριτής, εἰ δὲ τἀληθῆ ἀκοῦσαι θέλῃς[5] τῷ σῷ φρονήματι μᾶλλον προείλημμαι. καὶ ὁ Σίμων· πῶς προείληψαι, οὐκ εἰδὼς ὃ φρονῶ; καὶ ὁ πατήρ· τοῦτο ῥᾴδιόν ἐστιν εἰδέναι, καὶ πῶς, ἄκουσον. ἐλέγξειν[6] ὑπέσχου Πέτρον ἕνα Θεὸν λέγοντα εἶναι, ὅτι ψεύδεται, ὁ δὲ τὸν[7] ἕνα λέγοντα ψεύσματος ἐλέγξαι ἐπαγγελλόμενος, πάντως εὔδηλον ὡς ἐκεῖνος ἀληθεύων, οὐ τὸ αὐτὸ[8] λέγει. εἰ γὰρ τῷ καταψευδομένῳ τὸ αὐτὸ

pugnam videre est, et non ad veritatem juvari. Atque nunc, ex Graeca eruditione sciens, quo modo gerere se debeant disceptantes, commonebo. Uterque vestrum dogma suum exponat, et alternis verba fiant. Quod si solus Petrus explicet suam sententiam, tu vero tuam reticeas, fieri potest, ut aliquis a te prolatus sermo et tuam et illius opinionem premat, atque ut uterque vestrum, licet revera sit illo sermone victus, non videatur tamen superatus, sed is solus, qui suam opinionem exposuit, ille vero, qui non exposuit, non videatur pariter esse superatus, immo superasse existimetur. Et Simon respondit: Faciam quemadmodum dicis: verum valde timeo, ne jam ipsius verbis occupatus non sis judex veri studiosus.

IV. Et Pater respondit: ne me cogas temere ac indicta causa tibi assentiri, ut judex videar veritatis amans. Quod si vera audire cupis, tua potius sententia praeoccupatus sum. Ac Simon: Quomodo es praeoccupatus, qui nescis quid sentiam? At pater: Facile est illud cognoscere: et quonam pacto, audi. Pollicitus es, a te falsi convictum iri Petrum, qui unum esse Deum asserat. Caeterum qui promittit se falsi redarguturum assertorem unius Dei, is non idem affirmat ac ille evidentissime vera loquens. Si enim idem diceret cum

1. καὶ ὑφ' ἑτέρῳ κρίνοντι τοὺς λόγους δοτέον O.
2. Clerici mendum θλίβλειν repetiit S.
3. ἑαυτοῦ C.
4. ἡττομένον O.
5. εἰ γὰρ τἀληθῆ βούλει μαθεῖν O.
6. ἐλέγχειν S.
7. τὸν adjunxi c. O, qui om. ψεύσματος.
8. ὡς ἀληθεύων, τὸ αὐτὸ p. πάντως εὔδηλον ὡς ἐκεῖνος ἀληθεύων, οὐ τὸ αὐτὸ C.

λέγει, καὶ αὐτὸς ψεύδεται, εἰ δὲ τὰ ἐναντία λέγων ἀποδείκνυσιν, τότε ἀληθεύει. οὐκ ἄλλως οὖν τὸν ἕνα Θεὸν εἶναι λέγοντα ψεύστην λέγεις, εἰ μή τι ἂν ὅτι πολλοὺς δοξάζῃς [1] θεούς. Θεοὺς δὲ πολλοὺς εἶναι κἀγω [2] λέγω. τὸ αὐτὸ οὖν σοι πρὸ τῆς ζητήσεως λέγων, σοὶ μᾶλλον προείλημμαι. καὶ κατὰ τοῦτο ἀγωνιᾶν περὶ ἐμοῦ οὐκ ὀφείλεις, ἀλλὰ Πέτρος, ὅτι ἀκριὴν αὐτῷ τὰ ἐναντία φρονῶ. ὥσπερ [3] μετὰ τὴν ὑμετέραν ζήτησιν ἐλπίζω φιλαλήθης ὢν κριτής, πρόληψιν ἀποδυσάμενος, τῷ ἐπικρατοῦντι συνθέσθαι λόγῳ. ταῦτα τοῦ πατρὸς εἰπόντος ἠρέμα βοή τις ἐπαίνου ἐκ τῶν ὄχλων ἐγένετο ἐπὶ τῷ οἵτως τὸν πατέρα διαλεχθῆναι.

V. Καὶ ὁμῶς ὁ Πέτρος ἔφη· ἐγώ, ὡς ὁ τῶν λόγων μεσίτης εἴρηκεν, ποιεῖν ἕτοιμός εἰμι, καὶ ἤδη ποτὲ πρὸ πάσης ἀναβολῆς τὸ ἐμὸν περὶ Θεοῦ ἐκθήσομαι φρόνημα. κἀγὼ ἕνα Θεὸν εἶναι λέγω, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα. ἄλλον τε οὔτε λέγειν, οὔτε νομίζειν ἔξεστιν. καὶ ὁ Σίμων· ἐγὼ δέ [4] φημι τὰς πεπισευμένας γραφὰς παρὰ Ἰουδαίοις πολλοὺς λέγειν θεούς, καὶ μὴ χαλεπαίνειν ἐπὶ τούτῳ τὸν Θεόν, τῷ αὐτὸν διὰ τῶν γραφῶν αὐτοῦ πολλοὺς θεοὺς [5] εἰρηκέναι.

VI. Αὐτίκα γοῦν ἐν τῇ πρώτῃ φωνῇ τοῦ νόμου φαίνεται καὶ ἑαυτῷ

eo, qui ementita loquitur, ipse quoque esset mendax: si vero contraria dicere se ostendit, tunc verus est. Non alia ergo ratione praedicatorem unius Dei esse mendacem pronuncias, nisi quia multos Deos esse censes. Atqui multos Deos esse ego quoque aio. Idem igitur, quod tu, ante disceptationem dico, et pro te potius sum occupatus. Quare non debes de me esse anxius, sed Petrus, quia adhuc contra atque ille sentio. Propterea post disputationem vestram spero, quod veri studiosus judex, deposita anticipatione, praevalenti consensurus sim orationi. Haec cum pater dixisset, sensim clamor quidam laudationis a populo exortus est, quoniam ita pater esset locutus.

V. Porro Petrus dixit: ego, sicut controversiae arbiter pronunciavit, agere sum paratus: jamque absque ulla mora meam de Deo sententiam explicabo. Unum ego esse Deum assero, conditorem coeli et terrae omniumque iis contentorum. Ac alium neque dicere, neque existimare licet. Tum Simon: Ego autem aio, a Scripturis quae apud Judaeos creduntur, dici multos Deos, nec de eo succensere Deum, quoniam ipse per Scripturas suas plures Deos prolocutus est.

VI. Statim ergo in prima legis voce illos similes ac se praedicare digno-

1. δοξάζεις C.
2. φημὶ O. Lectionem λέγων, σοὶ ejusdem Cod. jam vidit C, in cuj. textu λέγω σοί.
3. ὅπερ C.
4. δέ om. O.
5. Pro vbb. καὶ μὴ χαλεπαίνειν — πολλοὺς θεούς lacuna est in O. Ex C reposui τῶν ante γραφῶν a Cl et S omissum.

αὐτοὺς ὁμοίους[1] λέγων. οὕτως γὰρ γέγραπται, ὡς ὅτι τῷ πρώτῳ ἀνθρώπῳ, ἐντολὴν ἔχοντι παρὰ τοῦ Θεοῦ, ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγεῖν, ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν μὴ φαγεῖν, ὁ ὄφις διὰ τῆς γυναικὸς ἐπὶ ὑποσχέσει τοῦ γενέσθαι αὐτοὺς θεοὺς φαγεῖν αὐτοὺς πείσας, ἀναβλέψαι ἐποίησεν· καὶ εἶθ' οὕτως ὁ Θεὸς ἀναβλέψασιν αὐτοῖς ἔφη[2]· ἰδοὺ γέγονεν Ἀδάμ, ὡς εἷς[3] ἡμῶν. ὁ μὲν οὖν ὄφις εἰπών· ἔσεσθε ὡς θεοί, ὡς ὄντων θεῶν εἰρηκὼς φαίνεται· ταύτῃ μᾶλλον ἢ[4] καὶ Θεὸς ἐπεμαρτύρησεν εἰπών· ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς[5] ἡμῶν. οὕτως ὁ τοὺς πολλοὺς εἰπὼν ὄφις εἶναι θεοὺς οὐκ ἐψεύσατο. πάλιν δὲ τὸ γεγράφθαι[6]· θεοὺς οὐ κακολογήσεις καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς, πολλοὺς σημαίνει θεούς, οὓς οὐδὲ κακολογεῖσθαι θέλει. ἀλλὰ καὶ ἄλλοθί που γέγραπται[7]· εἰ ἐτύλμησε Θεὸς ἕτερος εἰσελθεῖν, καὶ λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου ἔθνους, ὡς ἐγὼ κύριος ὁ Θεός. τῷ[8] εἰπεῖν, εἰ ἐτόλμησε Θεὸς ἕτερος, ὡς ὄντων ἑτέρων εἰρηκεν. καὶ ἄλλοτε[9]· Θεοὶ οἱ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· ὡς τῶν μὴ πεποιηκότων ἀπόλλυσθαι μελλόντων[10]. καὶ ἄλλῃ που λέγει[11]· ἔσπευσε σεαυτῷ, μὴ πορευθεὶς λατρεύσῃς θεοῖς ἑτέροις, οἷς οὐκ ἤδεισαν οἱ πατέρες σου, ὡς ὄν-

scitur. Ita enim scriptum est, quod, cum primo homini praeceptum fuisset a Deo, ut de cunctis arboribus paradisi comederet, non comederet tamen de arbore cognoscendi bonum et malum, serpens per mulierem, promittendo illis divinitatem, comedere persuasos fecit aspicere, sicque postquam aspexerunt, Deus istis dixit: *ecce Adam factus est quasi unus ex nobis.* Itaque serpens, quando dixit: *eritis sicut Dii*, quasi Dii exsistant, locutus apparet, eo magis quod Deus suum addiderit testimonium, iis verbis: *ecce Adam factus est quasi unus ex nobis.* Ita qui multos esse Deos asseruit serpens, mentitus non est. Praeterea per illud quod scriptum est: *Diis non detrahes, et principibus populi tui non maledices*, plures Deos significat, quibus nec maledici vult. Sed et alibi scriptum est: *si ausus est Deus alius ingredi, et accipere sibi gentem de media gente, sicut ego Dominus Deus.* Illud: *si ausus est Deus alius*, tamquam sint alii, dixit. Et alias: *Dii, qui coelum et terram non fecerunt, pereant:* velut non perituri sint illi qui fecerunt. Et alio loco ait: *attende tibi, ne vadens servias Diis aliis, quos ignoraverunt patres tui:* tamquam alii Dii sint,

1. Ita O et ex conject. S, in cujus textu Ci ὁμοίως. Tum apposui γὰρ ex O.
2. Gen. 3, 22.
3. ἐξ addidi c. O. Gen. 3, 5.
4. ἢ O D, ἤ C.
5. ἐξ adjeci c. O.
6. πάλιν τοῦ (τὸ Cl) γεγράφθαι C. Exod. 22, 28.
7. Deut. 4, 34.
8. τὸ C.
9. Jer. 10, 11. Vbb. οὐκ ἐποίησαν, ἀπολέσθωσαν· ὡς τῶν, quae desunt in utroque Hom. Cod., add. C ex seq. c. 8.
10. πεποιηκότες, ἀπολέσθωσαν p. mss. ἀπ. μελλόντων O.
11. Deut. 13, 6.

www.libtool.com.cn

*των θεῶν ἑτέρων, οἷς καὶ μὴ ἐξακολουθεῖν αὐτοὺς λέγει.* καὶ πάλιν[1]· *ὀνόματα θεῶν ἑτέρων οὐκ ἀναβήσεται ἐπὶ τῶν χειλέων σου.* καὶ ἐνταῦθα *πολλοὺς θεοὺς λέγει, ὧν τὰ ὀνόματα ὀνομάζεσθαι οὐ θέλει.* καὶ πάλιν *γέγραπται*[2]· *Κύριος ὁ Θεός σου, οὗτος Θεὸς τῶν θεῶν.* καὶ πάλιν· *τίς ὅμοιός σοι, κύριε, ἐν θεοῖς;* καὶ πάλιν· *Θεὸς θεῶν κύριος.* καὶ πάλιν· *ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει*[3]. *ὅθεν θαυμάζω πῶς τοσούτων φωνῶν ἐγγράφως μαρτυρουσῶν πολλοὺς εἶναι θεούς, σὺ διαβεβαίωσαι*[4] *μὴ δεῖν μήτε λέγειν μήτε εἶναι νομίζειν. λοιπὸν πρὸς τὰ σαφῶς ῥηθέντα εἴ*[5] *τι ἔχεις εἰπεῖν, ἐπὶ πάντων λέγε.*

VII. *Καὶ ὁ Πέτρος ἔφη· συντομώτερον ἄκουε πρὸς ἃ εἴρηκας. αὐτὸς ὁ νόμιος ὁ πολλάκις εἰπὼν θεούς, αὐτὸς τῷ Ἰουδαίῳ ὄχλῳ λέγει*[6]· *ἰδοὺ κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς τοῦ οὐρανοῦ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς, συμπεριλαβών, ὅτι εἰ καὶ εἰσι θεοί, ὑπ' αὐτόν εἰσιν, τουτέστιν ὑπὸ τὸν τῶν*[7] *Ἰουδαίων Θεόν.* καὶ πάλιν· *ὅτι κύριος ὁ Θεός σου, οὗτος Θεὸς ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ.* καὶ *ἄλλη που λέγει ἡ γραφὴ τῷ Ἰουδαίων ὄχλῳ· κύριος ὁ Θεός σου, οὗτος Θεὸς τῶν θεῶν, ὥσπερ*[8] *ὅτι εἰ καὶ εἰσι θεοί, ὑπὸ τὸν Ἰουδαίων Θεόν εἰσιν.* καὶ *ἄλλη που περὶ αὐτοῦ λέγει ἡ γραφή· ὁ Θεὸς ὁ μέγας καὶ ἀληθινός, ὃς οὐ λαμβάνει εἰς*[9] *πρόσωπον, οὐδὲ μὴ λάβῃ δῶρον, ποιῶν κρί-*

quos sequi non debeant, loquitur. Et iterum: *nomina Deorum aliorum non ascendent in labia tua.* Hic quoque multos Deos dicit, quorum non vult proferri nomina. Rursumque scriptum est: *Dominus Deus tuus ipse est Deus Deorum.* Et adhuc: *quis similis tibi, Domine, in Diis?* Ac rursus: *Deus Deorum Dominus.* Iterumque: *Deus stetit in synagoga Deorum, in medio autem Deos dijudicat.* Unde miror, qua ratione, tot Scripturarum vocibus multos esse Deos testantibus, tu affirmaveris non oportere nec dicere, nec esse existimare. De reliquo, si quid adversus clare dicta habes effari, coram omnibus eloquere.

VII. Respondit Petrus: breviter audi ad ea quae objecisti: eadem lex, quae saepe Deos nominat, ipsa judaico populo ait: *en, Domini Dei tui est coelum coeli, et omnia quae in eis sunt,* dans comprehendere, quod licet Dii exsistant, sub eo sunt, id est, sub Deo Judaeorum. Et iterum: *quia Dominus Deus tuus ipse est Deus in coelo sursum et in terra deorsum, et non est alius praeter eum.* Et alibi Scriptura dicit Judaeorum populo: *Dominus Deus tuus ipse est Deus Deorum,* ita ut, quamvis Dii exsistant, sub Judaeorum Deo sint. Et aliis verbis de eo ait Scriptura: *Deus magnus et verus, qui non accipit personam, neque sumet munera, facit judicium pupillo et viduae.* Scriptura Deum

1. Jos. 23, 7 apud LXX.
2. Deut. 10, 17. — Ps. 35, 10 et 85, 8. — Ps. 49, 1. — Ps. 81, 1.
3. διακρινεῖ O.
4. διαβεβαιοῦσαι O.
5. εἴ textui reddidi e. O; praetermissum erat a Cl et S.
6. Deut. 10, 14.
7. τῶν add. e. O. Deut. 4, 39.
8. ὡς O. Deut. 10, 17.
9. εἰς om. O. Deut. 10, 17.

www.libtool.com.cn

σιν ὀρφανῷ καὶ χήρᾳ. μέγαν δὲ καὶ ἀληθινὸν καὶ κρίσιν ποιοῦντα τὸν τῶν[1] Ἰουδαίων ἡ γραφὴ εἰποῦσα Θεόν, τοὺς ἄλλους μικροὺς καὶ οὐκ ἀληθινοὺς ἐσήμανεν. ἀλλὰ καὶ ἄλλῃ που λέγει ἡ γραφή[2]· ζῶ ἐγώ, λέγει κύριος, οὐκ ἔστι Θεὸς ἕτερος πλὴν ἐμοῦ. ἐγὼ πρῶτος, ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ Θεὸς οὐκ ἔστιν. καὶ πάλιν· Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις. καὶ πάλιν· ἄκουε Ἰσραήλ, κύριος ὁ Θεὸς ὑμῶν[3] κύριος εἷς ἐστίν. καὶ ὅμως πολλαὶ φωναὶ μεθ' ὅρκου ἐπισφραγίζουσιν, ὅτι εἷς ἐστὶν ὁ Θεός, καὶ πλὴν αὐτοῦ οὐκ ἔστι Θεός. ὅθεν θαυμάζω, πῶς τοσούτων μαρτυρουσῶν φωνῶν ἕνα εἶναι Θεόν, σὺ πολλοὺς εἶναι λέγεις.

VIII. Καὶ ὁ Σίμων· ὁ λόγος τὴν ἀρχὴν ἦν μοι πρὸς σέ, ἀπὸ γραφῶν ἐλέγξαι σε, ὅτι ψεύδῃ, λέγων μὴ πολλοὺς[4] δεῖν φθέγγεσθαι θεούς. ὅθεν πολλὰς ἐγγράφους ἔδειξα φωνάς, ὅτι αὐταὶ αἱ θεῖαι γραφαὶ πολλοὺς φθέγγονται θεούς. καὶ ὁ Πέτρος· αὐταὶ αἱ πολλοὺς φθεγγόμεναι θεοὺς γραφαί, αὐταὶ παρήνεσαν ἡμῖν εἰποῦσαι[5]· ὀνόματα θεῶν ἑτέρων οὐκ ἀνα-βήσεται ἐπὶ τῶν χειλέων σου. οὕτως οὐ παρὰ τὸ γεγραμμένον ἔφην, ὦ Σίμων. καὶ ὁ Σίμων· ἄκουσον πρὸς αὐτὸ καὶ σύ, ὦ Πέτρε. ἁμαρτάνειν μοι δοκεῖς, ὅτι αὐτῶν καταλέγεις, τῆς γραφῆς λεγούσης· οὐ κακολογήσεις, καὶ ἄρχοντας[6] τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς. καὶ ὁ Πέτρος· οὐχ ἁμαρτάνω, Σίμων, ἀκολούθως ταῖς γραφαῖς τὴν ἀπώλειαν αὐτῶν προσημαινούσαις·

Judaeorum nuncupando magnum et verum et facientem judicium, alios pusilles nec veros denotavit. Sed et altero quodam in loco Scriptura dicit: *Vivo ego, dicit Dominus, non est alius Deus praeter me. Ego primus, ego novissimus, praeter me non est Deus.* Ac rursum: *Dominum Deum tuum timebis, et illi soli servies.* Et adhuc: *audi Israël, Dominus Deus vester Dominus unus est.* Sicque multa testimonia cum juramento consignant, Deum unum esse, et praeter illum non esse Deum. Unde miror, qua ratione, cum tot loca testentur unum esse Deum, tu multos esse affirmes.

VIII. Et Simon: principio ea mihi tecum fuit conditio, ut ex Scripturis convincerem te mendacii, dicentem nequaquam multos vocari debere Deos. Quocirca multis Scripturarum vocibus ostendi, ab ipsis Scripturis divinis pluves pronunciari Deos. Tum Petrus: ipsae, quae multos Deos pronuntiant, Scripturae, eaedem adhortatae nos sunt his verbis: *nomina Deorum aliorum non ascendent in labia tua.* Sic praeter id, quod scriptum est, non locutus sum, Simon. Et Simon: audi ad hoc et tu Petre. Peccare mihi videris, qui Diis detrahis, cum Scriptura dicat: *(Diis) non detrahes, principibus populi tui non maledices.* Ac Petrus: non pecco, Simon, consequenter Scripturis perditionem

1. τῶν accessit ex O.
2. Deut. 4, 39. — Deut. 6, 13. — Deut. 6, 4.
3. ἡμῶν C.
4. πολλοὺς O et ex conject. D; αὐτὰ C.
5. Jos. 23, 7 apud LXX.
6. ἄρχοντα O, ex quo accessit seq. σου. Exod. 22, 28.

www.libtool.com.cn

οὕτω γὰρ γέγραπται[1] θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν, ἀπολέσθωσαν· καὶ τοῦτο εἰπὼν οὐχ ὡς ἐνίων πεποιηκότων, καὶ μὴ ἀπολλυμένων, ὡς ἡρμήνευσας[2]. δηλοῦται γὰρ εἷς ὁ πεποιηκὼς τῷ ἀπαρχῆς γεγράφθαι·[3] ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. καὶ οὐκ εἶπεν· οἱ θεοί. καὶ ἄλλῃ που λέγει: ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα. καὶ ἐν ἑτέρῳ τόπῳ[4] γέγραπται· οἱ οὐρανοὶ αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμενεῖς εἰς τὸν αἰῶνα.

IX. Καὶ ὁ Σίμων ἔφη· πρὸς τὸ ἐμὲ δεῖξαι πολλοὺς εἶναι θεοὺς ἀπὸ τῶν γραφῶν, φωνὰς σαφεῖς παρέστησα, σὺ δὲ τοσαύτας[5] ἢ καὶ πλείονας φωνὰς ἀπὸ τῶν αὐτῶν γραφῶν ἐνήνοχας, δεικνύων ὅτι εἷς ἐστι Θεός, καὶ οὗτος Ἰουδαίων. καὶ πρὸς τὸ εἰπεῖν με, οὐ δεῖ κακολογεῖν θεούς, ἐπήγαγες πρὸς τὸ δεῖξαι, ὅτι εἷς ἐστὶν ὁ πεποιηκώς, ὅτι οἱ μὴ πεποιηκότες ἀπολέσθαι ἔχουσιν. πρὸς δὲ τὸ εἰπεῖν με, ὅτι δεῖ θεοὺς λέγειν, καθὸ[6] καὶ αἱ γραφαὶ αὐτοὺς λέγουσιν, καὶ πρὸς τούτοις[7] ἔδειξας, ὅτι μὴ δεῖ αὐτῶν ὀνόματα φθέγγεσθαι, τῷ τὴν αὐτὴν γραφὴν εἰπεῖν[8], ὀνόματα θεῶν ἑτέρων μὴ φθέγγεσθαι. ἐπεὶ οὖν αὐταὶ[9] αἱ γραφαὶ πολλοὺς λέγουσιν εἶναι θεούς, καὶ ἄλλοτε ἕνα μόνον εἶναι, καὶ ὁτὲ μὲν μὴ κακολογεῖσθαι, ὁτὲ δὲ κακολο-

eorum praenotans: ita enim scriptum est: *Dii qui coelum et terram non fecerunt, pereant*, atque sic ille locutus est, non quasi quidam dii fecerint ea, et non pereant, quemadmodum interpretatus es. Unus enim declaratur creator eo quod initio scriptum est: *in principio creavit Deus coelum et terram*. Nec dixit: *Dii*. Et alibi ait: *et opera manuum ejus annuncial firmamentum*. Atque in alio loco scriptum est: *coeli ipsi peribunt, tu autem permanebis in aeternum*.

IX. Dixit Simon: Ad hoc quod ego multos esse Deos ostendi ex Scripturis, quarum verba manifesta exhibui, tu itidem vel plura testimonia ex iisdem Scripturis attulisti, probans unum esse Deum, eumque Judaeorum. Et ad id quod dixi: *non oportet Diis maledicere*, subjunxisti, ut declararet unum esse creatorem, quod *qui non creavunt, perire habent*. Cumque dixerim, nominandos esse Deos, quoniam et Scripturae eos nominant, etiam ad haec demonstrasti, non oportere eorum nomina proferre eo quod eadem Scriptura dicat, nomina Deorum aliorum non esse pronuncianda. Quandoquidem ergo eaedem Scripturae multos dicunt esse Deos, et alibi, unum solum esse, et aliquando, iis non maledicendum, aliquando, male-

1. Jer. 10, 11.
2. ἑρμήνευσας C. Tum τῷ O c. S, τὸ C. Subinde ἀπ' ἀρχῇ O.
3. Gen. 1, 1. — Ps. 18, 2. — Ps. 102, 26.
4. Textui reddidi τόπῳ a Cl et S omissum.
5. γραφῶν, ἃς σαφεῖς παρέστησα, σὺ δὲ τὰς αὐτὰς C.
6. καθ' ὃ C.
7. τοῦτο O. Tum δεῖ conj. C, qui in textu δεῖν ut O.
8. εἰπεῖν om. O.
9. C vertit, quasi legi voluerit *a* αὐταί. S.

www.libtool.com.cn

γεῖσθαι, πρὸς τοῦτο τί δεῖ λογίσασθαι, ἢ ὅτι αὐταὶ ἡμᾶς αἱ γραφαὶ πλανῶσιν;

X. Καὶ ὁ Πέτρος ἔφη· οὐ πλανῶσιν, ἀλλ' ἐλέγχουσιν, καὶ εἰς φανερὸν ἄγουσι τὴν ἐν ἑκάστῳ κατὰ τοῦ Θεοῦ ἐνδομυχοῦσαν[1] ὥσπερ ὄφεως κακὴν προαίρεσιν. πολλοῖς γὰρ καὶ διαφόροις τύποις ἐοικυῖαι πρόκεινται. ἕκαστος οὖν κηρῷ ἐοικυῖαν τὴν αὐτοῦ προαίρεσιν ἔχων, περιβλεψάμενος αὐτὰς καὶ πάντα εὑρὼν ἐν αὐταῖς, ὁποῖον Θεὸν εἶναι θέλει[2], τήν, ὡς ἔφην, κηρῷ ἐοικυῖαν προαίρεσιν ἐπιβαλὼν ἀπομάσσεται. ἐπεὶ οὖν ὅ τι[3] ἂν βούληταί τις περὶ Θεοῦ φρονεῖν, ἐν αὐταῖς εὑρίσκει, τούτου χάριν ὁ μὲν πολλῶν θεῶν ἰδέας[4] ἀπομάσσεται ἀπ' αὐτῶν, καὶ ἡμεῖς τὴν τοῦ ὄντως[5] ἀπομαξάμεθα ἰδέαν[6], ἐκ τῆς ἡμετέρας μορφῆς τὸν ἀληθῆ ἐπιγνόντες τύπον. ἀλλὰ καὶ ἡ ἔνδοθεν ἡμῶν ψυχὴ τὴν αὐτοῦ εἰκόνα πρὸς ἀθανασίαν ἐμφίεσται. ταύτης τὸν γεννήτορα ἐὰν καταλίπω, δικαίᾳ κρίσει καὶ αὐτή με καταλιπεῖν ἔχει, αὐτῷ τῷ[7] τολμήματι γνωρίσασα ἄδικον, καὶ ὡς ἀπὸ δικαίου δικαίως καταλείψει με· καὶ οὕτως τὴν ψυχὴν μετὰ κόλασιν, τῆς ἀπ' αὐτῆς ἀπολειφθεὶς[8] βοηθείας, φθαρήσομαι. εἰ δὲ ἔστιν ἕτερος, πρῶτον ἐνδυσάτω ἑτέραν ἰδέαν[9], ἑτέραν μορφήν, ἵνα διὰ τῆς τοῦ πώματος καινῆς μορφῆς τὸν καινὸν ἐπιγνῶ Θεόν. εἰ δὲ καὶ τὴν μορφὴν ἀλλάξῃ[10], μή τι

dicendum, ex hoc quid concludere debemus, nisi quod ipsae nos decipiunt Scripturae?

X. Petrus respondit: non decipiunt, sed redarguunt, ac in publicum proferunt malam erga Deum voluntatem in unoquoque instar serpentis latitantem. Multis enim ac variis typis similes jacent. Unusquisque ergo cerae consimilem habens voluntatem suam, dum scripturas perlustrat, cunctaque in illis invenit, qualem Deum esse vult, talem exprimit immissa voluntate, quae (ut dixi) assimilatur cerae. Quia ergo quidquid vult aliquis de Deo sentire, in Scripturis offendit, ea gratia ille quidem multorum Deorum imagines ex iis effingit, at nos Dei veri speciem expressimus, ex nostra forma verum agnoscentes exemplar. Sed et nobis insita anima illius imagine ad immortalitatem induta est. Ejus parentem si relinquo, justo judicio ea quoque me relinquet, ipso facinore indicans injustum, et, ut quae veniat a justo, juste me deseret, sicque animam post punitionem perdam, deficiente auxilio ab ea orto. Si autem est alius Deus, primum aliam speciem induat, aliam formam, ut per corporis novam figuram novum agnoscam Deum. Sed et si figuris figuram mutet, numquid et animae

1. Ita O c. Cl, ἐνδομοιχοῦσαν C. Vid. Hom. XI, 6 et 11.
2. λέγει Cl et S mendose.
3. ὅ τε O. Deinceps βούλεται C.
4. εἰδέας C.
5. ὄντος C.
6. εἰδέαν C.
7. τῷ inserui c. O.
8. ἀπολειφθεὶς conjectavit C, ἀπολειφθείσης idem in texta, ut O.
9. εἰδέαν C. Deinde dedi ἵνα — ἐπιγνῶ c. O, ἐπιγνῶν C; rectum jam vidit S.
10. ἀλλάξει O.

καὶ τῆς ψυχῆς τὴν οὐσίαν; εἰ δὲ καὶ [1] ἀλλάξῃ, οὐκ ἔτι ἐγώ εἰμι, ἄλλος γενόμενος καὶ μορφῇ καὶ οὐσίᾳ. ἄλλους οὖν πλαττέτω, εἰ ἄλλος ἐστίν. οὐκ ἔστι δέ. εἰ δὲ ἦν, ἔπλασεν ἄν. ἐπεὶ οὖν οὐκ ἔπλασεν, ὡς οὐκ ὢν τὸν ὄντα τῷ ὄντι καταλιπέτω. οὐδείς γάρ ἐστιν, ἢ μόνῃ γνώμῃ Σίμωνος. ἐγὼ ἄλλον Θεὸν οὐ παραδέχομαι, πλὴν τὸν κτίσαντά με μόνον.

XI. Καὶ ὁ Σίμων· ἐπεὶ πυκνότερόν σε ὁρῶ τὸν λόγον ποιούμενον ὑπὲρ τοῦ πλάσαντός σε Θεοῦ, μάθε παρ' ἐμοῦ, πῶς καὶ εἰς αὐτὸν ἀσεβεῖς. οἱ πλάσαντες δύο φαίνονται, ὡς ἡ γραφὴ λέγει· καὶ εἶπεν ὁ Θεός, ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν [2]. τὸ ποιήσωμεν δύο σημαίνει, ἢ πλείονας, πλὴν οὐχ ἕνα.

XII. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· εἷς ἐστὶν ὁ τῇ αὐτοῦ σοφίᾳ εἰπών· ποιήσωμεν ἄνθρωπον. ἡ δὲ σοφία, ἥ [3] ὥσπερ ἰδίῳ πνεύματι αὐτὸς ἀεὶ συνέχαιρεν. ἥνωται μὲν ὡς ψυχὴ τῷ Θεῷ, ἐκτείνεται δὲ ἀπ' αὐτοῦ, ὡς χείρ, δημιουργοῦσα τὸ πᾶν. διὰ τοῦτο δὲ καὶ εἷς ἄνθρωπος ἐγένετο, ἀπ' αὐτοῦ δὲ προῆλθε καὶ τὸ θῆλυ. καὶ μονὰς [4] οὖσα τῷ γένει δυάς ἐστιν. κατὰ γὰρ ἔκτασιν καὶ συστολὴν ἡ μονὰς δυὰς εἶναι νομίζεται. ὥστε ἑνὶ Θεῷ, ὡς γονεῦσιν, ὀρθῶς ποιῶ τὴν πᾶσαν προσαναφέρων τιμήν. καὶ ὁ Σίμων ἔφη· τί δέ, εἰ [5] καὶ αἱ γραφαὶ ἑτέρους θεοὺς λέγουσιν, οὐ παραδέξῃ;

substantiam? Quod si eam quoque mutaverit, non amplius ego sum, qui alius factus fui tum figura, tum substantia. Alios ergo creet, si alius est. Porro non est. Si enim esset, creasset utique. Cum ergo non creaverit, tamquam qui non exsistit, revera exsistentem relinquat. Nullus quippe est, nisi sola Simonis opinione. Ego alium Deum non recipio, praeter eum solum qui me condidit.

XI. Tum Simon: qui video te frequentius sermonem facere de Deo qui te creavit, disce a me quemadmodum in ipsum etiam impius sis. Apparet duos esse creatores, sicut ait Scriptura: *et dixit Deus, faciamus hominem ad nostram imaginem et similitudinem. Faciamus* duos significat, aut plures, certe non unum.

XII. Et Petrus respondit: unus est, qui sapientiae suae dixit: *faciamus hominem.* Huic vero sapientiae, tamquam proprio spiritui, ipse semper congaudebat. Unita quidem est Deo, ut anima, ab eo autem extenditur, velut manus, universitatem producens. Propter hoc vero et unus homo conditus est, ab eo autem etiam sexus femineus processit. Cumque unitas sit genere, dualitatem facit. Nam per extensionem et contractionem unitas dualitas esse censetur. Itaque recte facio deferendo omnem honorem uni Deo, tamquam parentibus. Dixit Simon: quid vero, et si Scripturae alios Deos aiunt, non admittes?

1. Deesse videtur *ταύτην* post *εἰ δὲ καί*. S. *οὐκέτι* scr. O.
2. *κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν* C. Gen. 1, 26.
3. *ἥ δὲ σοφίᾳ* p. *ἡ δὲ σοφία, ἥ* C.
4. *μία* C. Tum *ἔκτασιν* O et ex conject. C, in cujus textu *ἔκστασιν*. In O *στολὴν* p. *συστολήν*.
5. *εἰ* deest in O.

Prov. 8. 30.

www.libtool.com.cn

XIII. Καὶ ὁ Πέτρος ἀπεκρίνατο· εἴτε αἱ γραφαὶ εἴτε προφῆται θεοὺ
λέγουσιν, εἰς πειρασμὸν τῶν ἀκουόντων [1] λέγουσιν. οὕτω γὰρ γέγραπται
ἐὰν ἀναστῇ ἐν σοὶ προφήτης, διδούς [2] σημεῖα καὶ τέρατα, καὶ ἔλθῃ τότε
σημεῖον ἐκεῖνο καὶ τὸ τέρας, ἐρεῖ δέ σοι, πορευθέντες λατρεύσωμεν θεοῖς
ἑτέροις, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες σου, οὐκ ἀκούσεσθε τοῦ προφήτου
ἐκείνου· ἐν πρώτοις ἔστωσαν αἱ χεῖρές σου λιθοβολῆσαι αὐτόν. ἐπείρασε
γάρ σε ἀποστῆναι ἀπὸ κυρίου τοῦ Θεοῦ σου. ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ
σου· πῶς ἐποίησε τὸ σημεῖον ἐκεῖνο ἢ τὸ τέρας, γινώσκων γνώσῃ, ὅτι ὁ
πειράζων ἐπείραζεν, ἰδεῖν [3], εἰ φοβῇ κύριον τὸν Θεόν σου. ὅτι δὲ ὁ πειρά-
ζων ἐπείραζεν, εἴρηται, ἑτέρως δὲ μετὰ τὴν [4] εἰς Βαβυλῶνα μετοικεσίαν
φαίνεται. οὐ γὰρ ἂν ὁ τὰ πάντα γινώσκων Θεός, ὡς ἐκ πολλῶν ἔστι
δεῖξαι, ἐπείραζεν [5], ἵνα γνῷ αὐτός, ὁ τὰ πάντα προγινώσκων. εἰ δὲ βού-
λει [6], περὶ τούτου τὸν λόγον ποιησώμεθα, καὶ δείξω προγινώσκοντα τὸν
Θεόν. τὸ δὲ ἀγνοεῖν αὐτὸν ψεῦσμα ὄν, καὶ τοῦτο πρὸς πειρασμὸν γρα
φὲν ἀποδέδεικται. οὕτως ἡμεῖς, ὦ Σίμων, οὔτε ἀπὸ γραφῶν οὔτε ὑφ
ἑτέρου τινὸς σκανδαλισθῆναι δυνάμεθα [7]· οὔτε πολλοὺς θεοὺς ἀποδέξασθαι
ἀπατώμεθα, οὐδὲ λόγῳ τινὶ κατὰ τοῦ Θεοῦ λεγομένῳ συντιθέμεθα.

XIV. Ἴσμεν γὰρ καὶ αὐτοὶ ἀπὸ τῶν γραφῶν ἀγγέλους θεοὺς λεχθέν

XIII. Petrus respondit: si Scripturae, si prophetae Deos dicunt, in ten
tationem audientium dicunt, ita quippe scriptum est: *si surrexerit apud te pro
pheta, dans signa et prodigia, et evenerit signum illud ac prodigium, dixer
vero tibi: eamus et colamus Deos alienos, quos nescierunt patres tui, non au
dietis Prophetam illum: in primis sint manus tuae ad lapidandum eum. Ten
tavit enim te avertere a Domino Deo tuo. Quod si dixeris in corde tuo: qu
modo fecit signum hoc vel prodigium, cognoscens cognoscas, quia tentator ten
tavit, ut sciat an timeas Dominum Deum tuum.* Et vero *quia tentator tentavi*
dictum est, aliter autem id post transmigrationem in Babylonem apparet. Ne
que enim qui cuncta novit Deus, sicut ex multis ostendi licet, tentavit, ut ips
sciret, qui praescit omnia. Si vero cupis, de ea re sermonem faciamus, e
demonstrabo Deum praescium esse. Illum autem ignorare, cum falsum sit, i
quoque ad tentationem scriptum ostenditur. Ita nos, o Simon, neque ab ull
alio scandalum pati possumus, nec ad multos Deos admittendos fraude induci
mur, nec ulli sermoni assentimur contra Deum dicto.

XIV. Scimus enim ipsi quoque, Angelos a Scripturis vocatos esse Deo

1. *αἰνόντων* O. Deut. 13, 1.
2. *διδούς σοι* C.
3. *εἰδέναι* C. Seq. *σον* om. O.
4. Tunc enim fuerunt pseudoprophetae in populo Judaico. C.
5. *ἐπείρασεν* S.
6. Scripsi *βούλει* c. O, invito Schweglero, qui commendat vulgatam *βούλῃ* e ejus opinione conjunctivum. Cfr. Hou XIX, 6. Tum ad. *τὸν* ante *λόγον* c. O.
7. Post *δυνάμεθα* Schliemannus Cle p. 119. 569. addit *φέρειν*, emendatio superflua. S.

τας, λέγω δὲ ὡς ὁ ἐπὶ τῆς βάτου λαλήσας, καὶ τῷ Ἰακὼβ παλαίσας· ἀλλὰ καὶ τὸν γεννώμενον Ἐμμανουὴλ καὶ τὸν λεγόμενον Θεὸν ἰσχυρόν. ἀλλὰ μὴν καὶ Μωυσῆς θεὸς Φαραὼ ἐγενήθη, τῷ δὲ ὄντι ἄνθρωπος ἦν. ἔτι δὲ καὶ τὰ εἴδωλα τῶν ἐθνῶν. ἡμῖν δὲ εἷς Θεός, εἷς ὁ τὰς κτίσεις πεποιηκὼς καὶ διακοσμήσας τὰ πάντα· οὗ καὶ ὁ Χριστὸς υἱός, ᾧ πειθόμενοι ἀπὸ τῶν γραφῶν τὰ ψευδῆ ἐπιγινώσκομεν. ἔτι δὲ καὶ ἐκ πατέρων ἐφοδιαζόμενοι τῶν γραφῶν τὰ ἀληθῆ ἕνα μόνον οἴδαμεν τὸν πεποιηκότα τούς τε οὐρανοὺς καὶ τὴν γῆν, Θεὸν Ἰουδαίων καὶ πάντων τῶν [1] σέβειν αὐτὸν αἱρουμένων. τοῦτον καὶ θεοφιλεῖ λογισμῷ ἀληθῆ [2] δογματίσαντες οἱ πατέρες παρέδωσαν [3] ἡμῖν, ἵνα εἰδῶμεν, ὅτι εἴ τι κατὰ τοῦ Θεοῦ λέγεται, ψεῦδός ἐστιν. ἀλλὰ καὶ ὑπερβαλλόντως τι ἐρῶ· εἰ τοῦτο οὕτως ὡς ἔφην οὐκ ἔχει, ἐμοὶ γένοιτο καὶ τοῖς ταληθὲς [4] ἀγαπῶσιν, περὶ εὐφημίας τοῦ πεποιηκότος ἡμᾶς Θεοῦ κινδυνεύειν.

XV. Ταῦτα ὁ Σίμων ἀκούσας ἔφη· ἐπειδὴ καὶ τῷ τὰ σημεῖα καὶ τέρατα διδόντι προφήτῃ, ἄλλον δὲ θεὸν λέγοντι φῆς μὴ δεῖν πιστεύειν, μετὰ τοῦ εἰδέναι ὅτι καὶ θάνατον ὀφείλει, οὐκοῦν καὶ ὁ διδάσκαλός σου σημεῖα καὶ τέρατα δεδωκὼς εὐλόγως ἀνῃρέθη. καὶ ὁ Πέτρος ἀπεκρίθη· ὁ [5] κύριος ἡμῶν οὔτε θεοὺς εἶναι ἐφθέγξατο παρὰ τὸν κτίσαντα τὰ πάντα, οὔτε ἑαυτὸν [6] θεὸν εἶναι ἀνηγόρευσεν, υἱὸν δὲ Θεοῦ τοῦ τὰ πάντα διακοσμήσαντος

οὖν φοβούμενοι, εἴτε ἀγαπῶντες, μὴ ἁμαρτάνετε. γένοιτο δὲ φοβούμενόν τινα ἡδονῶν ἀνόμων κρατεῖν δύνασθαι, ἀλλότρια μὴ ἐπιθυμεῖν, φιλανθρωπίαν ἀσκεῖν, σωφρονεῖν, δικαιοπραγεῖν. ὁρῶ γάρ τινας ἀτελεῖς τῷ πρὸς αὐτὸν φόβῳ[1] πλεῖστα ἁμαρτάνοντας. φοβηθῶμεν οὖν τὸν Θεόν, μὴ μόνον ὅτι δίκαιός ἐστιν. ἐλεῶν γὰρ τοὺς ἠδικημένους τιμωρεῖ τοὺς ἠδικηκότας. ὡς οὖν ὕδωρ πῦρ σβέννυσιν, οὕτως καὶ φόβος τὴν τῶν κακῶν ἐπιθυμίαν ἀναιρεῖ. ὁ ἀφοβίαν διδάσκων οὐδ' αὐτὸς φοβεῖται, ὁ δὲ μὴ φοβούμενος οὐδὲ κρίσιν ἔσεσθαι πιστεύει, τὰς ἐπιθυμίας αὔξει, μαγεύει, ἄλλους ἐφ' οἷς αὐτὸς πράσσει διαβάλλει.

XIII. Ταῦτα ὁ Σίμων ἀκούων ἐπικόψας ἔφη· οἶδα πρὸς τίνα ταῦτα λέγεις, ἀλλ' ἵνα μὴ αὐτὸς τὰ αὐτὰ λέγων πρὸς τὸ ἐλέγχειν σε δαπανῶ τὸν χρόνον εἰς ἃ μὴ θέλω, πρὸς τὰ ὁρισθέντα ἡμῖν ἀπόκριναι[2]. ἐπηγγείλω, ἱκανῶς νενοηκέναι σε τὰ τοῦ διδασκάλου σου λέγων, διὰ τὸ παρόντα ἐναργείᾳ[3] ὁρᾶν καὶ ἀκούειν αὐτοῦ, καὶ ἑτέρῳ τινὶ μὴ δυνατὸν εἶναι ὁράματι ἢ ὀπτασίᾳ ἔχειν τὸ ὅμοιον. ὅτι δὲ τοῦτο ψεῦδός ἐστιν, δείξω. ὁ ἐναργῶς ἀκούων τινὸς οὐ πάνυ πληροφορεῖται ἐπὶ τοῖς λεγομένοις. ἔχει γὰρ ὁ νοῦς αὐτοῦ λογίσασθαι, μὴ ἄρα ψεύδεται, ἄνθρωπος ὢν τὸ φαινόμενον. ἡ δὲ ὀπτασία ἅμα τῷ ὀφθέντι[4] πίστιν παρέχει τῷ ὁρῶντι, ὅτι θειότης ἐστίν. πρὸς τοῦτό μοι πρῶτον ἀπόκριναι.

Sive igitur veriti, sive diligentes, ne peccetis. Utinam autem timens aliquis illicitis cupiditatibus dominetur, aliena non desideret, humanitatem exerceat, temperans sit, juste agat. Video enim nonnullos in timore ejus imperfectos plurima peccare. Itaque metuamus Deum, nec tantum quia justus est. Nam injuria affectorum misertus injuriam inferentes punit. Sicut igitur aqua exstinguit ignem, ita et timor cupiditatem malorum evertit. Qui timoris vacuitatem docet, neque ipse timet: qui vero non timet, neque judicium fore credit, cupiditates auget, magus est, alios in iis, quae ipse facit, criminatur.

XIII. His auditis, Simon interrumpens ait: scio ad quem ista dicas: sed ne ego eadem ad te redarguendum loquens tempus impendam in quae nolim, ad nobis definita responde. Gloriatus es, ac dixisti, te abunde intelligere Magistri tui res, quoniam praesens vidisti ac audiisti eum evidenter, nec posse quempiam alium simile quid per spectrum aut visionem habere. Quod vero hoc falsum sit ostendam. Qui clare audit aliquem, non omni ex parte persuadetur de dictis. Habet enim mens ejus cogitare, num ille mentiatur, ut pote homo, secundum quod apparet. At visio, simul ac contigit, fidem facit cernenti, quod Divinitas sit. Ad hoc mihi primum responde.

1. Usus requirit τοῦ — φοβοῦ. S.
2. ἀπόκριναι conj. C, ἀποκρίνασθαι uterque Hom. Cod.
3. Ita Cl, ἐνεργείᾳ C O.
4. ὀφθῆναι C. θειότητος p. θειότης commendat S. Cfr. Hom. XVII, 5.

XIV. Καὶ ὁ Πέτρος ἔφη[1]· εἰς ἄλλο προτείνας εἰπεῖν, εἰς ἕτερον ἀπεκρίνου[2]. προέτεινας γὰρ ὡς μᾶλλον δύνασθαί τινα[3] πλεῖον νοεῖν [καὶ πίστιν λαμβάνεσθαι] παρ' ὀπτασίας ἀκούοντα, ἢ γὰρ παρὰ τῆς ἐναργείας [ἀκούοντα,] ἐπιβαλὼν δὲ ἔπειθες ἡμᾶς, ὅτι ἀσφαλέστερός ἐστιν ὁ ὑπ' ὀπτασίας ἀκούων τοῦ παρ' αὐτῆς[4] ἐναργείας ἀκούοντος. πέρας γοῦν διὰ τοῦτο ἐμοῦ ἱκανώτερον ἔφασκες εἰδέναι τὰ τοῦ Ἰησοῦ, ὡς ὑπὸ ὀπτασίας αὐτοῦ ἀκηκοὼς τὸν λόγον. πλὴν ἐγὼ εἰς τὸ ἀπαρχῆς προταθὲν ἀποκρινοῦμαι[5]. ὁ προφήτης, ὅτι προφήτης ἐστίν, πληροφορήσας πρῶτον περὶ τῶν ἐναργῶς ὑπ' αὐτοῦ λεγομένων, ἀσφαλῶς πιστεύεται, καὶ[6] ἀληθὴς ὢν προεπιγνωσθείς, καί, ὡς ὁ μανθάνων θέλει, ἐξετασθεὶς καὶ ἀνακριθεὶς ἀποκρίνεται. ὁ δὲ ὀπτασίᾳ πιστεύων ἢ ὁράματι καὶ ἐνυπνίῳ, ἐπισφαλής ἐστιν. ἀγνοεῖ γὰρ τίνι πιστεύει. ἐνδέχεται γὰρ αὐτὸν ἢ δαίμονα κακὸν εἶναι, ἢ πνεῦμα πλάνον, ἐν τῷ λέγειν ὑποκρινόμενον εἶναι ὃ μή ἐστιν. εἰ δ' ἄρα[7] τις βουληθείη πυνθάνεσθαι τὸ τίς ἂν ᾖ ὁ φανείς, δύναται λέγειν ἑαυτῷ ὃ βούλεται. καὶ οὕτως ὡς πονηρὸς ἀστράψας, μείνας ὅσον θέλει, ἀποσβέννυται, μὴ παραμείνας τῷ πυνθανομένῳ εἰς ἀνάκρισιν ὅσον ἠθέλησεν. διὰ δὲ ἐνυπνίων ὁρῶν τις[8] οὐδὲ πυνθάνεσθαι δύναται περὶ ὧν βούλεται. οὐ γὰρ ἰδίας ἐξουσίας ἐστὶν ὁ λογισμὸς τοῦ κοιμωμένου. ἔνθεν γοῦν πολλὰ

XIV. Et Petrus ait: aliud proposuisti dicere, et aliud locutus es. Proposuisti enim, quod possit aliquis audiens plus intelligere et in rerum fidem venire per visionem, quam per evidentiam, aggressus autem suadebas tutiorem esse eum, qui in visione audit, illo, qui audit per evidentiam. Denique ideo te potentiorem dicebas res Jesu cognoscere, quam ego, ut qui ipsius verba per visionem audiisses. Verum ego ad id, quod primitus propositum est, respondebo. Propheta, quia propheta est, primo certitudinem dans de iis, quae clare dicit, tuto creditur, praecognitus verus esse, ac, quemadmodum qui docetur cupit, inquisitus et interrogatus respondet. Qui vero visioni credit aut spectro et insomnio, incertus est. Ignorat enim cui credat. Nam potest esse aut malus Daemon, aut spiritus fallax, qui in verbis simulat esse quod non est. Sin autem quis velit percontari, quisnam sit qui apparuit, potest sibi, quidquid vult, dicere. Sicque tamquam malus, ubi coruscavit, mansitque quantum voluit, exstinguitur, nec permanet cum sciscitante ad interrogationem, quantum hic vult. Per insomnia vero qui videt, neque percunctari potest, de quibus lubet. Ne-

1. ἔφη om. O.
2. ἀπεκρίνω; O.
3. In O τινα διά, quas voces excipit unius versus lacuna; jam sequitur: παρ' ὀπτασίας. Idem Cod. unius vocis vacuum praebet inter ἐναργείας et ἐπιβαλών. Utramque lacunam conjectando explevi.
4. παρ' αὐτοῦ τῆς O.
5. ἀποκρίνομαι O.
6. καὶ inserui c. O.
7. ἢ ἄρα C, εἰ ἄρα D. ἢ ante ὁ add. c. O.
8. ὁρῶντες p. ὁρῶν τις O.

www.libtool.com.cn

ἡμεῖς ὕπαρ ἐπιθυμοῦντες[1] μαθεῖν κατ' ὄναρ περὶ ἑτέρων πυνθανόμεθα, ἢ καὶ μὴ πυνθανόμενοι περὶ τῶν μὴ διαφερόντων ἡμῖν ἀκούομεν, καὶ διυπνισθέντες ἀθυμοῦμεν, ὅτι περὶ ὧν ἐπεθυμοῦμεν[2] μαθεῖν, οὔτε ἠκούσαμεν, οὔτε ἐξητάσαμεν[3].

XV. Καὶ ὁ Σίμων ἔφη· εἰ φῂς τὰς ὀπτασίας μὴ πάντως ἀληθεύειν, ἀλλ' οὖν γε τὰ ὁράματα καὶ τὰ ἐνύπνια θεόπεμπτα ὄντα οὐ ψεύδεται, περὶ ὧν ἂν εἰπεῖν θέλῃ. καὶ ὁ Πέτρος ἔφη· ὀρθῶς ἔφης, ὅτι θεόπεμπτα ὄντα οὐ ψεύδεται. ἄδηλον δὲ εἰ ὁ ἰδὼν[4] θεόπεμπτον ἑώρακεν ὄνειρον. καὶ ὁ Σίμων· ἐὰν ᾖ ὁ ἑωρακὼς δίκαιος, ἀληθὲς ἑώρακεν. καὶ ὁ Πέτρος· ὀρθῶς ἔφης. τίς[5] δὲ δίκαιος, εἰ ὁράματος χρήζῃ[6], ἵνα μάθῃ ἃ δεῖ μαθεῖν, καὶ ποιῇ ἃ δεῖ ποιεῖν; καὶ ὁ Σίμων· τοῦτό μοι δός, ὅτι μόνος ὁ δίκαιος ὅραμα ἀληθὲς ἰδεῖν δύναται, καὶ ἀποκρίνομαί σοι εἰς αὐτό. ἐμοὶ γὰρ κέκριται, ὅτι ἀσεβὴς ἀληθῆ ὄνειρον οὐχ ὁρᾷ. καὶ ὁ Πέτρος· τοῦτο ψεῦδός ἐστιν, καὶ περὶ τούτου ἀγράφως καὶ ἐγγράφως ἀποδεῖξαι δύναμαι, πεῖσαι δὲ οὐκ ἐπαγέλλομαι. ὁ γὰρ πρὸς ἔρωτα μοχθηρᾶς νεύσας γυναικὸς εἰς ἑτέρας κατὰ πάντα καλῆς πρὸς[7] συμβίωσιν νόμιμον τὸν ἑαυτοῦ οὐ μεταπίθησι νοῦν· ἐνίοτε καὶ ἑαυτοῖς συνειδότες τὴν κρείττονα, προειλημ-

que enim in propria potestate sita est cogitatio dormientis. Inde igitur vigilando nos discendi avidi, multa in somnis de aliis quaerimus, vel non requirentes audimus res ad nos nequaquam pertinentes, et e somno excitati dolemus, nos de iis quae scire avebamus neque audiisse neque explorasse.

XV. Ac Simon: si dicas visiones non omnino vera praedicare, attamen visa et insomnia, quae a Deo mittuntur, falsa non sunt in rebus quas vult proloqui. Petrus ait: recte dixisti, quod non falsa proferant quae a Deo mittuntur. Verum incertum est, an qui vidit somnium a Deo missum conspexerit. Tum Simon: si justus sit ille qui vidit, verum intuitus est. Et Petrus: probe locutus es. Quis vero justus, si viso indigeat ad discenda quae discere oportet, et facienda quae fieri debent? Atque Simon: hoc mihi concede, quod solus justus verum visum possit cernere, et ad illud tibi respondeo. Mihi enim exploratum est, verum somnium ab impio non videri. Tum Petrus: hoc falsum est. Atque ea de re sine Scripturis et per Scripturas possum afferre demonstrationem, persuadere autem non polliceor. Nam qui in amorem pravae mulieris propendet, in alterius undique praeclarae dilectionem ad legitimum convictum non transfert animum. Et aliquando, qui sunt sibi conscii praestantioris

1. οἱ παρεπιθυμοῦντες p. ὕπαρ ἐπιθυμοῦντες C.
2. ἐπεθυμοῦμεν O, ut conj. S, ἐπιθυμοῦμεν C.
3. ἐζητήσαμεν conj. Schliemannus Clem. p. 191. 569. S.
4. εἰδὼν O.
5. Pro τίς O praebet lacunam.
6. χρήζει O. Tum ποιῇ ex conject. Ci, ποιεῖν uterque Hom. Cod.
7. Non legitur πρὸς in Turriani Epistola liminari ad Hosium, ubi locum citat. C. Deest etiam in Ottob.

μένοι ἀγαπῶσι τὴν χείρονα. τοιοῦτόν τι καὶ σὺ πάσχων ἀγνοεῖς. καὶ ὁ Σίμιων ἔφη· παρελόμενος ταῦτα, εἰς ἃ ἐπηγγείλω λέγε. ἐμοὶ γὰρ ἀδύνατον εἶναι δοκεῖ ἀσεβεῖς ἀνθρώπους ὑπὸ Θεοῦ ᾧ δήποτε ὀνειροπολεῖσθαι τρόπῳ.

XVI. Καὶ ὁ Πέτρος ἔφη· μέμνημαι ἐμαυτοῦ, ὡς ἐπηγγειλάμην δεῖξαι, καὶ ἀγράφως καὶ ἐγγράφως περὶ τούτου τὴν ἀπόδειξιν παρέχειν. καὶ νῦν λέγοντος ἄκουε, ἴσμεν πολλούς, εἴ γε εὐγνωμονεῖς (ἐπεί γε τοὺς παρεστῶτας κριτὰς ἔχω), εἴδωλα σέβοντας καὶ μοιχεύοντας καὶ κατὰ πάντα ἁμαρτάνοντας ὁράματα καὶ ἀληθεῖς ὀνείρους ὁρῶντας, ἐνίους δὲ καὶ δαιμόνων ὀπτασίας. τὴν γὰρ[1] ἄσαρκον ἰδέαν οὐ λέγω δύνασθαι πατρὸς ἢ υἱοῦ ἰδεῖν, διὰ τὸ μεγίστῳ φωτὶ καταυγάζεσθαι τοὺς θνητῶν ὀφθαλμούς. ὅθεν τὸ μὴ ὁραθῆναι τῷ εἰς σάρκα τετραμμένῳ ἀνθρώπῳ οὐ φθονοῦντός ἐστι Θεοῦ, ἀλλ' ἐλεοῦντος[2]. ὁ γὰρ ἰδὼν ζῆν οὐ δύναται. ἡ γὰρ ὑπερβολὴ τοῦ φωτὸς τὴν τοῦ ὁρῶντος ἐκλύει σάρκα, ἐκτὸς εἰ μὴ Θεοῦ ἀπορρήτῳ δυνάμει ἡ σὰρξ εἰς φύσιν τραπῇ φωτός, ἵνα φῶς ἰδεῖν δυνηθῇ, ἢ ἡ τοῦ φωτὸς οὐσία εἰς σάρκα τραπῇ, ἵνα ὑπὸ σαρκὸς ὁραθῆναι δυνηθῇ. τὸ γὰρ ἀτρέπτως πατέρα ἰδεῖν υἱοῦ μόνου ἐστίν. δικαίων[3] δὲ οὐχ ὁμοίως· ἐν γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν, ὅταν[4] τραπέντες εἰς φῶς τὰ σώματα ἰσάγγελοι γένωνται, τότε ἰδεῖν δυνήσονται. πέρας γοῦν κἂν ἀγγέλων τις ἀνθρώπῳ ὀφθῆναι πεμφθῇ, τρέπεται εἰς σάρκα, ἵνα ὑπὸ σαρκὸς ὀφθῆναι

feminae, occupati deteriorem diligunt. Tale quid tu quoque pateris ac ignoras. Dixit Simon: his sublatis, loquere quae promisisti. Mihi namque videtur impossibile, ut impii homines a Deo somnia ullo modo cernant.

XVI. Et Petrus: Mei, inquit, sum memor, quod promiserim ostendere, et ea de re absque Scripturis ac per Scripturas demonstrationem exhibere. Et nunc loquentem audi. Novimus multos (si quidem aequo animo accipis, alioquin adstantes judices habeo) idolorum cultores et adulteros ac omnino peccatores conspexisse visa atque vera somnia, nonnullos vero Daemonum visiones. Non enim dico a mortalium oculis videri posse incorpoream Patris aut Filii speciem, quia maximo lumine resplendet. Unde ab homine in carnem converso non cerni, non est invidentis Dei, sed miserantis. Nam qui viderit, vivere non potest. Luminis quippe exsuperantia cernentis dissolvit carnem, praeterquam si Dei ineffabili virtute caro vertatur in luminis naturam, quo possit lumen videre, aut luminis substantia in carnem mutetur, ut possit videri a carne. Nam Patrem intueri absque conversione, ad solum Filium pertinet. Ad justos autem non simili modo. In resurrectione enim mortuorum, quando corporibus mutati in lumen erunt Angelis aequales, tunc poterunt cernere. Denique et si Angelorum aliquis, ut videatur ab homine, missus fuerit, mutatur in carnem, ut per carnem cerni possit. Incorpoream siquidem virtutem

1. γὰρ transcripsi ex O. Tum εἰδέαν C.
2. ἑῶντος C.
3. Ita S, δίκαιοι C O. In O nota marginalis φεῦγε τόθα ταῦτα ad Vbb. antecedentia spectans.
4. ὅτ' ἂν C.

δυνηθῇ. ἄσαρκον γὰρ δύναμιν, οὐ μόνον υἱοῦ, ἀλλ'[1] οὐδ' ἀγγέλου ἰδεῖν τις δύναται. εἰ δὲ ἴδῃ τις ὀπτασίαν, κακοῦ δαίμονος ταύτην εἶναι νοείτω.

XVII. Πλὴν ὅτι καὶ ἀσεβεῖς ὁράματα καὶ ἐνύπνια ἀληθῆ βλέπουσιν, δῆλόν ἐστιν, καὶ ἐγγράφως ἀποδεῖξαι δύναμαι. πέρας γοῦν ἐν τῷ νόμῳ γέγραπται, ὡς ὁ Ἀβιμέλεχ, ἀσεβὴς ὤν, τὴν τοῦ δικαίου Ἀβραάμ γυναῖκα ἐπὶ κοινωνίᾳ μιᾶναι θελήσας, ἤκουσε παρὰ τοῦ Θεοῦ καθ' ὕπνον, ὡς ἡ γραφὴ λέγει, μὴ θιγεῖν[2] αὐτῆς, ὅτι ἀνδρὶ συνῳκηκυῖά ἐστιν. ἀλλὰ καὶ ὁ Φαραώ, ἀσεβὴς ἀνήρ, ἑώρακεν ὄνειρον περί τε πυρῶν εὐφορίας καὶ ἀφορίας, ᾧ ὁ[3] Ἰωσὴφ ἐπιλύων παρὰ Θεοῦ ἔφη τὸν ὄνειρον γεγενῆσθαι. Ναβουχοδονόσορ δέ, ὁ εἴδωλα σέβων, καὶ τοὺς Θεὸν σέβοντας εἰς πῦρ κελεύσας βληθῆναι, ὄνειρον ὅλου μήκους αἰῶνος ὁρᾷ. καὶ μὴ λεγέτω τις· ἀλλ' ὅραμα ἐγρηγορὼς[4] οὐδεὶς ἀσεβῶν θεωρεῖ. ψεῦδός ἐστιν. αὐτὸς γοῦν ὁ Ναβουχοδονόσορ τρεῖς ἄνδρας κελεύσας βληθῆναι εἰς πῦρ, ἐνιδὼν τῇ καμίνῳ τέταρτον[5] ἔφη· τὸν τέταρτον ὁρῶ ὡς υἱὸν θεοῦ. καὶ ὅμως ὀπτασίας τε καὶ ὁράματα καὶ ἐνύπνια ὁρῶντες ἀληθῆ, ἀσεβεῖς ἦσαν. οὕτως οὐ πάντως ἐκ τοῦ ὁρᾶν τινὰ ὁράματα καὶ ἐνύπνια καὶ ὀπτασίας πάντως εὐσεβής ἐστιν. τῷ γὰρ εὐσεβεῖ ἐμφύτῳ καὶ καθαρῷ ἀναβλύζει τῷ νῷ τὸ ἀληθές, οὐκ ὀνείρῳ σπουδαζόμενον[6], ἀλλὰ συνέσει ἀγαθοῖς διδόμενον.

non solum Filii, sed nec Angeli nemo potest cernere. Sin vero nonnullus visionem conspexerit, mali Daemonis eam esse intelligat.

XVII. Caeterum et ab impiis visa et insomnia vera conspici, manifestum est, atque ex Scripturis possum demonstrare. Denique in lege scriptum est, quemadmodum impius Abimelechus, cum justi Abrahami uxorem vitiare cuperet, a Deo audierit in somno (sicut ait Scriptura), ne illam tangeret, quod cohabitaret cum viro. Sed et Pharao, homo impius, somnium vidit de frumenti abundantia et sterilitate, cui cum Joseph explicaret, a Deo asseruit venisse somnium. Nabuchodonosor autem, idolorum cultor, quique jussit ut Dei cultores mitterentur in ignem, somnium vidit, quod omnium saeculorum longitudinem complectebatur. Nec dicat aliquis: at nullus impius visum per vigiliam cernit. Falsum est. Ipse certe Nabuchodonosor, qui jusserat tres viros in ignem mitti, cum in fornace quartum intueretur, ait: quartum video, velut Filium Dei. Et tamen qui visiones et spectacula et insomnia conspexerunt vera, impii erant. Sic non statim ex eo, quod quis cernat visa et insomnia, omnino pius est. Nam pio in mente innata et pura scatet veritas, non quae per somnum affectatur, sed quae per intelligentiam bonis conceditur.

1. ἀλλ' add. c. O. Ex eodem accessit ἰδεῖν.
2. Ita S, qui confert Schaefer Gregor. Corinth. 990, θίγειν C O.
3. εὐφημίας καὶ ὃ ὁ p. εὐφορίας καὶ ἀφορίας ᾧ ὁ O.
4. ἐγρηγορὸν O.
5. Ita O et marg. Ci, qui in textu exh. τεταρτώτατον.
6. σπουδαζόμενον O c. D, σπουδα- ζόμενα C.

www.libtool.com.cn

XVIII. *Οὕτως γὰρ κἀμοὶ ἀπὸ τοῦ πατρὸς ἀπεκαλύφθη ὁ υἱός. διὸ οἶδα τίς δύναμις ἀποκαλύψεως, ἀφ' ἑαυτοῦ μαθών. ἅμα γὰρ τῷ τὸν κύριον εἰπεῖν*[9], *τίνα αὐτὸν λέγουσιν, καὶ ἄλλους ἄλλο τι λέγοντας αὐτὸν ἀκηκοότος ἐμοῦ, ἐπὶ τῆς καρδίας ἀνέβη· οὐκ οἶδα οὖν πῶς εἶπον· σὺ εἶ ὁ υἱὸς τοῦ ζῶντος Θεοῦ. τὸν δὲ μακαρίσαντά με μηνῦσαί μοι, τὸν ἀποκαλύψαντα πατέρα εἶναι, ἐμὲ δὲ ἔκτοτε μαθεῖν, ὅτι τὸ ἀδιδάκτως, ἄνευ ὀπτασίας καὶ ὀνείρων μαθεῖν ἀποκάλυψίς ἐστιν. καὶ ἀληθῶς οὕτως ἔχει. ἐν γὰρ τῇ ἐν ἡμῖν ἐκ Θεοῦ τεθείσῃ σπερματικῶς* [*καρδίᾳ*][3] *πᾶσα ἔνεστιν ἡ ἀλήθεια, Θεοῦ δὲ χειρὶ σκέπεται καὶ ἀποκαλύπτεται, τοῦ ἐνεργοῦντος*[4] *τὸ κατ' ἀξίαν ἑκάστου εἰδότος. τὸ δὲ ἔξωθεν δι' ὀπτασιῶν καὶ ἐνυπνίων δηλωθῆναί τι, ὅτι οὐκ ἔστιν ἀποκαλύψεως, ἀλλὰ ὀργῆς, φαίνεται. πέρας γοῦν γέγραπται ἐν τῷ νόμῳ ὅτι ὀργισθεὶς ὁ Θεὸς Ἀαρὼν καὶ Μαριὰμ ἔφη*[5]· *ἐὰν ἀναστῇ προφήτης ἐξ ὑμῶν, δι' ὁραμάτων καὶ ἐνυπνίων αὐτῷ γνωρισθήσομαι, οὐχ οὕτως δὲ ὡς Μωυσῇ τῷ θεράποντί μου, ὅτι ἐν εἴδει καὶ οὐ δι'*[6] *ἐνυπνίων λαλήσω πρὸς αὐτόν, ὡς εἴτις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον. ὁρᾷς πῶς τὰ τῆς ὀργῆς δι' ὁραμάτων καὶ ἐνυπνίων, τὰ δὲ*

XVIII. Sic enim et mihi a Patre revelatus est Filius. Quare novi, quae sit revelationis vis, a me ipso edoctus. Nam simul ac Dominus interrogavit, quem eum dicerent, et ego alios aliud quid esse eum respondentes audivi, in cor meum ascendit, nec vere scio, qua ratione dixerim: *tu es filius Dei vivi.* Ille autem beatum me praedicans indicavit mihi, eum, qui revelaverat, Patrem esse, atque ex eo tempore didici, revelationem esse, quando absque praeceptore et visione ac somniis erudimur. Ac vere ita habet. Siquidem in corde, quod in nobis posuit Deus, universa instar seminis inest veritas, tegitur vero ac revelatur manu Dei operantis ac singulorum meritum cognoscentis. Extrinsecus autem per visiones et insomnia aliquid declarari, apparet non esse revelationis, sed irae. Denique in lege scriptum est, Deum iratum Aaroni et Mariae dixisse: *si surrexerit propheta ex vobis, per visiones ac insomnia ei apparebo, non autem sic, quemadmodum Moysi famulo meo, quoniam in specie, non autem per insomnia loquar ad hunc, velut si quis loquatur ad amicum suum.* Cernis quo modo, quae ex ira, per visa sint et insomnia, quae vero

1. Matth. 16, 13 seqq.
2. *ἐστὶ* O.
3. Post *τεθείσῃ* Schliemannus Clem. p. 190. 569. addit *καρδίᾳ*, conjectura secundum Schweglerum parum probabili, elegantissima quidem ex mea opinione. Etiam parvula lacuna, quam in Ms. Ottob. habes post *σπερματικῶς*, deesse aliquid satis probat.
4. Cotelerii interpretatio non potest constare cum texta graeco, nisi post *ἐνεργοῦντος* additur particula *καί*. At nihil mutandum. Tu verte: „qui operatur tantum, quantum meretur unusquisque sciens.“ S.
5. Num. 12, 6. Exod. 33, 11.
6. *διὰ* C.

www.libtool.com.cn

πρὸς φίλον στόμα κατὰ στόμα, ἐν εἴδει, καὶ οὐ δι' αἰνιγμάτων καὶ ὁραμάτων καὶ ἐνυπνίων [1], ὡς πρὸς ἐχθρόν.

XIX. Εἰ μὲν οὖν καὶ σοὶ ὁ Ἰησοῦς ἡμῶν δι' ὁράματος ὀφθεὶς ἐγνώσθη καὶ ὡμίλησεν, ὡς ἀντικειμένῳ ὀργιζόμενος, διὸ δι' ὁρωμάτων καὶ ἐνυπνίων ἢ καὶ δι' ἀποκαλύψεων ἔξωθεν οὐσῶν ἐλάλησεν. εἴ [5] τις δὲ δι' ὀπτασίαν πρὸς διδασκαλίαν σοφισθῆναι δύναται; καὶ εἰ μὲν ἐρεῖς· δυνατόν ἐστιν, διὰ τί ὅλῳ ἐνιαυτῷ [4] ἐγρηγορόσι παραμένων ὡμίλησεν ὁ διδάσκαλος; πῶς δέ σοι καὶ πιστεύσομεν αὐτό, κἂν ὅτι ὤφθη σοι; πῶς δέ σοι καὶ ὤφθη, ὁπότε [5] αὐτοῦ τὰ ἐναντία τῇ διδασκαλίᾳ φρονεῖς; εἰ δὲ ὑπ' ἐκείνου μιᾶς ὥρας ὀφθεὶς καὶ μαθητευθεὶς ἀπόστολος ἐγένου, τὰς ἐκείνου φωνὰς κήρυσσε, τὰ ἐκείνου ἑρμήνευε, τοὺς ἐκείνου ἀποστόλους φίλει, ἐμοὶ τῷ συγγενομένῳ αὐτῷ μὴ μάχου. πρὸς [6] γὰρ στερεὰν πέτραν ὄντα με, θεμέλιον ἐκκλησίας, ἐναντίος ἀνθέστηκάς μοι [7]. εἰ μὴ ἀντικείμενος ἦς, οὐκ ἄν με διαβάλλων τὸ δι' ἐμοῦ κήρυγμα ἐλοιδόρεις [8], ἵνα, ὃ παρὰ τοῦ κυρίου αὐτὸς παρὼν ἀκήκοα, λέγων μὴ πιστεύωμαι, δῆλον ὅτι ὡς ἐμοῦ καταγνωσθέντος καὶ ἐμοῦ [9] εὐδοκιμοῦντος. ἢ εἰ κατεγνωσμένον με λέγεις, Θεοῦ τοῦ ἀποκαλύψαντός μοι τὸν Χριστὸν κατηγορεῖς, καὶ τοῦ ἐπὶ ἀποκαλύψει μακα-

ad amicum, os ad os, in specie, et non per aenigmata visa et insomnia, sicut ad inimicum.

XIX. Itaque si tibi etiam Jesus noster in viso conspectus apparuit ac locutus est, tamquam adversario iratus, ideo per visa et insomnia, vel quoque per extrinsecas revelationes disseruit. An vero potest aliquis per visionem institui ad doctrinam? Quod si dicas posse, quare per annum integrum cum vigilantibus permanens collocutus est Dominus? Et quo pacto tibi hoc ipsum credamus, quod tibi apparuerit? Et quo modo tibi apparuerit, cum contraria illius doctrinae sentias? Sin vero, ab illo per unam horam visitatus ac edoctus, factus es Apostolus, voces illius praedica, illius scita interpretare, illius Apostolos ama, mihi qui cum eo versatus sum ne bellum indicas. Nam contra me, firmam petram et Ecclesiae fundamentum, adversarius restitisti. Nisi esses adversarius, profecto de me detrahens, praedicationem meam probris non insectareris, ut, qui dico quae ipse adstans a Domino audivi, non credar, quasi scilicet condemnationem merear, quamvis laudari debeam. Aut si me reum dicis, Deum qui mihi Christum revelavit accusas, et in eum qui me propter

1. Vbb. τὰ δὲ πρὸς — καὶ ἐνυπνίων desiderantur in O.
2. εἰ S O, ἢ C, de quo fallitur S.
3. ἢ scribit Schliemannus Clem. p. 192. 569. Idem legi vult ὀπτασίας p. ὀπτασίαν. S.
4. Cfr. Neander Kirch. Gesch. I, 2, 625. Hilgenfeld Hall. Allg. Litt. Ztg. Nr. 80. p. 659. Baur kanon. Evang. p. 363. S.
5. ὤφθησαν· πότε O.
6. Matth. 16, 18. et supra 11, 7.
7. ἐναντίως ἀνεθέτηκάς μοι O.
8. Ita O c. S, ἐλοιδόρῃς C.
9. Leg. μή. Cotelerii versio stare non potest. S. Sequens εἰ om. O. Idem κατεγνωσμένον et antea καταγνωσθέντος c. S, καταγνωσμένον et κατεγνωσθέντος C.

ρίσαντός μέ καταφέρεις[1]. ἀλλ' ἐπεί[2] περ ἀληθῶς τῇ ἀληθείᾳ συνεργῆσαι θέλεις, μάθε πρῶτον παρ' ἡμῶν, ἃ ἡμεῖς παρ' ἐκείνου ἐμάθομεν, καὶ μαθητὴς ἀληθείας γεγονὼς γένου ἡμῖν συνεργός.

XX. Ταῦτα ὁ Σίμων ἀκούσας ἔφη· ἀπείη μοι τὸ εἴτε[3] ἐκείνου, εἴτε σου γενέσθαι μαθητήν. οὐδὲ γὰρ ἀγνοῶ ἃ δεῖ γινώσκειν· ἃ δὲ ὡς μανθάνων ἐπυθόμην, ἵνα ἴδω[4] εἰ δύνασαι ὀπτασίας ἐνεργείαν ἐναργεστέραν[5] δεῖξαι. σὺ δὲ ὡς ἠθέλησας, εἶπας, οὐκ ἔδειξας. καὶ νῦν αὔριόν σοι εἰς τὸν περὶ Θεοῦ, οὗ διισχυρίζῃ δημιουργοῦ, ἐλθὼν καὶ διαλεχθεὶς δείξω μὴ αὐτὸν εἶναι ἀνώτατον καὶ[6] ἀγαθόν, καὶ τὸν σὸν δὲ διδάσκαλον τὰ αὐτά μοι εἰρηκέναι, σὲ δὲ μὴ νενοηκέναι ἐλέγξω. καὶ ταῦτα εἰπὼν ἐξῆει, εἰς ἃ προέτεινεν οὐ θελήσας ἀκοῦσαι.

## ΟΜΙΛΙΑ ΙΗ'.

I. Ὄρθρου δέ, προελθόντος τοῦ Πέτρου εἰς τὸ διαλεχθῆναι, ὁ Σίμων προλαβὼν ἔφη· ἐχθὲς[7] ἀπαλλασσόμενος εἰς τὴν σήμερον ὑπεσχόμην σοι ἐπανελθὼν καὶ συζητήσας δεῖξαι, ὅτι οὐκ ἔστιν ὁ τὸν κόσμον δημιουργή-

revelationem beatum praedicavit inveheris. Sed si quidem vere cupis adminiculari veritati, primum a nobis disce, quae nos ab eo didicimus, et factus veritatis discipulus fias noster adjutor.

XX. His auditis Simon dixit: Absit ut ego vel illius vel tuus sim discipulus. Neque enim ignoro, quae cognoscere oportet: ea vero tamquam discituras interrogabam, ut agnoscerem, an posses ostendere visionem evidentia esse inefficaciorem. At tu quemadmodum voluisti locutus es, nec demonstrasti. Et nunc, veniens cras ad sermonem de Deo, quem Creatorem affirmas, probabo illum non esse supremum ac bonum, tuum quoque Magistrum eadem mecum dixisse, te autem arguam non intellexisse. Atque post haec dicta exiit, nolens audire ad ea quae proposuerat.

## HOMILIA XVIII.

I. Mane autem, cum Petrus ad disputationem processisset, Simon anticipans dixit: heri discedens promisi tibi, me hodie rediturum, disceptaturum, ac

1. Leg. καταφρονεῖς. Quod Cotelerius in versione dedit, id e graecis verbis non efficitur. S. καταφέρῃ O.
2. Malim εἴ S.
3. μοι, εἴτε C.
4. εἰδῶ C. Tum ὀπτασίαν ἐνεργείας O in textu, ἴσ. ὀπτασίας ἐνεργείαν al. man. in marg., quod praestat; ὀπτασίαν ἐνεργείας C, ὀπτασίαν ἐναργείας Cl.
5. ἀνεργεστέραν conj. Cotel. Debebat scribere ἀνενεργεστέραν. Ego malim ἐπτασίας ἐναργείαν. S. Dein εἶπες p. εἶπας C.
6. καὶ inserui c. O.
7. χθὲς O.

www.libtool.com.cn

σας ἀνώτατος[1] Θεός, ἀλλ' ἕτερος, ὃς καὶ μόνος ἀγαθὸς ὢν καὶ μέχρι τοῦ δεῦρο ἄγνωστός ἐστιν. αὐτίκα γοῦν τὸν δημιουργὸν αὐτὸν καὶ νομοθέτην φῂς εἶναι, ἢ οὔ[2]; εἰ μὲν οὖν νομοθέτης ἐστίν, δίκαιος τυγχάνει, δίκαιος δὲ ὢν ἀγαθὸς οὐκ ἔστιν. εἰ δὲ οὐκ ἔστιν, ἕτερον ἐκήρυσσεν ὁ Ἰησοῦς τῷ λέγειν[3]· μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστίν, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς. οὐ συμφωνεῖ δὲ τῷ νομοθέτῃ δικαίῳ ὄντι καὶ ἀγαθῷ. καὶ ὁ Πέτρος ἔφη· πρῶτον ἡμῖν εἰπέ, ἐπὶ ποίαις πράξεσι δοκεῖ σοι ὁ ἀγαθὸς εἶναι, ἐπὶ ποίαις δὲ καὶ ὁ δίκαιος[4], ἵνα οὕτως κατὰ σκοπὸν τοὺς λόγους πέμπωμεν. καὶ ὁ Σίμων· σὺ πρῶτον εἰπέ, τί σοι δοκεῖ τὸ ἀγαθόν, ἢ καὶ τὸ δίκαιον.

II. Καὶ ὁ Πέτρος· ἵνα μὴ ἐριστικώτερον διαλεγόμενος δαπανῶ τοὺς χρόνους, ἀπαιτῶν δικαίως τῶν ἐμῶν προτάσεών[5] σε τὰς ἀποκρίσεις ποιεῖσθαι, ὡς σοι δοκεῖ αὐτὸς ὢν ἐπυθόμην ποιήσομαι τὰς ἀποκρίσεις. ἐγώ φημι ἀγαθὸν εἶναι τὸν παρεκτικὸν [ἐκεῖνον ἐν τοιούτοις,][6] οἷον ὡς αὐτὸν ὁρῶ ποιοῦντα[7] τὸν δημιουργόν, παρέχοντα τὸν ἥλιον ἀγαθοῖς καὶ τὸν ὑετὸν δικαίοις καὶ ἀδίκοις. καὶ ὁ Σίμων ἔφη· τοῦτο ἀδικώτατον, ὅτι τὰ αὐτὰ δικαίοις καὶ ἀδίκοις παρέχει. καὶ ὁ Πέτρος· σὺ οὖν ἡμῖν τοῦ λοιποῦ λέγε, πῶς ποιῶν ἀγαθὸς ἂν ἦν. καὶ ὁ Σίμων· σὲ δεῖ λέγειν. καὶ ὁ Πέ-

ostensurum, quod mundi opifex non sit supremus Deus, sed hic alius sit, utpote solus bonus, et huc usque incognitus. Statim ergo, Creatorem eumdem et Legislatorem esse dicis, nec ne? Si igitur Legislator est, justus est, si justus, non est bonus, bonus si non est, alium praedicavit Jesus dicendo: *ne me dicas bonum. Nam bonus unus est, Pater, qui in coelis habitat.* Porro non est consonum, ut Legislator justus sit ac bonus. Ait Petrus: primum dic nobis, in quibus actionibus bonum putes esse bonum, et in quibus justum esse justum, ut sic ad scopum verba destinemus. Et Simon: tu prius effare, quid arbitreris bonum, quid justum.

II. Tum Petrus: ne contentiosius disputans tempora insumam, dum juste postulo ut meis respondeas propositionibus, quemadmodum tibi videtur, ipse ad interrogata responsiones afferam. Ego aio bonum esse eum, qui largitor est, sicut video a Creatore fieri, qui praebet solem bonis et malis, atque imbrem justis ac iniquis. Et Simon dixit: hoc iniquissimum est, eadem justis atque injustis praebere. Ac Petrus: tu ergo deinceps nobis edissere, quo modo agens bonus esset. Simon: te oportet dicere. Petrus: ego dicam. Si

1. *ἀνωτάτω* O. Sequens *καὶ* in eodem deest.
2. *οὔ* S O, *οὐχ* C.
3. Matth. 19, 17.
4. O bis exh. *δίκαιος*.
5. *προ . . .* (sic) O; at ead. man. lacunam in marg. ita explere tentavit: *ἴσως προσιεμένων*, quod man. recentior correxit in *μᾶλλον δὲ — προτάσεων*.
6. Vbb. [*ἐκεῖνον ἐν τοιούτοις,*] adscripsi ex conjectura pro vacuo Ottob.
7. *ποιοῦν τὰ* O. Matth. 5, 45.

www.libtool.com.cn

τρος· ἐγὼ λέξω. ὁ [1] μὲν τὰ αὐτὰ παρέχων ἀγαθοῖς καὶ δικαίοις, ἔτι [2] τε κακοῖς καὶ ἀδίκοις, κατὰ σὲ οὐδὲ δίκαιός ἐστιν, καὶ εἰ ἀγαθοῖς ἀγαθὰ παρεῖχεν, κακοῖς τε κακά, δίκαιον ἂν αὐτὸν εὐλόγως ἔλεγες. ποία οὖν ἔτι πράξει χρώμενος ἂν ἦν, εἰ μὴ ταύτῃ χρῆται ὁδῷ, κακοῖς μὲν παρέχων τὰ πρόσκαιρα, ἐὰν ἄρα μεταβάλλωνται, ἀγαθοῖς δὲ αἰώνια, ἐάν γε ἐμμείνωσιν; καὶ οὕτως τῷ [3] μὲν πᾶσι παρέχειν, διαφόροις δὲ χαρίζεσθαι τὸ δίκαιον αὐτοῦ ἀγαθόν ἐστιν, καὶ μακρόθυμον ταύτῃ μᾶλλον, εἰ ἁμαρτωλοῖς μὲν μετανοοῦσι χαρίζεται τὰ ἁμαρτήματα, εὖ πράξασι δὲ καὶ ζωὴν αἰώνιον ὑπογράφει. κρίνων δὲ εἰς τέλος, καὶ τὸ κατ' ἀξίαν ἀποτίμων ἑκάστῳ δίκαιός ἐστιν. εἰ μὲν οὖν ταῦτα ὀρθῶς οὕτως ἔχει, ὁμολόγησον· εἰ δὲ οὐ δοκεῖ σοι ὀρθῶς ἔχειν, διέλεγξον [4].

III. Καὶ ὁ Σίμων ἔφη· ἅπαξ ἔφην· πᾶς νομοθέτης, εἰς τὸ δίκαιον ἀφορῶν, δίκαιός ἐστιν. καὶ ὁ Πέτρος· εἰ ἀγαθοῦ ἐστὶ μὴ θεῖναι νόμον, δικαίου δὲ τὸ θέσθαι, καὶ οὕτως ὁ δημιουργὸς ἀγαθός ἐστι καὶ δίκαιος. ἀγαθὸς μέν, ὅτι ἀπὸ τῶν χρόνων Ἀδὰμ μέχρι Μωυσέως [5] ἐγγράφως οὐ φαίνεται τεθεικὼς τὸν νόμον· ἀπὸ δὲ Μωυσέως εἰς τοὺς δεῦρο χρόνους, ὡς γέγραπται, καὶ δίκαιός ἐστιν. καὶ ὁ Σίμων, ἀπὸ τῶν τοῦ διδασκάλου σου φωνῶν δεῖξον [6], ὅτι τοῦ αὐτοῦ ἐστίν, ἀγαθὸν εἶναι καὶ δίκαιον [7]. ἐμοὶ γὰρ ἀδύνατον φαίνεται, τὸν νομοθέτην ἀγαθὸν ὄντα τὸν αὐτὸν καὶ δί-

nempe eadem praebens bonis ac justis et praeterea malis ac iniquis, secundum te nec justus est, tu eum, si bonis bona tribueret, malisque mala, justum merito praedicares. Quali ergo adhuc actione utendum ei esset, si non uteretur hac via, malis quidem dans temporalia, si forte convertantur, bonis vero sempiterna, modo perseverent. Sicque largiendo cunctis, praestantioribus autem gratiam faciendo, justitia ejus bona est, et eo magis magnanima, si peccatoribus quidem poenitentiam agentibus peccata condonat, bene operantibus autem etiam vitam aeternam definit. Judicans vero in fine, et pro merito singulis retribuens, justus exsistit. An itaque haec recte se eo modo habeant, profitere; sin minus tibi ita esse videtur, refuta.

III. Respondit Simon: semel dixi: omnis legislator, ad justitiam respiciens, justus est. Et Petrus: si boni est, non ferre legem, justi vero, ferre, ita etiam Creator bonus est ac justus. Bonus quidem, quoniam a temporibus Adami usque ad Mosem scriptam legem tulisse non cernitur, justus vero, quoniam a Mose usque ad hanc aetatem tulit, sicut scripta est. Tum Simon: ex tui Praeceptoris vocibus ostende, ejusdem esse, bonum esse ac justum. Mihi quippe videtur impossibile, ut Legislator, qui bonus sit, idem justus exsistat. Et

1. *εἰ* C.
2. *εἴ* S c. Cl.
3. *τὸ* O.
4. *ἔχῃ, ὁμολόγησον* C. Vbb. *εἰ δὲ οὐ δοκεῖ σοι ὀρθῶς ἔχειν, διέλεγξον* descripsi ex O.
5. *μωυσέος* O. Sic deinde.
6. *δείξω* O.
7. Ita Cl, *ἀγαθῷ εἶναι καὶ δικαίῳ* C O.

www.libtool.com.cn

ναιον [1] εἶναι. καὶ ὁ Πέτρος· ὅτι τὸ ἀγαθὸν αὐτὸ καὶ δίκαιόν ἐστιν, ἐπάκουσον. αὐτὸς ὁ διδάσκαλος ἡμῶν τῷ εἰπόντι Φαρισαίῳ [2]· τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; πρῶτον ἔφη· μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστίν, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς· εὐθὺς [3] ἐπάξας λέγει· εἰ δὲ θελήσεις εἰς [4] τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς. τοῦ δὲ εἰπόντος, ποίας; [5] ἐπὶ τὰς [5] τοῦ νόμου παρέπεμψεν. οὐκ ἂν δὲ ἕτερόν τινα ἀγαθὸν σημαίνων ἐπὶ τὰς τοῦ [6] δικαίου ἀνέπεμπεν ἐντολάς. ὅτι δὲ τὸ δίκαιον ἄλλο ἐστίν, καὶ τὸ ἀγαθὸν ἕτερον, καὶ αὐτὸς ὁμολογῶ, ἀλλ' ὅτι τοῦ αὐτοῦ ἐστὶ τὸ ἀγαθὸν εἶναι καὶ δίκαιον [7], ἀγνοεῖς. ἀγαθὸς γάρ ἐστι μετανοοῦσι μὲν [8] νῦν μακροθυμῶν καὶ ὑποδεχόμενος αὐτούς, δίκαιος δέ ἐστιν, ὅταν [9] κρίνων τὰ κατ' ἀξίαν ἑκάστῳ ἀπονέμῃ. [10]

IV. Καὶ ὁ Σίμων ἔφη· πῶς οὖν ἐγνωσμένου τοῦ δημιουργοῦ, τοῦ καὶ τὸν Ἀδὰμ πλάσαντος, καὶ τοῖς κατὰ νόμον δικαίοις ἐγνωσμένου, προσέτι δὲ [10] δικαίοις καὶ ἀδίκοις καὶ ὅλῳ τῷ κόσμῳ, ὁ διδάσκαλός σου μετὰ πάντας ἐκείνους ἐληλυθὼς λέγει [11]· οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός, ὡς [15] οὐδὲ τὸν υἱόν τις οἶδεν, εἰ μὴ ὁ πατήρ, καὶ οἷς ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι; ταῦτα δὲ οὐκ ἂν ἔλεγεν, εἰ μὴ πατέρα τινὰ ἐν ἀπορρήτοις ὄντα ἀνήγγειλεν [12], ὃν καὶ ὕψιστον ὁ νόμος λέγει, ἀφ' οὗ οὔτε ἀγαθὴ οὔτε κακὴ

Petrus: quod bonum ipsum quoque justum sit, audi: Doctor noster quaerenti Pharisaeo: *quid faciens vitam aeternam possidebo?* primum respondit: *ne me dicas bonum. Nam bonus unus est, Pater qui est in coelis:* et statim intulit haec verba: *si autem volueris in vitam ingredi, serva mandata.* Illo autem aiente: *quae?* ad Legis mandata remisit. Non certe alium quemdam bonum significans ad justi remisisset eum praecepta. Aliud vero esse justum, et aliud bonum, etiam ipse confiteor. Sed ignoras ad eumdem pertinere, bonum esse ac justum. Bonus enim est, dum poenitentibus nunc aequanimus est eorumque susceptor, justus autem est, quandoquidem judicans pro merito singulis retribuet.

IV. Et Simon: quo modo ergo, inquit, cum cognoscatur Creator, qui et Adamum formavit, et a justis sub Lege viventibus agnitus est, sicut etiam a justis et a toto mundo, Magister tuus, qui post eos omnes venit, ait: *nemo novit Patrem, nisi filius, sicut nec filium quis novit, nisi Pater, et quibus voluerit filius revelare.* Ista autem non dixisset, si non annunciasset quemdam Patrem in arcanis exsistentem, quem et altissimum Lex appellat, a quo

1. καὶ δίκαιον καὶ p. καὶ δίκαιον O.
2. Luc. 18, 19. Matth. 19, 17.
3. Adde δ' post εὐθύς. S.
4. εἰς add. c. O. Tum τήρει p. τήρησον idem.
5. ἐπὶ τὰς O et ex conject. C, in cujus textu ἐπιστάς. Tum id. ἔπεμψεν p. παρέπεμψεν.
6. τοῦ adjeci c. O.
7. Ita Cl, ἀγαθῷ εἶναι καὶ δικαίῳ C O.
8. μὲν inserui c. O. Tum ἀποδεχόμενος C.
9. ὅτ' ἂν C. Tum ἀπονέμει O.
10. δὲ textui reddidi, cum excidisset ap. Cl et S.
11. Matth. 11, 27.
12. ἀνήγγελλεν C.

www.libtool.com.cn

ἠκούσθη φωνή (ὡς ἐν τοῖς Θρήνοις καὶ Ἱερεμίας μαρτυρεῖ)[1], ὅστις κατ' ἀριθμὸν τῶν υἱῶν Ἰσραήλ, οἳ εἰσῆλθον εἰς Αἴγυπτον, οἵ εἰσιν ἑβδομήκοντα, καὶ πρὸς τὰ ὅρια τῶν ἐθνῶν περιγράψας γλώσσαις[2] ἑβδομήκοντα, τῷ αὐτοῦ υἱῷ τῷ καὶ κυρίῳ λεγομένῳ, καὶ[3] οὐρανὸν καὶ γῆν διακοσμήσαντι, τοὺς Ἑβραίους ἔδωκε μερίδα, καὶ αὐτὸν Θεὸν θεῶν εἶναι διώρισεν, θεῶν δὲ[4] λέγω, οἵ τινες τὰς ἄλλας τῶν ἐθνῶν εἰλήφασι μερίδας. νόμοι οὖν προῆλθον ἀπό τε πάντων τῶν λεχθέντων θεῶν ταῖς αὐτῶν μερίσιν, ἃ τινά ἐστι τὰ λοιπὰ ἄλλα ἔθνη. ὁμοίως δὲ καὶ ἀπὸ τοῦ υἱοῦ τοῦ πάντων κυρίου ὁ παρὰ Ἑβραίοις κείμενος προῆλθε νόμος. τοῦτο δὲ οὕτως ἔχειν ὡρίσθη, ἵνα, εἴ τις νόμῳ τινὸς προσφύγῃ, ἀπὸ τῆς ἐκείνου[5] γένηται μερίδος, οὗ δὴ καὶ τὸν νόμον πράττειν ἀνεδέξατο. οὐδεὶς ἔγνω τὸν ἐν ἀπορρήτοις ὕψιστον πατέρα ὄντα, ὡς οὐδὲ τὸν τούτου υἱόν, ὅτι υἱός ἐστιν. αὐτίκα γοῦν σὺ τὰ τοῦ ἀπορρήτου[6] ὑψίστου ἴδια διδοὺς τῷ υἱῷ οὐκ οἶδας ὅτι υἱός ἐστιν[7], πατὴρ ὑπάρχων τοῦ Ἰησοῦ τοῦ καθ' ὑμᾶς λεγομένου Χριστοῦ.

V. Ταῦτα τοῦ Σίμωνος εἰπόντος ὁ Πέτρος ἔφη πρὸς αὐτόν· δύνασαι αὐτὸν ἐκεῖνον διαμαρτύρασθαι, ὅτι οὕτως πιστεύεις, οὐχ ὃν νῦν ἐν ἀπορ-

neque bona neque mala audita est vox, (quemadmodum in Lamentationibus Jeremias testatur), qui secundum numerum filiorum Israel, quando ingressi sunt in Aegyptum septuaginta, et secundum terminos gentium eas circumscripsit septuaginta linguis, et filio suo, qui et Dominus vocatur et coelum ac terram constituit, Hebraeos partem dedit, eumque Deum Deorum esse definivit: Deorum autem dico, qui alias gentium acceperunt portiones. Leges igitur prodierunt ab omnibus dictis Diis, ad suas portiones, quae sunt reliquae gentes. Pari autem modo et a Filio cunctorum Domino apud Hebraeos posita lex processit. Hoc vero ita habere definitum est, ut si quis ad alicujus legem confugerit, ad illius partem pertineat, cujus recepit legem servare. Nemo cognovit altissimum in arcanis positum Patrem, sicut nec filium ejus, quod filius sit. Statim ergo tu, quae propria sunt ignoti altissimi, tribuens Filio, ignoras quod filius sit, qui est pater Jesu Christi apud vos dicti.

V. His a Simone prolatis Petrus ait ad eum: Potesne, quod ita credas, ipsum contestari, non quem nunc in arcanis praedicas, sed quem credis, nec

1. Jerem. 3, 38.

2. γλώσσας conj. C, quod recte improbat Davisius. Gentes enim, ait vir doctissimus, fuisse septuaginta, totidemque linguas, communis erat Hebraeorum sententia. De septuaginta nationibus conferas, quae Cotelerius adnotavit ad Recogn. II, 42. Gieseler, Entstehung der schriftl. Evang. p. 128. Schneckenburger, über den Ursprung des ersten kanon. Evang. p. 13. Egit praeterea de loco nostro Neander, gnost. Systeme p. 378. S.

3. Reposui καὶ a Cl et S praetermissum.

4. δὴ S.

5. Ita O et ex conject. C, in cuj. textu ἐκείνων.

6. ἀπορρήτου om. O.

7. Vult Simon Magus Deum creatorem esse filium ignoti Dei sui, patrem vero Jesu Christi nostri. C.

ρήτοις λέγεις, ἀλλ' ὃν σὺ πιστεύων οὐχ ὁμολογεῖς; ἄλλα γὰρ ἀντ' ἄλλων ὁρίζων φλυαρεῖς. διὸ ἐὰν διαμαρτύρῃ ὅτι, ἃ λαλεῖς, ταῦτα πιστεύεις, ἀποκρίνομαί σοι. εἰ δὲ ἔστηκας συζητῶν ἐμοὶ ἃ μὴ πιστεύεις, κατὰ κενοῦ με παίειν ἀναγκάζεις. καὶ ὁ Σίμων ἔφη· παρά τινος τῶν σῶν μαθητῶν ἀκήκοα, [ταῦτα οὕτως ὁρισθῆναι.][1] καὶ ὁ Πέτρος ἔφη· μὴ ψευδομαρτύρει. καὶ ὁ Σίμων ἔφη· μή με λοιδόρει, προπετέστατε. καὶ ὁ Πέτρος· μέχρις ἂν εἴπῃ τὸν εἰπόντα, ψεύστης εἶ. καὶ ὁ Σίμων· νόμιζε ἐμὲ ταῦτα πλάσαι ἢ καὶ παρὰ ἄλλου με[2] ἀκηκοέναι· πρὸς ταῦτα μοι ἀπόκριναι. ἐὰν γὰρ ἀνατραπῆναι μὴ δυνηθῇ, ἔμαθον τοῦτο εἶναι τὴν ἀλήθειαν. καὶ ὁ Πέτρος· εἰ ἀνθρώπινόν ἐστι πλάσμα, οὐκ ἀποκρίνομαι εἰς αὐτό· εἰ δὲ ὑπονοίᾳ αὐτοῦ κεκράτησαι ὡς ἀληθοῦς, τοῦτο αὐτό μοι ὁμολόγησον, καὶ ἔχω τι καὶ αὐτὸς περὶ τούτου λέγειν. καὶ ὁ Σίμων· ἅπαξ μοι δοκεῖ[3] τοῦτο οὕτως ἔχειν. σὺ πρὸς ταῦτα εἴ ἔχεις τι λέγειν, ἀπόκριναι.

VI. Καὶ ὁ Πέτρος ἔφη· εἰ τοῦτο οὕτως ἔχει[4], τὰ μέγιστα ἀσεβεῖς. εἰ γὰρ υἱοῦ ἐστί, τοῦ οὐρανὸν καὶ γῆν διακοσμήσαντος, τὸ ᾧ βούλεται ἀποκαλύπτειν[5] τὸν ἐν ἀπορρήτοις αὐτοῦ πατέρα, σὺ μέγιστα, ὡς ἔφην, ἀσεβεῖς ἀποκαλύπτων οἷς ἐκεῖνος οὐκ ἀπεκάλυψεν. καὶ ὁ Σίμων· ἀλλὰ αὐτός με βούλεται ἀποκαλύπτειν. καὶ ὁ Πέτρος· οὐ νοεῖς ἃ λέγω, Σίμων. πλὴν

confiteris? Alia enim pro aliis decernens nugas agis. Quocirca si contestaris, a te credi quae loqueris, tibi respondebo. Sin vero perseveras disceptare mecum de iis quae non credis, per inane me cogis percutere. Et, Simon dixit: a quodam ex discipulis tuis audivi, [haec ita esse constituta.] Excepit Petrus: ne falsum testeris. Respondit Simon: ne mihi convicium facias, protervissime. Tum Petrus: usque quo protuleris eum qui dixit, mendax es. At Simon: Existima me haec finxisse vel ab alio audiisse, ad ea responde mihi. Nam si everti non potuerint, compererim esse veritatem. Et Petrus: si est humanum figmentum, non respondeo ad illud: sin autem hujusce rei opinione tamquam verae detineris, id ipsum mihi confitere, et habeo ego quoque aliquid quod de eo dicam. Simon: prorsus arbitror hoc ita habere. Tu si quid ad illa habes dicere, responde.

VI. Et Petrus ait: si hoc ita habet, maxime impius es. Nam si ad filium, coeli et terrae constitutorem, spectat revelare, cui vult, ipsius Patrem in obscondito positum, tu, sicut dixi, maxime es impius, qui revelas quibus ille nequaquam revelavit. Ac Simon: sed ille vult ut revelem. Atque Petrus: non in-

1. Vbb. [ταῦτα οὕτως ὁρισθῆναι.] lacunae inscripsi, quae in Ms. Ottob. h. l. occurrit.

2. με adjunxi c. O. Deinde ἀνατραπῆσαι Cl et S.

3. Post δοκεῖ in O est εἶναι subnotatum. Cum eodem textui reddidi οὕτως, quod ap. S exciderat. Deinde εἰ ἔχεις O, ἔχῃς C, εἰ ἔχῃς conj. S.

4. ἔλῃ C.

5. Explanavit hunc locum contra Schliemannum Baurius Annal. Theol. Tubing. 1844, p. 552. S.

ἀκούσας σύνες τῷ[1] εἰπεῖν, οἷς ἂν βούληται[2] ὁ υἱὸς ἀποκαλύψει, οὐ διδασκαλίᾳ τινὰ τοιοῦτον μαθεῖν λέγει, ἀλλὰ ἀποκαλύψει μόνον. ἀποκάλυψίς ἐστι τὸ ἐν πάσαις καρδίαις ἀνθρώπων ἀπορρήτως κείμενον κεκαλυμμένον, ἄνευ φωνῆς τῇ αὐτοῦ βουλῇ[3] ἀποκαλυπτόμενον. καὶ οὕτως γίνεται γνῶναι, οὐ διδαχθέντα, ἀλλὰ συνέντα. τῷ μέντοι συνιέντι[4] οὐκ ἔξεστιν, ἄλλῳ τοῦτο ἀποδεῖξαι, ἐπεὶ μηδ' αὐτὸς ἐδιδάχθη, οὔτε ἀποκαλύψαι δύναται, ἐπεὶ μὴ αὐτός ἐστιν ὁ υἱός, ἐκτὸς εἰ μὴ ἑαυτὸν λέγει εἶναι τὸν υἱόν. σὺ δὲ οὐκ εἶ ὁ ἑστὼς υἱός. εἰ γὰρ υἱὸς ἦς, πάντως ἂν ἤδης[5] τῆς τοιαύτης ἀποκαλύψεως τοὺς ἀξίους. σὺ δὲ οὐκ οἶδας. εἰ γὰρ ἠπίστασο, τὰ τῶν ἐπισταμένων ἂν ἐποίεις[6].

VII. Καὶ ὁ Σίμων ἔφη· ὁμολογῶ, οὐ συνῆκα πῶς λέγεις, τὰ τῶν ἐπισταμένων ἂν ἐποίεις[7]. καὶ ὁ Πέτρος· εἰ οὐ συνῆκας, οὐδὲ τὸν ἑκάστου νοῦν εἰδέναι δύνῃ, καὶ εἰ ἀγνοεῖς[8], οὐδὲ τοὺς ἀξίους τῆς ἀποκαλύψεως ἐπίστασαι, οὐκ εἶ υἱός· ὁ δὲ υἱὸς οἶδεν· διό, οἷς βούλεται, ὡς ἀξίοις οὖσιν, ἀποκαλύπτει. καὶ ὁ Σίμων ἔφη· μὴ ἀπατῶ, οἶδα τοὺς ἀξίους, καὶ υἱὸς οὐκ εἰμί. τοῦτο μέντοι, τί ποτ' ἔστιν, οἷς βούλεται ἀποκαλύπτει, οὐ συνῆκα ὡς λέγεις· τὸ δὲ μὴ συνιέναι οὐχ ὡς μὴ εἰδὼς εἶπον, ἀλλ' ὡς εἰ-

telligis, Simon, quae aio. Verum audi, et intellige. Quando dicit: quibus vult filius revelabit, eo significat, illum hominem non discere per doctrinam, sed per solam revelationem. Est autem revelatio, cum, quod in omnibus hominum cordibus arcane velatum positum est, absque voce per illius voluntatem revelatur. Sicque cognoscere accidit non discendo, sed intelligendo. Atqui intelligenti non licet, alteri hoc ostendere, quandoquidem nec ipse edoctus est, verum etiam non potest revelare, quia ipse non est filius, nisi si se dicat esse Filium. Tu autem non es stans filius. Nam si filius esses, omnino cognosceres hac dignos revelatione. Tu vero ignoras. Si enim scires, faceres quae faciunt qui sciunt.

VII. Dixit Simon: fateor, non intelligo quo modo dicas, faceres quae faciunt qui sciunt. Et Petrus: si non intellexisti, etiam non potes uniuscujusque scire mentem: et si ignoras, etiam non revelationis dignos cognoscis: ac si non cognoscis, non es filius. Filius autem novit: quare quibus vult, tamquam qui digni sint, revelat. Et Simon dixit: ne decipiaris, novi dignos, nec filius sum. Porro quid hoc sit, *quibus vult revelat*, non intellexi quemadmodum dicas: non intelligere autem dixi, non tamquam ipse nesciens, sed velut sciens

1. τῷ S, τὸ C O.
2. Ita O c. S, βούλεται C.
3. τῆς — βουλῆς C, ταῖς — βουλαῖς S auctore Dav.
4. συνέντι C.
5. ἤδεις O. Ad verb. οἶδας notat S: Nihil mutandum. Cfr. Lob. Phryn. p. 236.
6. ἐποίεις S O, ἐποίης C, ποιήσῃς conj. D.
7. Ita O c. S, ἐποίης C, ποιήσῃς conj. D.
8. S refert ad Lob. Phryn. p. 359. Tum ἀγνοεῖς S O, ἀγνοῇς C.

*δὼς ὅτι οἱ παρεστῶτες οὐ συνῆκαν, ἵνα αὐτὸ σαφέστερον εἴπῃς, ὅπως νοήσωσιν ὧν ἕνεκεν καὶ τὴν ζήτησιν ποιούμεθα. καὶ ὁ Πέτρος· ἐγὼ σαφέστερον αὐτὸ εἰπεῖν οὐ δύναμαι, σὺ αὐτὸς ὡς νοήσας φράσον. καὶ ὁ Σίμων· ἐγὼ τὰ σὰ οὐκ ἀνάγκην ἔχω λέγειν· καὶ ὁ Πέτρος· φαίνῃ μοι, Σίμων, μὴ ἰσυνιεὶς αὐτό, καὶ ὁμολογεῖν μὴ θέλων, ἵνα μὴ ἐν ἀγνοίᾳ φωραθεὶς*[1] *ἐλεγχθῇς μὴ ὢν σὺ ὁ ἐστὼς υἱός. τοῦτο γὰρ αἰνίσσῃ, κἂν σαφῶς αὐτὸ εἰπεῖν μὴ θέλῃς· ὥστε ἐγὼ μὲν τὰς σὰς βουλὰς ἐξ ὧν αἰνίσσῃ ἐπίσταμαι, προφήτου ἀληθοῦς μαθητὴς ὤν, οὐ προφήτης. σὺ δὲ καὶ τὰ σαφῶς λεγόμενα μὴ συνιὼν υἱὸν ἑαυτὸν εἰπεῖν θέλεις, ἀνθιστῶν*[2] *ἡμῖν. καὶ ὁ Σίμων· ἀρῶ σου πᾶσαν πρόφασιν· ὁμολογῶ, αὐτὸ οὐ συνῆκα, τί ποτ' ἔστιν, καὶ οἷς ἂν βούληται*[3] *ὁ υἱὸς ἀποκαλύπτει. λέγε τοίνυν αὐτὸ σαφέστερον.*

VIII. *Καὶ ὁ Πέτρος· ἐπειδὴ κἂν σχήματι αὐτὸ ὡμολόγησας μὴ συνιέναι, πρὸς ὃ πυνθάνομαί σου, ἀπόκριναί μοι, καὶ μαθήσῃ. λέγε μοι· φῂς τὸν υἱὸν δίκαιον εἶναι, ὅστις ποτ' ἔστιν, ἢ οὔ; καὶ ὁ Σίμων ἔφη· δικαιότατον. καὶ ὁ Πέτρος· δίκαιος δὲ ὢν διὰ τί μὴ πᾶσιν ἀποκαλύπτει, ἀλλ' οἷς βούλεται; καὶ ὁ Σίμων· ὅτι δίκαιος ὢν τοῖς ἀξίοις ἀποκαλύπτειν βούλεται. καὶ ὁ Πέτρος· οὐκοῦν*[4] *ἀνάγκη αὐτὸν εἰδέναι τὸν ἑκάστου νοῦν, ἵνα ἀξίοις ἀποκαλύπτῃ; καὶ ὁ Σίμων· ἀνάγκη πᾶσα*[5] *οὕτως ἔχειν.*

quod adstantes non intellexerint, ut illud clarius efferas, quo percipiant, quibus de causis nos controversiam habeamus. Et Petrus: ego clarius hoc nequeo dicere, tu, ut qui illud perceperis, effare. Et Simon: ego tua dicere necesse non habeo. Petrus: Videris mihi, Simon, illud non intelligere, nec velle confiteri, ne in ignorantia deprehendaris et arguaris quod non stans sis filius. Id enim obscure significas, cum tamen aperte dicere nolis: sicut ego quidem tua consilia ex iis quae innuis cognosco, qui sum veri prophetae discipulus, non propheta. Tu vero clare dicta non intelligens te filium dicere vis, resistens nobis. Et Simon: tollam omnem tuum praetextum: fateor, hoc non intellexi quidnam esset, *et quibus vult filius revelat.* Dic ergo illud evidentius.

VIII. Tum Petrus: quandoquidem, etsi ficte, hoc fassus es non intelligere, ad id quod te interrogo, mihi responde, ac disces. Dic mihi: ais Filium, quicumque sit, justum esse, vel non? Respondit Simon: justissimum. Et Petrus: cum autem justus sit, cur non omnibus revelat, sed quibus vult? Ac Simon: quoniam, qui justus est, justis revelare vult. Petrus: nonne igitur necesse est ab eo cognosci mentem singulorum, ut revelet dignis? Simon: omnino ne-

1. Ita O c. D, φωραθῆς C. Pro ἑστὼς legitur in O ἑτ cum parvula lacuna, ead. man. in marg. ἴσως ἕτερος.
2. ἀνθεστὼς C. Tum ἄρω O.
3. βούληται S O, βούλεται C.
4. οὐκ οὖν C.
5. Post πᾶσα in O repetuntur vbb. αὐτὸν εἰδέναι τὸν ἑκάστου νοῦν ἵνα, sed expuncta.

www.libtool.com.cn

καὶ ὁ Πέτρος· οὐκοῦν αὐτὸς μόνος εὐλόγως[1] ἀποκαλύπτειν ὡρίσθη, μόνος τὸν ἑκάστου νοῦν εἰδώς. καὶ οὐ σὺ ὁ μηδὲ τὰ ὑφ' ἡμῶν λεγόμενα δυνάμενος συνιέναι.

IX. Τοῦτο τοῦ Πέτρου εἰπόντος ἀπὸ μὲν τῶν ὄχλων ἔπαινος ἐγένετο. ὁ δὲ Σίμων κατάφωρος γεγονώς, αἰδεσθεὶς ἠρυθρίασε, καὶ τὸ μέτωπον τρίψας ἔφη· ἀλλ' ἐμὲ μάγον λέγουσιν ὑπὸ Πέτρου νικώμενον[2], ἀλλὰ καὶ συλλογιζόμενον. οὐκ εἴ τις δὲ συλλογισθείη, συναρπασθεὶς τὴν ἐν αὐτῷ ἀλήθειαν νενικημένην ἔχει. οὐ γὰρ ἡ ἀσθένεια τοῦ ἐκδικοῦντος ἀλήθειά ἐστι τοῦ νικωμένου[3]. πλήν φημί σοι, ὅτι ἐγὼ τοὺς παρεστῶτας πάντας ἀξίους ἔκρινα γνῶναι τὸν ἐν ἀπορρήτοις πατέρα. διὸ δημοσίᾳ μου αὐτοῖς ἀποκαλύπτοντος, σὺ αὐτὸς[4] διὰ φθόνον ἐμοὶ τῷ εὐεργετεῖν αὐτοὺς θέλοντι χαλεπαίνεις.

X. Καὶ ὁ Πέτρος ἔφη· ἐπειδὴ ἀρεσκόντως τοῖς παροῦσιν ὄχλοις οὕτως ἔφης, ἐγὼ ἐρῶ οὐκ ἀρεσκόντως, ἀλλ'[5] ἀληθῶς. λέγε μοι, πῶς ἀξίους ἐπίστασαι τοὺς παρεστῶτας πάντας, ὅπου σοι ἐκφαίνοντι οὐδ' εἰς συνέθετο; τὸ γὰρ ἐμοὶ ποιήσασθαι κατὰ σοῦ τὸν ἔπαινον οὐκ ἔστι συγκαταθεμένων σοί, ἀλλ'[6] ἐμοί, ᾧ καὶ τὸν ἔπαινον ὡς ὀρθῶς εἰρηκότι ἀπένειμαν. ἀλλ' ἐπειδὴ ὁ Θεὸς δίκαιος ὢν βραβεύει τὸν ἑκάστου νοῦν, ὃ φῂς ἀληθὲς εἶ-

cessarium est ita habere. Tum Petrus: Itaque ille solus merito revelare definitus est, qui solus uniuscujusque mentem novit, et non tu, qui ne ea quidem quae a nobis dicuntur potes intelligere.

IX. Id Petrum dicentem populus laudibus prosecutus est. At Simon, in lapsu deprehensus, prae pudore erubuit, atque fricata fronte dixit: Jam me magum aiunt a Petro non tantum victum, sed et ratiocinationibus pressum. Non autem licet quis ratiocinationibus prematur, abreptus veritatem in ipso victam habet. Neque enim infirmitas defendentis veritas est superantis. Attamen aio tibi, me omnes adstantes judicavisse dignos, qui in arcanis Patrem cognoscerent. Quare cum palam ipsis revelo, tu per invidiam mihi illos beneficio afficere cupienti succenses.

X. Dixit Petrus: quoniam, ut praesenti multitudini gratum faceres, ita locutus es, ego dicam non grate, sed vere. Dic mihi, quo modo dignos esse cognoscis adstantes universos, quandoquidem tibi indicanti ne unus quidem praebuit assensum? Nam quod me contra te laudaverint, non est consentientium tibi, sed mihi, cui et laudem tamquam bene locuto tribuerunt. Verum quia Deus, utpote justus, singulorum mentem dijudicat, quod tu dixisti verum

1. εὐλόγως deest in O.
2. νικώμενος O. Deinde οὐκ εἴ τις O c. D, οὐχὶ τίς C.
3. Fort. νικηφόρου. S.
4. αὐτὸς conj. C, αὐτοῖς id. in textu, ut O. Deinde χαλεπαίνεις O et ex conject. C, cuj. textus χαλεπαίνειν.
5. ἀλλὰ O.
6. ἀλλὰ O.

ναι, οὐκ ἂν ἐβουλήθη διὰ τῆς ἀριστερᾶς τοῖς δεξιοῖς τοῦτο δοθῆναι, ᾧ λόγῳ ὁ παρὰ κλέπτου τι λαβὼν καὶ αὐτὸς ὑπεύθυνός ἐστιν. ὥστε τούτου ἕνεκεν τὸ ὑπὸ σοῦ φερόμενον οὐκ ἠθέλησεν αὐτοὺς λαβεῖν, ἀλλὰ διὰ τοῦ εἰς τὸ ἀποκαλύπτειν [1] ὡρισμένου υἱοῦ. τίνι γὰρ εὔλογόν ἐστιν ἀποκαλύπτειν τὸν πατέρα, ἢ υἱῷ μόνῳ, διὰ τὸ εἰδέναι τῆς τοιαύτης ἀποκαλύψεως τὸν ἄξιον; οὕτως οὐκ ἔστι τοῦτο διδάξαι ἢ διδαχθῆναι, ἀλλ' ἀφράστῳ χειρὶ ἀποκαλυφθῆναι τῷ τοῦτο εἰδέναι ἀξίῳ.

XI. Καὶ ὁ Σίμων ἔφη· πολὺ συμβάλλεται πρὸς νίκην τῷ πολεμοῦντι τὸ ἰδίοις χρήσασθαι ὅπλοις. ὃ γὰρ φιλεῖ τις, καὶ γνησίως ἐκδικεῖν δύναται, γνησίως δὲ ἐκδικούμενον οὐ τὴν τυχοῦσαν ἰσχὺν ἔχει. διὸ τοῦ λοιποῦ ὅπερ ὄντως φρονῶ ἐκθήσομαι. φημί τινα δύναμιν ἐν ἀπορρήτοις εἶναι ἄγνωστον πᾶσι, καὶ αὐτῷ τῷ δημιουργῷ, ὡς καὶ αὐτὸς ὁ Ἰησοῦς εἴρηκεν, οὐκ ἐπιστάμενος ὃ ἐφθέγξατο. ἐκ πολυλαλιᾶς [2] γὰρ ἐνίοτε εὐστοχεῖ τις πρὸς τὸ ἀληθές, οὐκ εἰδὼς ὃ λέγει. λέγω δὲ καὶ περὶ τούτου, οὗ εἴρηκεν· οὐδεὶς ἔγνω τὸν πατέρα. καὶ ὁ Πέτρος· σὺ τὰ ἐκείνου εἰδέναι μηκέτι ἐπαγγέλλου. καὶ ὁ Σίμων· [3] τὰ ἐκείνου οὐκ ἐπαγγέλλομαι πιστεύειν, εἰς δὲ τὰ ἐπιτευχθέντα [4] αὐτῷ διαλέγομαί σοι. καὶ ὁ Πέτρος· ἵνα μή σοι δῶ πρόφασιν εἰς φυγήν, ζητήσω σοι ὡς θέλεις. πλὴν μαρτύρομαι πάντας ὅτι οὐδὲ ὃν νῦν ἔφης λόγον οὐ πιστεύεις. οἶδα [5] γὰρ ἃ φρονεῖς. καὶ

esse, id noluit per sinistram dextris dari, qua ratione, qui aliquid a fure accipit, et ipse reus est. Itaque eam ob causam quod a te afferebatur, noluit eos accipere, sed per filium, qui ad revelandum praestitutus est. Cui enim convenit Patrem revelare, praeterquam soli filio, quia is tali revelatione dignum cognoscit? Sic non est hoc docere aut doceri, sed ineffabili manu ei revelari, qui illud scire dignus sit.

XI. Et Simon: multum, inquit, conducit ad victoriam ei, qui bellum gerit, propriis uti armis. Quod enim quis amat, etiam sincere potest defendere: sincere autem defensum non vulgarem vim habet. Ideo deinceps quod vere sentio exponam. Aio quamdam in arcanis virtutem esse, cunctis ignotam, ipsi quoque mundi opifici, sicut et ipse Jesus dixit, nesciens quid loqueretur. Interdum enim ex multiloquio aliquis scopum veritatis attingit, ignorans quid dicat. Intelligo autem et de illo, quod pronunciavit: *nemo novit Patrem.* Et Petrus: ne amplius profitearis, te illius doctrinam cognoscere. Et Simon: ejus doctrinam non profiteor me credere, at de iis, in quae casu incidit, edissero tibi. Tum Petrus: ne dem tibi praetextum ad fugam, quaestionem tecum habebo sicut vis. Verumtamen omnes testor, quod neque illum, quem nunc

1. Pro litteris *ποκα* vocis *ἀποκαλύπτειν* in O spatium apparet vacuum. Ita paulo post.
2. *πολυλογίας* O.
3. Vbb. *καὶ ὁ Σίμων* om. O.
4. *ἐπιτετευχθέντα* C, *ἐπιτετευγμένα* S.
5. *οἶδεν* O.

www.libtool.com.cn

ἵνα μή με δόξῃς ψεύδεσθαι, ἀνοίξομαί σοι τὰ σά, ἵνα εἰδῇς[1] ὅτι πρὸς εἰδότα διαλέγῃ.

XII. Ἡμεῖς, ὦ Σίμων, ἐκ τῆς μεγάλης δυνάμεως, ἔτι τε καὶ τῆς κυρίας λεγομένης, οὐ λέγομεν δύο ἀπεστάλθαι ἀγγέλους, τὸν μὲν ἐπὶ τῷ κτίσαι κόσμον, τὸν δὲ ἐπὶ τῷ θέσθαι τὸν νόμον· οὐδ' ὅτι αὐτῶν[2] ἕκαστος ἐλθών, ἐφ' οἷς ἐποίησεν, ὡς αὐτὸς ὢν αὐθέντης, αὐτὸν ἤγγειλεν· οὐδ' ὁ ἑστὼς[3] στησόμενος ἀντικείμενος. μάθε, πῶς ἀπιστεῖς, καὶ τὴν ὑπόθεσιν ταύτην. ἣν φῂς δύναμιν ἐν ἀπορρήτοις εἶναι, ἀγνοίας γέμει. τὴν γὰρ ἀγνωμοσύνην τῶν ὑπ' αὐτῆς ἀποσταλέντων ἀγγέλων οὐ προεγίνωσκεν. καὶ ὁ Σίμων τοῦ Πέτρου ταῦτα λέγοντος μεγάλως ὀργισθεὶς ἐπέκοψε λέγοντα, εἰπών· τί φλυαρεῖς, τολμηρὲ καὶ πάντων προπετέστατε, ἐπ' ὄχλων συμμαθῆ[4] ἐκφαίνων ἀτεχνῶς τὰ ἀπόρρητα; καὶ ὁ Πέτρος· τί φθονεῖς συνεργετεῖσθαι τοὺς παρόντας ἀκροατάς; καὶ ὁ Σίμων· οὐκοῦν[5] ὁμολογεῖς τὴν τοιαύτην ἐπίγνωσιν εὐεργεσίαν εἶναι; καὶ ὁ Πέτρος· ὁμολογῶ. τὸ γὰρ ψεῦδος γνωσθὲν εὐεργετεῖ, ἀγνοίας αἰτίᾳ μὴ περιπεσεῖν αὐτῷ. καὶ ὁ Σί-

dixisti, sermonem credas. Novi namque tuam sententiam. Et ne me arbitreris falsum dicere, significabo tibi tua, ut scias te cum sciente disceptare.

X. Jam ergo, quid principio dixisti? Si ex Deo Malus genitus est, ejusdem cum eo exsistens substantiae, etiam Deus malus est. Cumque ostenderim per illud quod ipse tradidisti exemplum, ex bonis malos oriri atque ex malis bonos, non admisisti, humanum proloquutus exemplum esse. Unde et nunc neque ego Deum genitum esse recipio, quia gignere hominum est, non Dei. Sed nec bonus vel malus, justus vel injustus esse potest Deus, neque etiam prudens, aut animal, aut quaecumque alia possunt inesse hominibus, nam ista hominum sunt. Et si non oportet inter quaerendum de Deo, dare ei quae hominibus insunt bona, nihil restat intelligere aut loqui, nisi solum quaerenda

1. Post ἀγαθοὺς C addi vult τε καὶ κακούς, et ita vertit.
2. καὶ inserui c. O. Idem scr. παραδίγμασιν.
3. Ita O et ex conject. C, cuj. textus γεγένηται.
4. ἐ[ξ οὗ]περ C. Idem παραδείγματο[ς].
5. Legendum γεγεννηκέναι, aut etiam θεὸν mutandum in αὐτόν (sc. τὸν πονηρόν). S.
6. μὲν Cl. Falsus est S de C. φρόνημος scr. O.

www.libobook.com

σεως αὐτοῦ, ἣν αὐτὸς συνεχώρησεν ἡμῖν νοεῖν, ὅπως κρινόμενοι ἀναπολόγητοι ὦμεν περὶ ὧν γνόντες οὐκ ἐφυλάξαμεν.

XI. Καὶ ὁ Σίμων ἀκούσας ἔφη· οὐ δυσωπήσεις με, περὶ[1] τῆς οὐσίας αὐτοῦ σιωπήσαντα περὶ τῆς προαιρέσεως αὐτοῦ ζητεῖν μόνης. ἔστι γὰρ περὶ τῆς οὐσίας αὐτοῦ καὶ νοεῖν καὶ λέγειν, λέγω δὴ ἀπὸ τῶν ἀνθρώποις[2] προσόντων καλῶν. οἷον πρόσεστιν ἀνθρώπῳ τὸ ζῆν καὶ τὸ τεθνάναι, ἀλλὰ τῷ Θεῷ οὐ τὸ τεθνάναι, ἀλλὰ τὸ ζῆν, καὶ τὸ ζῆν αἰωνίως. ἔτι μὴν πρόσεστιν ἀνθρώποις τὸ κακοῖς εἶναι καὶ ἀγαθοῖς, τῷ δὲ Θεῷ τὸ ἀσυγκρίτως[3] ἀγαθῷ εἶναι. καὶ ἵνα μὴ ἐπὶ[4] πολὺ μηκύνω τὸν λόγον, τῶν προσόντων ἀνθρώποις τὰ κρείττονα αἰωνίως πρόσεστι τῷ Θεῷ. καὶ ὁ Πέτρος ἔφη· λέγε μοι, Σίμων, πρόσεστιν ἀνθρώποις γεννᾶν κακοὺς καὶ ἀγαθούς, καὶ ποιεῖν κακὰ καὶ ἀγαθά; καὶ ὁ Σίμων ἔφη· πρόσεστιν. καὶ ὁ Πέτρος ἔφη· ἐπεὶ οὕτως ἔφης[5], τῶν ἀνθρώποις προσόντων τὰ κρείττονα ἀπονέμειν δεῖ τῷ Θεῷ· ἀνθρώπων γεννώντων[6] κακοὺς καὶ ἀγαθούς, ὁ Θεὸς ἀγαθοὺς μόνους γεννῆσαι δύναται, ἔτι τε τῶν ἀνθρώπων ποιούντων[7] κακὰ καὶ ἀγαθά, αὐτὸς μόνον τὰ ἀγαθὰ ποιῶν τέρπεται. οὕτως περὶ θεοῦ, ἢ οὐ, δὴ τὰ ἀνθρώποις προσόντα λέγειν καὶ σιωπᾶν ἔστιν, ἢ τῶν ἀνθρώποις προσόντων καλῶν[8] εὔλογόν ἐστιν ἀπονέμειν αὐτῷ τὰ κρείττονα; καὶ οὕτως πάντων καλῶν μόνος ἐστὶν αἴτιος.

ipsius voluntas, quam ipse nobis permisit considerare, ut, quando judicabimur, inexcusabiles simus in iis quae cognoscentes non servavimus.

XI. Et Simon audiens dixit: non extorquebis a me, ut, de substantia ejus silens, de sola ejus inquiram voluntate. Datur enim et de illius substantia intelligere ac loqui, ex bonis, inquam, quae hominibus insunt. Exempli gratia, homini inest vivere ac mori: sed Deo non mori, at vivere, et vivere in perpetuum. Adhuc insitum est hominibus, bonos esse et malos: Deo, esse incomparabiliter bonum. Et ne multum sermonem protraham: eorum, quae habent homines, praestantiora in aeternum possidet Deus. Ait Petrus: dic mihi, Simon, adest hominibus, gignere malos et bonos, ac facere mala et bona? Simon respondit: adest. Excepit Petrus: Quoniam ita affirmasti, eorum, quae habent homines, praestantiora oportet Deo tribuere: cum ab hominibus gignantur mali et boni, Deus solos bonos potest gignere: praeterea, cum homines faciant mala et bona, ipse solum bona facere oblectamento habet. Atque ita de Deo, an non, quae hominum sunt dicere aut tacere est, vel ex iis, quae homines obtinent, bonis, aequum est ei largiri potiora? Sicque omnium bonorum solus est auctor.

1. περὶ D O, πρὸ C.
2. ἀνθρώπων O.
3. Ita S, τὸ ἀσυγκρίτῳ O, τῷ ἀσυγκρίτῳ C, τὸ ἀσυγκρίτῳ conj. idem.
4. εἰς C.
5. ῾ης p. οὕτως ἔφης O c. praevia lacuna. Idem προσόντων ἀνθρώποις.
6. In O γενν cum seq. lacuna p. γεννώντων.
7. [ποιούν]των C. Idem μόνος p. μόνον τά.
8. π[ερ], ἢ οὔ, διὰ τὰ (τῶν ex con-

www.libtool.com.cn

XII. *Καὶ ὁ Σίμων οὐκοῦν, εἰ ὁ Θεὸς μόνων τῶν καλῶν αἴτιός ἐστιν, τοῦ λοιποῦ τί ἔστι νοεῖν, ἢ ὅτι τὸν*[1] *πονηρὸν ἑτέρα τις ἐγέννησεν ἀρχή, ἢ ἄρ' ἀγέννητόν*[2] *ἐστιν. καὶ ὁ Πέτρος· οὔτε ἑτέρα τις δύναμις ἐγέννησε τὸν πονηρόν, οὔτε ἀγέννητόν ἐστιν τὸ κακόν, ὡς ἐπὶ τέλει δείξω· νῦν γὰρ ἀποδεῖξαί μοι πρόκειται, ὡς ἀπ' ἀρχῆς ὑπεσχόμην, ὅτι κατὰ πάντα*[3] *τρόπον ὁ Θεὸς ἄμεμπτός ἐστιν. δεδώκαμεν οὖν ὅτι ὁ Θεὸς τῶν ἀνθρώποις προσόντων τὰ κρείττονα ἀσυγκρίτως ἔχει. διὸ καὶ ἐνδέχεται αὐτὸν προβολέα γενέσθαι τῶν τεσσάρων οὐσιῶν, θερμοῦ λέγω*[4] *καὶ ψυχροῦ, ὑγροῦ τε καὶ ξηροῦ. [ἔφ]υ μὲν ὡς πρῶτα ἁπλᾶ καὶ ἀμιγῆ ὄντα*[5] *πρὸς οὐθέτερον ἔχειν τὴν ὄρεξιν, προβληθέντα δὲ ὑπὸ τοῦ Θεοῦ καὶ*[6] *ἔξω καθέντα γενέσθαι ζῶον, προαίρεσιν ἔχον*[7] *ὀλοθρεῦσαι κακούς. καὶ οὕτως ἐξ αὐτοῦ πάντων γεγεννημένων*[8]*, ὁ πονηρὸς οὔτε ἄλλοθέν ἐστιν, οὔτε ἀπ' αὐτοῦ τοῦ πάντα πεποιηκότος Θεοῦ τὴν κακίαν εἴληφεν, παρ' ᾧ ὑπάρχειν ἀδύνατόν ἐστιν, ὅτι αἱ μὲν οὐσίαι, οὐθέτεραι*[9] *οὖσαι, πεφιλοκρινημέναι ἐξ αὐτοῦ προβέ-*

XII. Et Simon: igitur si Deus solorum bonorum auctor est, quid deinde intelligere debemus, nisi quod Malum alia quaedam genuerit potestas, aut forte ingenitum sit. Et Petrus: neque alia virtus genuit Malum, neque malitia ingenita est, quemadmodum ad finem ostendam. Nunc enim propositum est mihi demonstrare, ut initio promisi, Deum omni modo esse inculpabilem. Concessimus ergo, Deum ex iis, quae insunt hominibus, praestantiora citra comparationem habere. Ex quo fit, ut productor sit quatuor substantiarum, calidi inquam et frigidi, humidi et sicci. Ita autem comparatum est, ut ea, cum sint prima simplicia et misturae expertia, ad neutrum habeant appetentiam, prolata vero a Deo atque extra temperata exstiterint animal, voluntatem habens perdendi malos. Sicque, cunctis ex eo genitis, Malus neque aliunde est, nec ab ipso omnium creatore Deo malitiam desumpsit (apud quem exsistere impossibile est), quia substantiae neutrae exsistentes exacte ac distincte ab eo pro-

ject.) *ἀνθρώποις προσόντων καλ[ῶν]* p. *περὶ θεοῦ ἢ οὐ δὴ τὰ ἀνθρώποις προσόντα λέγειν καὶ σιωπᾶν ἐστιν, ἢ τῶν ἀνθρώποις προσόντων καλῶν* C.

1. *τὸν* S, Codd. *τό.*

2. *εἰ ἄρα γεννητόν* O. *ἀγέννητός* mavult S.

3. *πάντα* addidit S ex conject. Ci.

4. *τε* p.*λέγω* C. Pro *[ἔφ]υ* est *ταῦτα* in O.

5. *[ὄντ]α* C, qui tum scr. *οὐθ' ἕτερον ἔχει* (f. *ἔχειν*), — *οὐθὲν ἕτερον ἔχειν* S, *οὐθέτερον ἔχει* O. Subinde *ὄρε[ξι]ν* C.

6. *[κ]αὶ* C. Tum *ζωὴν* O, al. man. mutatum in *ζῶον*. Hoc pertinet ad „illud adulterii genus", quod Recognitionibus insertum fuisse dicit Rufinus in opusculo de adulteratione librorum Origenis, „ut naturam Diaboli caeterorumque Daemonum non propositi voluntatisque malitia, sed excepta ac separata creaturae produxerit qualitas." Neque vero dubito, quin per Rufinum novo adulterio vetus obductum fuerit. Eum vide Recogn. 8, 55. 56. C.

7. *ἔχον* O et ex conject. C, in cujus textu *ἔχων*.

8. *γεγενημένων* O.

9. *οὐθ'* (sic) *ἕτεραι* C, *ὡς ἕτεραι* p. *οὐθέτεραι* S.

www.libtool.com.cn

βληνται, καὶ ἔξω αὐτοῖς καθεισαις ὑπὸ τῆς αὐτοῦ τέχνης βουλήσει συμβέβηκεν ἡ πρὸς τὸν τῶν κακῶν ὄλεθρον ἐπιθυμία· ἀγαθοὺς δὲ ἡ συμβεβηκυῖα κακία ὀλοθρεῦσαι οὐ δύναται, οὐδ' εἰ βουληθείη, νόμῳ γὰρ κατὰ τῶν ἁμαρτανόντων τὴν ἐξουσίαν ἔχει [1]. ἀγνοῶν [2] οὖν τὰ ἕκαστα τῶν τρόπων τὴν κατ' αὐτῶν λαμβάνει διάπειραν, καὶ διελέγξας τιμωρεῖ. καὶ ὁ Σίμων [3] ἔφη· δυνατὸς οὖν ὑπάρχων ὁ θεὸς κιρνᾶν [4] τὰ στοιχεῖα, καὶ ποιεῖν κράσεις πρὸς ἃς βούλεται γενέσθαι προαιρέσεις [5], διὰ τί μὴ ἀγαθῶν προαιρετικὴν ἐποίει τὴν ἑκάστου κρᾶσιν;

XIII. Καὶ ὁ Πέτρος· νῦν [6] ἡμῖν ὁ λόγος πρόκειται δεῖξαι πῶς ἐγένετο ὁ πονηρός, εἴπερ γέγονεν, καὶ ὑπὸ τίνος· τὸ δὲ εἰ ἀμέμπτως, ὁπόταν διεξιῶ [7] τὸν νῦν ἡμῖν προκείμενον λόγον· τότε τὸ πῶς καὶ διὰ τί ἐγένετο δείξω, καὶ ὅτι ἄμεμπτος ὁ πεποιηκὼς πληροφορήσω. πλὴν ἔφαμεν ὑπὸ Θεοῦ προβεβλῆσθαι τὰς [8] τέσσαρας οὐσίας. καὶ οὕτως βουλῇ τοῦ συγκρίναντος [9] συμβέβηκεν ὡς ἠθέλησεν ἡ τῶν κακῶν προαίρεσις [10]. εἰ γὰρ παρὰ τὴν προαίρεσιν αὐτοῦ ἢ ἐξ ἄλλης τινὸς οὐσίας ἢ καὶ προφάσεως συμβεβήκει [11],

ductae sunt, iisque extra temperatis ab ipsius arte voluntarie contigit desiderium pessumdandi improbos; bonos autem quae accidit malitia perdere non potest, neque si vellet. Nam legitime contra peccatores habet potestatem. Ignorans igitur singulorum mores Diabolus facit adversum illos experientiam, et convictos punit. Tum Simon dixit: Qui ergo potest Deus miscere elementa, et temperationem facere ad quas vult esse voluntates, cur non bonorum appetentem fecit uniuscujusque temperiem?

XIII. Et Petrus: nunc nobis demonstrandum est, quo modo factus fuerit Malus, si quidem ortum habuit, et a quo: illud vero, utrum citra culpam, exponam, postquam finiero mihi nunc propositum sermonem. Tuum quo modo et cur factus sit ostendam, etiam quod inculpatus sit Creator plene certum dabo. Verum diximus prolatas a Deo fuisse quatuor substantias. Atque ita ex consilio coagmentantis contigit ut voluit malorum electio. Si enim praeter illius voluntatem, aut ex alia quapiam substantia vel et causa evenisset, non

1. τὴν ἐξουσίαν p. τὴν ἐξουσίαν ἔχει C, ἔχει ἐξουσίαν S.

2. ἀγνοούντων p. ἀγνοῶν οὖν (deleto puncto post ἐξουσίαν) conj. et vertit C. Tum τὸν ἑκάστου τρόπον p. τὰ ἕκαστα τῶν τρόπων O. λαμβά[νει ἐμ]πειρίαν edidit C.

3. τιμωρ[εῖ καὶ ὁ Σί]μων C.

4. ὑπάρχ[ων συγ]κιρνᾶν C, qui tum exh. κρᾶ[σιν] p. κράσεις. Jam sequitur in O πρὸς ἃ βούλεται πρὸς ἃς βούλεται p. πρὸς ἃς βούλεται.

5. προ[αιρέ]σεις C. Tum προαίρ[εσιν] supplevit idem, προαιρ[ετικὴν] D, ut exaratum legitur in O.

6. νοῦν O. Tum add. δεῖξαι c. eodem.

7. διεξίω O. πότε p. τότε Cl. et S.

8. τὰς adjunxi c. O.

9. βουλ (seq. lacuna) γκρίναντος p. βουλῇ τοῦ συγκρίναντος O, qui tum scr. προαίρεσιν p. προαίρεσις.

10. ῾ρεσιν c. antecedente lacuna p. προαίρεσιν O.

11. [συμβε]βήκει C. [κράσε]ως p. βουλῆς idem.

www.libtool.com.cn

οὐκ ἦν ἂν τῷ Θεῷ τὸ τῆς βουλῆς βέβαιον· μήπως αὐτοῦ μὴ βουλομένου ἡγεμόνες ἀεὶ[1] κακίας συμβήσωνται προσπολεμοῦντες αὐτοῦ τοῖς βουλήμασιν[2]. ἀλλὰ ταῦτα οὕτως ἔχειν ἀδύνατον. οὐδὲν γὰρ ζῶον[3] καὶ ταῦτα ἡγεμονικὸν ἐκ συμβεβηκότος γενέσθαι δύναται· ἀνάγκη γὰρ πᾶν τὸ γινόμενον ὑπό τινος γίνεσθαι.

XIV. Καὶ ὁ Σίμων· τί δὲ εἰ ἡ[4] ὕλη αὐτῷ σύγχρονος οὖσα καὶ ἰσοδύναμος ὡς ἐχθρὰ προβάλλει αὐτῷ ἡγεμόνας, ἐμποδίζοντας αὐτοῦ τοῖς βουλήμασιν. καὶ ὁ Πέτρος· εἰ ἀΐδιός ἐστιν ἡ ὕλη, οὐδὲ ἐχθρά τινός ἐστιν· τὸ γὰρ ἀεὶ[6] ὂν καὶ ἀπαθές ἐστιν, ἀπαθὲς δὲ ὂν μακάριόν ἐστιν, μακάριον δὲ ὂν ἔχθρας δεκτικὸν γενέσθαι οὐ δύναται, ἀϊδίῳ κτίσει[7] στερηθῆναί τινος μὴ πεφορβημένη. πῶς δὲ οὐχὶ μᾶλλον ἀγαπᾷ τὸν δημιουγὸν ἡ ὕλη, ὁπότε[8] | φαίνεται καρποὺς ἐκφύουσα εἰς τροφὴν πάντων τῶν ὑπ' αὐτοῦ γεγενημένων; πῶς δ' οὐχ ὡς κρείττονα πεφόβηται, ὡς καὶ διὰ τῶν σεισμῶν τρέμουσα ὁμολογεῖ[9], καὶ ὡς μεγάλα κυριατουμένη τῷ διδασκάλῳ πλέοντι καὶ γαλήνην ἐπιτάξαντι τάχιστα πεισθεῖσα ἡσύχασεν[10]; τί δὲ καὶ οἱ δαίμονες οὐ μετὰ τοῦ φοβεῖσθαι καὶ προτιμᾶν ἐξέβαινον, ἄλλοι δὲ εἰς χοίρους εἰσ-

utique Deo firmum fuisset propositum, atque metuendum, ne forte accideret, ut eo nolente principes semper malitiae adversarentur ipsius consiliis. Sed haec ita habere nequeunt. Nullum quippe animal et praeterea principale ex accidenti fieri potest. Necesse enim est, ut omne, quod fit, ab alio fiat.

XIV. Ac Simon: quid vero, si materia, ipsi tempore et potestate aequalis, profert ei, ut quae sit inimica, principes decretis illius obsistentes? Et Petrus: si materia aeterna est, neque ulli est inimica; quod enim semper exsistit, etiam perpessionis expers est, expers autem perpessionis beatum est, beatum vero exsistens inimicitiarum capax esse nequit, quum propter aeternam creationem non vereatur quoquam privari. Quo modo autem non potius diligit Creatorem materia, cum fructus procreans appareat, ut nutriantur omnia ab ipso condita? Nonne potius eum ut sibi superiorem timet, quomodo et terrae motibus tremens confitetur, et perturbatis undis Domino naviganti marique serenitatem imperanti haud cunctanter obediens acquievit? Nonne etiam daemones simul territi ac venerabundi egressi sunt, alii vero eorum, ut

1. *αἰεὶ* C. Tum *συμβήσονται* O *συμβή[σων]ται* C.
2. *[βουλ]ήμασιν* C.
3. *ζῶν* C.
4. *ἡ* add. c. O.
5. *εἰ* O et ex conject. C, in conj. textu *εἰς*.
6. *αἰεὶ* C.
7. *ἀϊδίῳ κτήσει* conj. C, *ἀϊδιότητι* proposuit D, *δι' ἀϊδιότητα* mavult S.
8. Hucusque Ms. Colelerii. At tria jam peracta sunt lustra, ex quo in Cod. Ottoboniano inveni reliquam Clementinorum partem (inde a vbb. Hom. XIX, 14 *φαίνεται καρποὺς ἐκφύουσα εἰς τροφὴν πάντων* usque ad Hom. XX, 23 *ὁρμήσειν Ἀντιόχειαν ἔσπευσεν*) hactenus incognitam, quam nunc primum evulgavi. Lacunas, quae occurrunt, conjectando explevi uncisque inclusi.
9. Cfr. Matth. 27, 52; 8, 24.
10. Cfr. Matth. 8, 26; Luc. 8, 24.

ελθεῖν πρότερον παρακαλοῦντες ἠξίουν, ὡς μηδὲ τοῦ εἰς χοίρους εἰσελθεῖν ἄνευ τῆς αὐτοῦ συγχωρήσεως ἐξουσίαν ἔχοντες[1];

XV. Καὶ ὁ Σίμων· τί δὲ εἰ ἄψυχος οὖσα φύσιν ἔχει ἐμφύειν τὰ κακὰ καὶ τὰ ἀγαθά; καὶ ὁ Πέτρος· κατὰ τὸν λόγον τοῦτον οὔτε ἀγαθή ἐστιν, οὔτε κακή, ὅτι μὴ προαιρέσει πράττει ἄψυχος οὖσα καὶ ἀναίσθητος. διὸ καὶ ἐνταῦθα διϊδεῖν ἔστιν, πῶς ἄψυχος οὖσα ἔμψυχος[2] προβάλλει, καὶ ἀναίσθητος οὖσα τεχνικὰ σχήματα, τά τε ζώων καὶ φυτῶν δημιουργοῦσα φαίνεται. καὶ ὁ Σίμων· τί δὲ εἰ ὁ θεὸς αὐτὸς ἐνεψύχωσεν αὐτήν, οὐκ αὐτὸς αἴτιός ἐστιν ὧν αὐτὴ τίκτει κακῶν; καὶ ὁ Πέτρος· εἰ ὁ θεὸς αὐτὴν ἐνεψύχωσε κατὰ τὴν αὐτοῦ βούλησιν, τὸ αὐτοῦ πνεῦμα αὐτὴν ἐργάζεται, καὶ οὐκέτι τῷ θεῷ ἐχθρόν τί ἐστιν ἢ ἰσοδύναμον· ἢ ἀδύνατον, ὅτι πᾶν τὸ γινόμενον ὑπ' αὐτοῦ, ὡς θέλει, γίνεται. ἀλλ' ἐρεῖς· αὐτὸς τῆς κακίας αἴτιος, εἴπερ αὐτὸς δι' αὐτῆς ἐργάζεται τὰ κακά. ποῖα ἄρα ἐρεῖς τὰ κακά; ἑρπετὰ ἰοβόλα[3] καὶ βοτάνας θανασίμους, ἢ δαίμονας, ἢ καὶ ἄλλα τινὰ τῶν ἀνθρώποις ὀχλεῖν δυναμένων; ἅπερ τὰ [νῦν χα]λεπὰ[4] οὐκ ἂν ἦν, εἰ μὴ ἡμαρτήκει ὁ ἄνθρωπος, οὗ εἵνεκεν θάνατος παρεισῆλθεν. ἀναμαρτήτου[5] γὰρ ὄντος τοῦ ἀνθρώπου οὐχ ἑρπετῶν ὁ ἰὸς εἰργάζετο, οὐ τῶν κακῶν βοτανῶν αἱ ἐνέργειαι, οὐ δαιμόνων ὀχλήσεις ἐγίνοντο, οὐδὲ

in porcos intrare sibi liceret, prius petendum putabant, quippe qui absque illius consensu ne in sues quidem ingrediendi haberent potestatem?

XV. Et Simon: Quid vero, si anima quidem priva indolem habeat mala ac bona ingignendi? Respondit Petrus: Hac ratione neque bona est, neque mala, quia animae ac sensus expers agit sine consilio. Quare et hoc intelligi potest, quomodo animae expers procreet anima tamquam praedita, et quamvis sensu carens corpora artificiosa cum animalium tum plantarum operari videatur. Tum Simon: Quid vero, si Deus animam ei indiderit, nonne reus fit ipse illorum, quae sibi gignit malorum? Et Petrus: Si Deus eam animavit secundum suam voluntatem, ejus spiritus eam operatur, neque Deo inimica ultro existere potest, neque aequa pollere potentia; aut fieri nequit, ut quodcumque per eum fiat, secundum ejus gignatur voluntatem. At dices: Ipse est auctor mali, si per eam operetur mala. Ast qualia intelligis mala? Reptilia veneno infecta, et plantas letiferas, vel daemones, vel etiam alia, quae hominibus nocere queant? Quae quidem ejusmodi mala non essent, si homo non peccavisset, unde mors supervenit. Nam cum homo peccati expers existebat, venenum reptilium non operabatur, neque nocivarum plantarum vires, neque daemones injurias inferebant, neque aliud malum natura ei insitum erat; ve-

1. Cfr. Matth. 8, 31.
2. Post ἔμψυχος O repetit οὖσα expunctum.
3. O commate distinguit post ἑρπετὰ et ἰοβόλα.
4. Lacunam Codicis excipiunt litterae λεπὸν (sic).
5. Pro ἀναμαρτήτου lacuna in O, sed ad oram man. rec. ἴσως ἀναμαρτήτου.

www.libtool.com.cn

ἄλλο τι πάθος αὐτῷ προσεῖναι φύσιν εἶχεν· δι' ἁμαρτίαν δὲ ἐκπεσὼν τοῦ ἀθάνατος εἶναι, ὡς ἔφην, παντὸς πάθους γέγονε δεκτικός. εἰ δὲ ἐρεῖς· διὰ τί οὖν κατ' ἀρχὰς ἐγένετο ἡ ἀνθρωπεία φύσις θανάτου δεκτική; φημί σοι· διὰ τὸ αὐτεξούσιον. εἰ γὰρ οὐκ ἦμεν θανάτου δεκτικοί, ἐπὶ αὐτεξουσίῳ ἁμαρτήματι τιμωρεῖσθαι ὡς ἀθάνατοι οὐκ ἐδυνάμεθα. καὶ οὕτως διὰ τὸ ἀπαθὲς πλεῖόν τι, κἂν τῇ προαιρέσει ἦμεν κακοί[1], ἡ καὶ δικαιοσύνη ἐξησθένει, τῶν κακὰς ἐχόντων προαιρέσεις αἰτίᾳ ἀπαθείας τιμωρηθῆναι μὴ δυναμένων.

XVI. Καὶ ὁ Σίμων πρὸς ταῦτα ἔφη· περὶ πονηροῦ τι ἔτι ἔχω ἕτερον λέγειν. ἢ ὅτι ἐξ οὐκ ὄντων αὐτὸν ἐποίησεν ὁ θεός, καὶ κατὰ τοῦτο κακὸς ὁ ποιήσας, ὃς τὸ μὴ ὂν ἐποίησεν εἶναι, καὶ ταῦτα δυνάμενος αὐτὸν ἀγαθὸν ποιῆσαι τῷ τὸν γινόμενον μηδὲν πρὸς κακίας προαίρεσιν ἰδίαν κεκτῆσθαι φύσιν. καὶ ὁ Πέτρος· τὸ ἐξ οὐκ ὄντων αὐτὸν ποιῆσαι προαίρεσιν ἔχοντα, ὅμοιόν ἐστιν ᾧ προειρήκαμεν λόγῳ, ὅτι πρὸς τὸ χαίρειν αὐτὸν κακοῖς τὴν κρᾶσιν ποιήσας αὐτὸς αἴτιος φαίνεται τοῦ γενομένου. μιᾶς οὖν οὔσης τῆς ἀμφοτέρων ἐπιλύσεως, τὸ διὰ τί χαίρειν αὐτὸν ἐπ' ὀλέθρου κακῶν ἐποίησεν ὕστερον ἐροῦμεν. καὶ ὁ Σίμων· εἰ αὐτεξουσίους ἐποίησε καὶ τοὺς ἀγγέλους, ὁ δὲ πονηρὸς ἀπέστη τοῦ δίκαιος εἶναι, καὶ διὰ τί ἀρχῆ τετίμηται; ὁ τιμήσας, δι' οὗ[2] τετίμηκεν, ὡς κακοῖς χαίρων φαίνεται. καὶ ὁ Πέτρος· εἰ ἀποστάντα αὐτὸν ὁ θεὸς ἄρχειν τῶν ὁμοίων κατέστησε

rumtamen immortalitatis, ut dixi, ob peccatum jactura facta, aptus ad quamvis calamitatem recipiendam redditus est. Si autem dices: Cur igitur humana natura initio mortis capax est reddita? tibi respondeo: Propter liberum ipsius arbitrium. Si enim non essemus morti obnoxii, ob spontaneum peccatum nos immortales puniri non possemus. Et hoc modo, si ex consilio mali essemus, etiam justitia ob indolentiam magis imminueretur, cum qui mala foveant consilia immunitatis causa poenis affici non possent.

XVI. Ad haec Simon: De Malo aliud quid dicere habeo. Nimirum si Deus eum ex nihilo fecit, hac quoque ratione creator est malus, utpote qui non existentem ejusmodi fecerit, quamvis liceret, eum facere bonum, si genitum ita creasset, ut propria natura propensitatem ad malum non possideret. Tum Petrus: Quod fecerit ex nihilo propensitate praeditum non differt ab illo, quod supra diximus, eum quia malis gauderet mixtione composita causam esse videri eorum, quae proveniunt. Cum eadem sit utriusque solutio, posthac explicabimus, cur ita ordinatum sit, ut malorum pernicie gaudere videatur. Et Simon: Si et Angelos liberae potestatis fecit, malus autem justus esse destitit, cur imperio honorabatur? Nimirum is, qui honoravit, ob quem honoravit, malis gaudere videtur. Tum Petrus: Si post defectionem Deus, ut similibus

1. Ita man. rec. ad oram Codicis, in idem. cuj. textu κακόν. Subinde ἢ καὶ p. ἡ καὶ 2. Leg. fortasse δι' ὅν.

www.bhpdl.com.cn

νόμῳ, τὴν τιμωρίαν ἐπάγειν τοῖς ἁμαρτάνουσι κελεύσας αὐτῷ, οὐκ ἄδικός ἐστιν. εἰ δὲ ὅτι καὶ ἀποστάντα τετίμηκεν, τὸ χρήσιμον ὁ τιμήσας προεῖδεν, ὅτι καὶ ἡ τιμὴ πρόσκαιρος, καὶ ὅτι δίκαιον τοὺς κακοὺς ὑπὸ κακοῦ ἄρχεσθαι καὶ ἁμαρτάνοντας ὑπ' αὐτοῦ τιμωρεῖσθαι.

XVII. Καὶ ὁ Σίμων· μήτι ἀεὶ ὢν καὶ οὕτως ἀναιρεῖται τὰ τῆς μοναρχίας, συναρχούσης καὶ ἑτέρας τῆς κατὰ τὴν ὕλην δυνάμεως; καὶ ὁ Πέτρος· εἰ διάφοροί εἰσι ταῖς οὐσίαις, διάφοροί εἰσι καὶ ταῖς δυνάμεσιν, καὶ ὁ κρείττων ἄρχει τοῦ ἥττονος. εἰ δὲ τῆς αὐτῆς εἰσὶν οὐσίας, τότε ἰσοδύναμοι συγχάνουσιν, καὶ ὁμοίως ἀγαθοὶ ἢ κακοί. ὅτι δὲ οὐκ εἰσὶν ἰσοδύναμοι, οὐ τῆς αὐτῆς οὐσίας [1] φαίνονται· ὑπὸ γὰρ τοῦ δημιουργοῦ ἡ ὕλη εἰς οἷον ἠθέλησε κόσμου ἠνέχθη σχῆμα. καὶ μήτι γε ἔστιν εἰπεῖν, ὅτι ἀεὶ ἦν οὐσία, οὖσα ὕλη [2] ὡς θεοῦ ταμεῖον. οὐ γὰρ ἔστιν εἰπεῖν, ὅτι [3] ἦν [ταμιεῖον], ὅτε ἀκτήμων ἦν ὁ θεός, ἀλλὰ ἀεὶ ἦν μόνος ἄρχων αὐτῆς. διὸ καὶ ἀΐδιος μό[νος,] [4] καὶ ἐπὶ ταύτῃ τῇ ὑποθέσει καλῶς ἂν λέγοιτο ὄντος καὶ τοῦ ἄρχοντος καὶ τοῦ [ἀϊδίου.] καὶ ὁ Σίμων ἔφη· τί οὖν ἑαυτὸν ἐποίησεν ὁ πονηρός; καὶ οὕτως ἀγαθὸς ὁ θεός, ὅτι, εἰδὼς αὐτὸν ἐπὶ κακῷ ἐσόμενον, γινόμενον αὐτὸν οὐκ ἀνεῖλεν, ὅτε ὡς ἀτελὴς ἀναιρεθῆναι δυνατὸς ἦν; εἰ γὰρ ἐξαίφνης συμβέβηκε καὶ ταῦτα τέλειος, καὶ διὰ ταῦτα τέλειος

rognaret, lege constituit ei praecipiens, ut poenas peccatoribus infligeret, non ideo injustus est. Quodsi etiam post defectionem eum honoravit, utile inde proventurum praevidit, qui honoravit; nam et honor temporalis est, et justum malos a malo regi atque peccatores ab eo puniri.

XVII. Tum Simon: Si sempiternus non fuit, an non eo ipso et monarchiae et reliquae ex materia provenientis potentiae consortium deletur? Et Petrus: Si substantiis differunt, differunt etiam facultatibus, et potentior imperat inferiori. Sin autem ejusdem sint substantiae, eadem potentia praediti existunt, et quidem simili modo vel boni sunt vel mali. Sed cum pari potentia non utantur, ejusdem quoque substantiae non esse videntur; materies enim a creatore impensa fuit, in qualem mundi formam ille voluit. Neque contendi potest, semper exstitisse substantiam, quippe quae, ut materies, fuerit Dei cella penaria. Non enim licet dicere, eam fuisse cellam penariam, cum inops esset Deus; at vero semper is exstitit solus illius dominus. Quam ob rem et aeternus solus, ideoque bene ea diceretur esse vere existentis et domini atque sempiterni. Tum Simon: Quid, inquit, si semet ipse creaverit Malus? An Deus et hoc modo bonus est, ut, etsi cognitum habebat, versaturum eum in malo, non deleverit, qui non absolutus extingui poterat? Etenim si subito simul cum eo factus fuerit, et id quidem finitus eoque perfectus, ob ipsam

1. Vbb. *οὐ τῆς αὐτῆς οὐσίας* addidi de conjectura.
2. *οὖσα οὐχ ὕλη* O.
3. *ὅτι* non est in Cod.
4. *μο* (sine accentu) seq. lacuna O.

καὶ διὰ ταῦτα προσπολεμεῖ τῷ δημιουργῷ, ὡς ἐξαίφνης ἰσοδύναμος αὐτῷ γεγονώς.

XVIII. Καὶ ὁ Πέτρος· ἀδύνατα λέγεις· καὶ γὰρ κατ' ὀλίγον γινόμενον αὐτὸν ὡς ἐχθρὸν ὑπ' αὐτοῦ προαιρέσει ἀνελεῖν ἠδύνατο. καὶ προγινώσκων γίνεσθαι αὐτόν οὐ[1] συνεχώρει, εἰ μὴ πρὸς αὐτῷ χρήσιμον γινόμενον ἠπίστατο. καὶ τέλειος ἐξαίφνης ἀφ' ἑαυτοῦ γενέσθαι οὐχ οἷός τε ἦν. ἑαυτὸν γὰρ ὁ μήπω ὢν πλάττειν οὐκ ἐδύνατο, καὶ τέλειος οὔτε ἐξ οὐκ ὄντων γενέσθαι τι οὐσίαν ἔχειν[2] δύναται, καὶ γεννητὸν ὑπάρχοντα τῷ ἀεὶ ἰσοδυναμεῖν οὐκ ὀρθῶς ἂν εἴποι τις. καὶ ὁ Σίμων· μήτι οὖν τῶν πρός τί ἐστιν; καὶ οὕτως πονηρὸν οὐκ[3] ἔστι κακὸν μένον ὡς ὕδωρ πυρί, ἀγαθὸν δὲ τῇ εὐκαίρως διψώσῃ γῇ· ὥσπερ γε καὶ σίδηρος εἰς μὲν γεωργίαν καλός, εἰς δὲ φόνους κακός· καὶ ἡ ἐπιθυμία δὲ εἰς μὲν γάμους οὐ κακή, εἰς δὲ μοιχείαν χαλεπή· ὡς καὶ τὸ φονεῦσαι κακόν, ἀλλὰ τῷ φονεύσαντι πρὸς ὃ βεβούλευται καλόν, καὶ ἡ πλεονεξία κακόν, ἀλλὰ τῷ πλεονεκτοῦντι ἡδύ· καί ὅσα τοιαῦτα τυγχάνει τοῦτον περιέχει τὸν τρόπον. τούτῳ δὲ τῷ λόγῳ οὔτε τὸ κακὸν κακόν ἐστιν, οὔτε τὸ ἀγαθὸν ἀγαθὸν τυγχάνει· ἑκάτερον γὰρ τὸ ἕτερον ἐργάζεται. μήτι γε[4] τὸ δοκοῦν κακῶς γίνεσθαι εὐφραίνει μὲν τὸν ποιοῦντα, κολάζει δὲ τὸν πάσχοντα; καὶ εἰ ἄδικον δοκεῖ τὸ ἑαυτὸν ἀγαπήσαντα εὐφραίνειν ὡς δυνατόν ἐστιν, καὶ διὰ τοῦτο χαλεπὰ

causam bellaretur contra creatorem, cui nimirum ab initio par natus erat potentia.

XVIII. Excepit Petrus: dicis, quae fieri non possunt; neque enim eum paulo ante genitum ut inimicum e consilio ipse extinguere potuit. Ac cum praevideret, eum non bonum futurum, non sibi associasset, nisi cognovisset, ita eum sibi fieri utilem. Neque subito per semetipsum perfectus evadere potuit. Nam is, qui nondum erat, formare se ipse non potuit, neque perfectus facultatem habet ex nihilo oriundi, neque eum ortum aequa potentia praeditum recte aliquis dixerit. Respondit Simon: An non forte illorum est, quae ad finem aliquem creabantur? Hoc modo malignum non est malum perenne, ut aqua quidem igni, bona autem suo tempore terrae sitienti; quomodo et ferrum bonum in agricultura, malum autem ad necem perpetrandam: etiam desiderium ad matrimonia ineunda haud pravum, ad adulterium autem noxium; ut et occidere nefas, quamvis pulchrum ex occidentis consilio; et avaritia malum, quamvis dulce avaro, et, quaecumque sunt hujusmodi, eodem se modo habent. Sed hac ratione neque malum est malum, neque bonum contingit esse bonum, cum alterum operetur alterum. Quî autem id, quod male fieri videtur, auctorem delectat, ei vero dolores creat, qui patitur? Et si quis ob nimium sui amorem quantum fieri potest sese oblectans male facere putatur, cui

1. οὐ adjunxi ex conjectura.
2. ἔχει O
3. οὐκ adjunxi ex conjectura.
4. Ita leg. notat O in margine, μήτοι γε in textu.

www.libadl.com.cn

πείσεσθαι ὑπὸ δικαίου δικαστοῦ περὶ τοῦ ἑαυτὸν ἠγαπηκέναι, τίνι[1] οὐκ ἄδικον φαίνεται;

XIX. Καὶ ὁ Πέτρος· ἑαυτὸν χρὴ κολάζειν τότε τῇ ἐγκρατείᾳ, ὅταν ἡ ἐπιθυμία πρὸς ἑτέρου βλάβην ὁρμῆσαι θέλῃ, εἰδότα ὅτι[2] ὁ πονηρὸς τοὺς μὲν κακοὺς ἀνελεῖν δύναται, ἀπ' ἀρχῆς τὴν κατ' αὐτῶν εἰληφὼς ἐξουσίαν. καὶ οὔπω τοῦτο κακὸν τοῖς κακὰ πράξασιν, ἀλλὰ τὸ μετὰ τὴν ἀναίρεσιν τὰς ψυχὰς αὐτῶν κολαζομένας διαμένειν, τοῦτο ὄντως εἶναι χαλεπὸν δικαίως τῶν κακῶς προδιωρισμένων ὀρθῶς ἔχειν εἴποι τις[3]. οὗ εἵνεκεν παραιτεῖσθαι χρή, ὡς ἔφην, βραχείας χάριν ἡδονῆς ἄλλον ἄδικον πρὸς τὸ μὴ αὐτόν τινα ὀλίγης χάριν ἡδονῆς ἀϊδίῳ περιβαλεῖν κολάσει. καὶ ὁ Σίμων· μήτι οὖν οὐκ ἔστι τῇ φύσει πονηρὸν ἢ ἀγαθόν, ἀλλὰ νόμῳ διαφέρει καὶ ἔθει; [οὕτω][4] παρὰ Πέρσαις ἴδιον τὸ γαμεῖν μητέρας, ἀδελφάς, θυγατέρας, ἄλλας δὲ ὥσπερ χαλεπώτ[ατον ἀ]γόρευεται. ὅθεν τῶν κακῶν μὴ ὡρισμένων πᾶσι τὴν ἐκ θεοῦ κρίσιν προσδοκᾶν οὐκ ἔστιν. καὶ ὁ Πέτρος ἔφη· οὐ δύναται τοῦτο συστῆσαι· πᾶσι γὰρ φαίνεται, ὅτι τὸ μητράσι μίγνυσθαι μυσαρόν, κἂν Πέρσαι, μόριον ὑπάρχοντες τοῦ παντός, ὑπὸ κακοῦ ἔθους τῆς μυσαρᾶς αὐτῶν πράξεως τὸ ἄνομον μὴ ἀντιλαμβάνωνται[5]. ὡς καὶ Βρεττανοὶ ἐμφανῶς ἐπὶ πάντων κοινωνοῦσιν, καὶ οὐκ αἰδοῦνται· καὶ ἄλλοι σάρκας ἀνθρώπων ἐσθίουσιν, καὶ οὐ μυσάττονται·

non res esse videtur injusta, si ob illum amorem per justum judicem gravius patiatur?

XIX. Et Petrus: Ipsi viriliter nos castigare debemus, quando libido ad alterius noxam vult impellere, scientes quippe Malum delere posse improbos, ut qui ab initio eorum acceperit potestatem. Neque hoc malum iis qui mala perpetrarunt; ast poenam animas eorum post peremptionem expectantem pro male praedispositis omni cum jure aliquis dicat duram. Quare, ut dixi, evitetur oportet alia injustitia pro brevi voluptate, ne ob parvam laetitiam aeterna luatur poena. Tum Simon: An forte non existit, quod natura malum est aut bonum, sed modo differt et more? Ita apud Persas mos est matrimonium ineundi cum matribus, sororibus, filiabus, alias autem ducere saevissimum appellatur. Unde malorum non definitorum Dei judicium non esse potest pro omnibus. Et Petrus dixit: Hoc subsistere nequit; nam omnibus execrandus videtur coitus cum matribus, si etiam Persae, qui partiuncula sunt generis humani, iniquitatem exosi eorum moris non capiant. Ita et Britanni palam coram omnibus coeunt sine pudore; alii humana carne vescuntur sine fastidio;

1. τινὶ O.
2. ὅτι adscripsi ex conjectura.
3. δικαίως τὸν κακῶς προδιωρισμένον (sic) ὀρθῶς ἔχειν εἰπόντος O.
4. Supra lacunam, quam explevi voc. [οὕτω] signa " apparent. Fortasse legendum [ἤ] „nonne" et signum interrogandi in fine enuntiationis ponendum.
5. ἀντιλαμβάνονται O.

www.libtool.com.cn

καὶ ἕτεροι τὰ κυνῶν καὶ ἄλλα ἄρρητα πράσσουσιν[1]. οὕτως οὐ χρὴ αἰσθήσει ὑπὸ ἔθους τοῦ κατὰ φύσιν ἐκτραπείσῃ τὰς κρίσεις ποιεῖσθαι. καὶ γὰρ τὸ φονευθῆναι κακόν ἐστιν, κἂν μὴ πάντες λέγωσιν, ὅτι μηδεὶς αὐτοπαθεῖν θέλει, καὶ κλοπῇ οὐδεὶς ἐπὶ τῇ ἑαυτοῦ κολάσει ἥδεται. κἂν οὖν ἑνὸς οὐδήποτε ὁμολογουμένου εἶναι ἁμαρτήματα, ἐξ ἀνάγκης καὶ τρίτην κρίσιν πρὸς τὰ ἁμαρτήματα ὀρθῶς ἔστι προσδοκᾶν. ταῦτα τοῦ Πέτρου εἰπόντος ὁ Σίμων ἀπεκρίνατο· οὕτως σοι δοκεῖ τὰ κατὰ τὸν πονηρὸν εἶναι; εἰπέ μοι.

XX. Καὶ ὁ Πέτρος· μεμνήμεθα τοῦ κυρίου ἡμῶν καὶ διδασκάλου, ὡς ἐντελλόμενος εἶπεν ἡμῖν· τὰ μυστήρια ἐμοὶ καὶ τοῖς υἱοῖς τοῦ οἴκου μου φυλάξατε. διὸ καὶ τοῖς αὐτοῦ μαθηταῖς κατ' ἰδίαν ἐπέλυε τῆς τῶν οὐρανῶν βασιλείας τὰ μυστήρια[2]. σοὶ δέ, πολεμοῦντι ἡμᾶς καὶ μηδὲν ἕτερον διασκοποῦντι ἢ τὰ ἡμέτερα εἴτε ἀληθῆ ὄντα, εἴτε ψευδῆ, τὰ ἀπόρρητα λέγειν, ἀσεβεῖν ἐστίν. ἀλλ' ἵνα μὴ δόξωσί τινες τῶν παρεστώτων, ὅτι ἀδυνατῶ πρὸς τὰ ὑπὸ σοῦ ῥηθέντα ἀποκρίνασθαι (προφάσεως διαμηχανῶμαι), ἐρῶ πρότερον πυνθανόμενός σου, εἰ τὸ μὴ ἀλγεῖν ἦν, τί ἂν ἐστιν ἦν ὁ πονηρός. καὶ ὁ Σίμων ἔφη· οὐδέν. καὶ ὁ Πέτρος· ἆρά γε τὸ πονηρὸν τὸ ἀλγεῖν ἐστὶ καὶ τὸ θανεῖν; καὶ ὁ Σίμων· φαίνεται. καὶ ὁ Πέτρος[3]· οὐκ ἄρα ὑπάρχει τὸ πονηρὸν ἀεί, ἀλλ' οὐδὲ μὲν ὑπάρξαι δύναται· τὸ γὰρ ἀλγῆσαι καὶ θανεῖν τῶν συμβαινόντων[4] ἐστίν, ὧν οὐθέτερόν ἐστι παρούσης

alii ea quae canes et alia nefanda perpetrant. Hoc modo non judicandum est de sensu secundum naturam perverso. Nam et occidi malum est, etiamsi non omnes ita dicant, cum nemo ipse sibi dolores parere velit, nec poena ob furtum sibi inflicta ullus delectetur. Si quis ergo nullatenus concedit peccatum existere, necessario et tertium judicium ob ea recte expectandum est. Quae cum Petrus dixisset, respondit Simon: Dic mihi, an de Malo ita tibi videatur?

XX. Tum Petrus: Recordamur, Dominum nostrum et magistrum nobis praecepisse: Mysteria mihi et filiis domus meae custodite. Quare et discipulis suis seorsum regni coelestis mysteria explicabat. At impium esset, si revelaremus tibi ineffabilia, adversanti nobis et nihil aliud dispicienti quam dicta nostra sive vera sive falsa. Attamen ne circumstantium aliqui credant, me non posse respondere a te prolatis (similitudine utor), respondebo, quando ex te audivero, quid significet „erat malus“, si „non dolere“ erat. Et Simon dixit: Nihil. Tum Petrus: Num dolere et mori malum est? Respondit Simon: Ita esse videtur. Et Petrus: Non igitur malum semper exstitit, sed ne exstitisse quidem potest; nam dolere et mori accidentium sunt, quorum neutrum praesenti saluti est conjunctum. Quid enim est dolere nisi non

1. καὶ ἕτεροι κυνῶν καὶ ἄλλοι ἄρρητα πράσσουσιν O.
2. Marc. 4, 34; cfr. Hom. XVII, 6.
3. Vbb. καὶ ὁ Πέτρ
4. συμβενόντων O, ἀσθενείας, in margine

www.libtool.com.cn

εὐσθενείας. τί[1] γὰρ ἐστιν ἀλγεῖν ἢ τὸ ἀναρμοστεῖν; τί δὲ θάνατος ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος; οὔτ' οὖν ἁρμονίας οὔσης τὸ ἀλγεῖν ἔστιν· τὸ γὰρ θανεῖν οὐδὲ ὅλως τῶν ὑπαρκτῶν ἐστίν, ὅτι θάνατος οὐδέν ἐστιν, ὡς ἔφην, ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος, οὗ συμβάντος, τὸ μὲν σῶμα φύσει ἀναίσθητον ὂν λύεται, ἡ δὲ ψυχὴ αἰσθητὴ οὖσα ζῶσα ὑπάρχει. ὅθεν ἁρμονίας οὔσης οὐκ ἀλγεῖν ἔστιν, οὐκ ἀποθανεῖν, ἀλλ' οὐδὲ μὴν βοτάναι θανάσιμοι, οὐχ ἑρπετὰ ἰοβόλα, οὐδὲ ἄλλο τι τοιοῦτον, οὗ τὸ τέλος θάνατος. ὅθεν ἀθανασίας ἐπικρατούσης εὐλόγως πάντα γεγονότα φανήσεται. ὅπερ καὶ οὕτως ἔσται, ὁπόταν δικαιοσύνης αἰτίᾳ ὁ ἄνθρωπος ἀθάνατος γένηται τῆς τοῦ Χριστοῦ εἰρηνι[κῆς] ἐπικρατούσης βασιλείας· ὅτε αὐτοῦ καὶ ἡ κρᾶσις εὔκρατός ἐστιν, ἵνα μὴ ὀξείας [φύῃ] ὁρμάς· ἔτι τε καὶ γνῶσις ἄπταιστος, ἵνα μή τι τῶν κακῶν ὡς ἀγαθὸν π[ικροποιοῦν][2] τε ἀλγοῦν ἔσται, ἵνα μὴ θνητὸς ᾖ.

XXI. Καὶ ὁ Σίμων ἔφη· ταῦτα μὲν ὀρθῶς ἔφης· πλὴν ἐν τῷ νῦν κόσμῳ οὐ δοκεῖ σοι παντὸς πάθους δεκτικὸς εἶναι ὁ ἄνθρωπος; λέγω δὲ ἐπιθυμίας, ὀργῆς, λύπης καὶ τῶν τοιούτων. καὶ ὁ Πέτρος· καὶ ταῦτα τῶν συμβαινόντων ἐστίν, οὐ τῶν ἀεὶ ὄντων, χρησίμως δὲ τῇ ψυχῇ συμβαίνοντα νῦν εὑρεθήσεται. ἥτε γὰρ ἐπιθυμία ἐκ τοῦ πάντα καλῶς δημιουργήσαντος συμβαίνειν τῷ ζώῳ γεγένηται, ἵνα ὑπ' αὐτῆς ἀγόμενον πρὸς κοινωνίαν τὴν ἀνθρωπότητα[3] πληθύνῃ, ἀφ' ἧς πλῆθος ἐκλογῆς κρειττόνων γίνεται

Quid autem mors, nisi separatio animae a corpore? Neque igitur, si harmonia existit, dolor intrat; nam mori ne omnino quidem existentium est, quia mors nihil aliud est, ut dixi, quam separatio animae a corpore, quae cum evenit, corpus quidem sensu expers dissolvitur, anima autem sensu affecta vivere pergit. Quare neque dolor adest neque mors, ubi harmonia existit, sed ne plantae quidem letiferae sunt, neque reptilia venenata, neque aliud horum quidquam, quorum finis est mors. Unde omnia recte creata videntur praevalente immortalitate. Et hoc ita eveniet, quando justitiae gratia homo immortalis fit, regno Christi pacifico praevalente, quandoquidem temperamentum ejus mite est, ne acres procreet cupiditates, insuper etiam sapientia non erronea, ut nihil malorum tamquam bonum ad servitutem vel dolorem ferat, ita ut ille non sit mortalis.

XXI. Respondit Simon: Haec quidem recte dixisti. At homo in hoc mundo nonne tibi cujusvis mali capax esse videtur? Dico autem cupiditatis, iracundiae, luctus et hujuscemodi. Et Petrus: Et haec quidem sunt accidentium, non aeternorum; verum tamen animae utiliter conjuncta jam invenientur. Etenim cupiditas ab illo, qui omnia bene creavit, opifice animali unita est, qua ad mixtionem impulsum multiplicet humanum genus, cujus electa meliorum mul-

1. τὸ O.
2. Scripsi π[ικροποιοῦν] ob analogiam cum seq. participio, etsi π[ικροποιὸν] usui melius respondisset. ἀλγῶν p. ἀλγοῦν O.
3. ἀνθρωπότητας O.

www.libtool.com.cn

πρὸς αἰώνιον ζωὴν ἐπιτήδειον [1]. πλὴν ἄνευ ἐπιθυμίας τὴν πρὸς γυναῖκα κοινωνίαν οὐδεὶς ἂν ἀνεδέξατο· νῦν δὲ προφάσει ἡδονῆς ὡς ἑαυτῷ χαριζόμενος ὁ ἄνθρωπος τὸ ἐκείνου βούλημα ποιεῖ. πλὴν ἐάν τις τῇ ἐπιθυμίᾳ χρῆται πρὸς νόμιμον γάμον, οὐκ ἀσεβεῖ, πρὸς μοιχείαν δὲ ὁρμῶν [2] δυσσεβεῖ, καὶ διὰ τοῦτο τιμωρεῖται, ὅτι τῷ [3] καλῶς τεθέντι ἐχρήσατο κακῶς. ἔτι τε ὁμοίως ἡ ὀργὴ ἐν ἡμῖν ἐξάπτεσθαι φύσιν ἔχειν εἴληφε παρὰ θεοῦ, ἵνα πρὸς ἄμυναν ἁμαρτημάτων ὑπ' αὐτῆς ἐλκώμεθα. πλὴν ἀμέτρῳ αὐτῇ τις χρησάμενος ἀδικεῖ, κατ' ἀξίαν δὲ χρώμενος τὸ δίκαιον ἐκτελεῖ. ἀλλὰ καὶ λύπης ἐσμὲν δεκτικοί, ἵνα τὸ συμπαθητικὸν ἔχωμεν ἐπί τε θανάτῳ οἰκείων, γυναικὸς ἢ τέκνων ἢ ἀδελφῶν ἢ γονέων ἢ φίλων ἢ ἄλλων τινῶν. ἐπείπερ, εἰ τὸ συμπάσχειν οὐκ εἴχομεν, ἀπάνθρωποι ἂν εἴμεν [4]. ὁμῶς καὶ τὰ ἄλλα πάντα οἰκείως εὑρεθήσεται ἔχοντα, ἐάν γε δι' ὃ ἔλεγον [5] ἐ[πι]νοηθῇ.

XXII. Καὶ ὁ Σίμων· διὰ τί δὲ καὶ ὥροι τελευτῶσιν, καὶ περιοδικαὶ νόσοι γίνονται, ἔτι μὴν καὶ δαίμονες καὶ μανίαι καὶ πάθη παντοδαπὰ κολάζειν μεγάλως δυνάμενα ὑπάρχει; καὶ ὁ Πέτρος· ὅτι οἱ ἄνθρωποι τὰ πάντα αὐτῶν τῇ ἡδονῇ χαριζόμενοι ἀπαρατηρήτως κοινωνοῦσιν καὶ οὕτως ἡ τῶν σπερμάτων καταβολὴ ἀκαίρως ἐπιδοθεῖσα φυσικῶς τὰ μυρία ἐκφύει κακά. ἐχρῆν δὲ αὐτοὺς λογίζεσθαι, ὅτι, ὡς τοῦ φυτεῦσαι καὶ σπεῖραι καιρὸς ἐπιτήδειος ὥρισται, οὕτω καὶ τοῦ κοινωνῆσαι ἐπιτηρήσιμοι ἡμέραι προσ-

titudo idonea redditur advitam aeternam. Praeterea sine cupiditate coitum cum muliere nemo faceret; jam vero voluptatis specie homo sibi ipse gratificans illius facit voluntatem. Itaque si quis cupiditate ad legitimum utitur connubium, impie non agit, sed in adulterium prorumpens impietatem committit, ideoque castigabitur, ut qui male usus sit eo, quod bene fuerit ordinatum. Simili modo etiam iracundiae concessa a Deo est vis nos aggrediendi, ut ea excitemur ad peccatorum ultionem. Verum tamen immodice qui ea utitur, injuste agit, recte ea utens justum peragit. At luctui quoque subjecti sumus, quo doloris esse possimus participes obitus propinquorum, mulieris vel liberorum vel fratrum vel genitorum vel amicorum aliorumve. Commiserationis enim expertes hominis naturam exuissemus. Simul reliqua omnia apta esse reperientur, si considerentur, modo a me indicato.

XXII. Tum Simon: Cur autem et homines praemature moriuntur, et morbi periodici veniunt, insuper et daemones, insaniae et calamitates multiformes magna castigandi facultate praeditae existere pergunt? Excepit Petrus: Quia homines omnino libidini suae indulgentes inconsiderate coeunt, et ita seminibus alieno tempore sparsis ex naturae indole innumerabilia procreantur mala. Debebant potius reputare, uti tempus definitum sit ad plantandum et seminan-

1. ἐπιτήδειος O.
2. ὁρμῶ O.
3. τὸ O.
4. ἂν εἰ (subnotatum) εἶμεν O.
5. λέγον (sic) O.

www.libtool.com

ωκείωνται. ἔνθεν γοῦν τις ἐκ τῆς Μωϋσέως παραδόσεως μεριαθηκώς, αἰτιώμενος τὸν λαὸν ἐπὶ ἁμαρτίας, υἱοὺς νεομηνιῶν τῶν κατὰ σελήνην καὶ σαββάτων ἀπεκάλει. ἀλλὰ καὶ κατ' ἀρχὰς τοῦ κόσμου οἱ ἄνθρωποι πολυετεῖς τε ἦσαν καὶ ἄνοσοι. ὁπότε δὲ ἀμελήσαντες τὴν παρατήρησιν ἀπέλιπον, ἔκτοτε κατὰ διαδοχὴν υἱοὶ ἀγνοίας αἰτίᾳ [ὡς] μὴ δεῖν κοινωνοῦντες ὑπὸ μυρία πάθη τὰ ἑαυτῶν τιθέασι τέκνα. ὅθεν καὶ [διδάσκ]αλος ἡμῶν περὶ τοῦ ἐκ γενετῆς πηροῦ καὶ ἀναβλέψαντος παρ' αὐτοῦ ἐξετά[ζων ἐρωτήσασιν], εἰ[1] οὗτος ἥμαρτεν ἢ οἱ γονεῖς αὐτοῦ, ἵνα τυφλὸς γεννηθῇ, ἀπεκρίνατο· οὔτε οὗτός τι ἥμαρτεν, οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα δι' αὐτοῦ φανερωθῇ ἡ δύναμις τοῦ θεοῦ τῆς ἀγνοίας ἰωμένη τὰ ἁμαρτήματα. καὶ ἀληθῶς ἀγνοίας αἰτίᾳ τὰ τοιαῦτα γίνεται. ἤτοι τῷ μὴ εἰδέναι πότε δεῖ κοινωνεῖν τῇ γαμετῇ, εἰ καθαρὰ ἐξ ἀφέδρου τυγχάνει. πλὴν ἃ προείρηκας πάθη ἐξ ἀγνοίας ἐστίν, οὐ μέντοι ἐκ πονηροῦ εἰργασμένου. προσέτι δὲ δὸς τὸν μὴ ἁμαρτάνοντα, καὶ λάβε τὸν μὴ πάσχοντα, καὶ πρὸς τὸ μὴ πάσχειν καὶ ἄλλους αὐτὸν θεραπεῦσαι δυναμένους εὑρήσεις[2]. αὐτίκα γοῦν Μωϋσῆς διὰ εὐσέβειαν ἀπαθὴς τὸν πάντα τῆς ζωῆς διετέλεσε χρόνον, καὶ τοὺς Αἰγυπτίους δι' ἁμαρτίας πάσχοντας εὐχαῖς ἰᾶτο.

XXIII. Καὶ ὁ Σίμων· ἔστω μὲν ταῦτα οὕτως ἔχειν. οὐ δοκεῖ σοι ἀδικωτάτη ἡ ἐν ἀνθρώποις ἀνωμαλία; ὃς μὲν γὰρ πένεται, ὃς δὲ πλουτεῖ,

dum aptum, ita et constitutos fuisse dies ad coitum idoneos. Hinc certe aliquis Moysis traditis peritus populum ob peccata accusans, noviluniorum secundum lunam et sabbatorum filios appellabat. At vero in principio mundi homines et longaevi erant morbique immunes. Sed usu negligenter derelicto, filii illorum vicissim ob ignorantiam, ut non licuit, miscentes se, innumerabilibus calamitatibus liberos suos reddiderunt obnoxios. Quare et magister noster de illo, qui a nativitate caecus erat et per eum vidit, interrogantibus, utrum hic peccaverit an genitores ejus, ut caecus nasceretur, respondit: Neque hic in aliquo peccavit, neque ejus genitores, sed ut in eo manifestaretur Dei potestas, quae ignorantiae peccata sanat. Ac profecto ignorantiae causa ejusmodi res eveniunt. Conjuge scilicet aliquando uti oportet, et ea quidem inscia, an libera sit a menstrua pollutione. Jam vero calamitates, quarum antea mentionem fecisti, ex ignorantia proveniunt, non e malo peracto. Concede insuper non peccantem et accipe non patientem, atque etiam alios patiendi immunes ad eum serviendum aptos invenies. Exempli gratia Moyses propter pietatem totius vitae tempus consummavit mali expers, et Aegyptios ob peccata patientes precibus sanavit.

XXIII. Tum Simon: Haec quidem ita sese habeant. Sed inaequalitas inter homines nonne tibi videtur injustissima? Alter enim mendicat, alter divi-

1. *εν* absque spiritu O, qui dein *ἐγερ-νήθη*. Joan. IX, 2. 3.

2. *εὕρης* O, qui dein *διὸ* p. *διά*.

www.libtool.com.cn

καὶ ὃς μὲν νοσεῖ, καὶ [ὃς δὲ] ὑγιαίνει, καὶ ὁμῶς τοιαῦτά τινα μυρία ἐν τῷ ἀνθρωπίνῳ βίῳ. καὶ ὁ Πέτρος· οὐ συνορᾷς, ὦ Σίμων, ὅτι πάλιν ἐκτὸς τοῦ σκοποῦ τοὺς λόγους πέμπεις; περὶ πονηροῦ γὰρ ἡμῖν διαλεγομένων, σὺ ἐκτροπὴν ποιήσας περὶ τῶν δοκούντων ἀτοπημάτων τὸν λόγον εἰσηγήσω. πλὴν καὶ εἰς αὐτὸ ἐρῶ. ὁ κόσμος ὄργανόν ἐστι τεχνικῶς γεγονός[1], ἵνα τῷ ἐσομένῳ ἄρρενι αἰωνίως ἡ θήλεια τίκτῃ δικαίους αἰωνίους υἱούς. οὐκ ἐδύναντο δὲ εὐσεβεῖς[2] ἐνταῦθα ἀποτελεσθῆναι, εἰ μὴ ἦσαν οἱ ἐνδεεῖς οἷς ἐπικουρήσουσιν. ὁμοίως τε καὶ διὰ τοῦτο εἰσὶ καὶ νοσοῦντες, ὧν προνοήσουσιν. καὶ τὰ ἑξῆς τοῦτον περιέχει τὸν λόγον. καὶ ὁ Σίμων· οὐκοῦν ἠτύχηται τοῖς ταπεινοῖς; πρὸς γὰρ τὸ ἀποτελεσθῆναι δικαίους αὐτοὶ κακουχοῦνται. καὶ ὁ Πέτρος· εἰ ἦν αἰώνιος ταπείνωσις αὐτῶν, ἀτυχία ἂν ἦν μεγίστη. ἀλλὰ πρὸς τῷ κλήρῳ τὰ ταπεινώματα καὶ ὑψώματα ἀνθρώποις γίνεται· ᾧ δ' ἂν μὴ ἀρέσκῃ ὁ κλῆρος, ἔνεστιν ἐκλήτως χρησάμενον καὶ νομίμως διαδικασάμενον τὸν ὑπ' αὐτοῦ ὑπαλλάξαι βίον. καὶ ὁ Σίμων· τίς οὗτος ὁ κλῆρος, καὶ ἔκλητος; καὶ ὁ Πέτρος· τοῦτο ἑτέρου λόγου ἐξήγησίς ἐστιν. πλὴν ἐὰν ἐπιτρέψῃς, δεῖξαί σοι δυνάμεθα, πῶς ἀναγεννηθεὶς καὶ τὴν γένεσιν ὑπαλλάξας καὶ νομίμως βιώσας αἰωνίου τεύξῃ σωτηρίας.

XXIV. Καὶ ὁ Σίμων ταῦτα ἀκούσας ἔφη· μήτι νομίσῃς, ὡς ἐπειδὴ εἰς ἕκαστον κεφάλαιον ζητῶν [σε] συνεπιθέμην ὡς πληροφορούμενος ἐφ'

tiis abundat, alter aegrotat, alter nimia valetudine fruitur, et quae hujusmodi innumerabilia in humana vita reperiuntnr alia. Et Petrus: Nonne vides, Simon, te iterum extra propositum sermones mittere? Nobis enim de malo colloquentibus, digrediens disceptationem de iis tu introducis, quae sibi contradicere videntur. Nihilominus tibi respondebo. Mundus est opus artificiose factum, ut masculo in aeternum futuro femina pariat aeternos filios. At pii hic ad perfectionem venire non possent, nisi pauperes existerent, quibus auxilium ferrent. Simili modo et aegrotantes adsunt, quibus provideant. Et eo spectant reliqua. Tum Simon: Quid ergo, pauperes nonne infelices sunt? Male nimirum patiuntur, ut justi ad perfectionem veniant. Et Petrus: Si eorum humilitas esset aeterna, infortunium esset maximum. Sed humiliationes et exaltationes hominibus sorte attribuuntur. Cui autem sors non placet, illi licet vitam, qua electa utitur, recte dijudicatam per semetipsum commutare. Tum Simon: Quaenam est illa sors, et ea quidem electa? Et Petrus: Hoc alius disquisitionis argumentum est. Verumtamen, si non vetueris, tibi ostendere possumus, quomodo generatione commutata iterum natus tu recte vivendo aeternam salutem adipisci valeas.

XXIV. Quibus auditis Simon respondit: An non intelligis, quomodo capitulatim disquirens tibi ad proximum progredienti caput consenserim quasi

1. γεγονὰς O. O in margine, ἀσεβεῖς in textu.
2. Ita scrib. monet amanuensis Codicis

www.libtool.com.cn

ἕτερον ἐρχόμενον κεφάλαιον; ἀλλ' ἀγνοίας σοι τὸ[1] πείθεσθαι παρεῖχον, ἵνα ἐπ' ἄλλο ἔλθῃς κεφάλαιον, ὅπως πάσης ἀγνοίας σου μαθὼν μὴ στοχαζόμενος καταγινώσκω σου. ἀλλὰ πεπληροφορημέ[νων] νῦν ἤδη[2] τριῶν ἡμερῶν μοι συγχώρησον, καὶ ἐλθὼν δείξω σε μηδὲν εἰδότα. ταῦτα τοῦ Σίμωνος εἰπόντος καὶ ἐξιέναι μέλλοντος ὁ ἐμὸς ἔφη πατήρ· βραχέα μου, Σίμων, ἐπακούσας, ὡς σοι φίλον ἐστίν, πορεύου. μέμνημαι, ὡς τὴν ἀρχὴν πρὸ τῆς ζητήσεως, ὡς μήπω πεῖράν μου λαβών, προλήψεις μου κατέφερες. καὶ νῦν δὲ ἐπαλλήλως ἀκούσας τῆς ζητήσεως καὶ Πέτρον[3] ἐν ὑπεροχῇ γνοὺς καὶ αὐτῷ τὸ ἀληθεύειν νῦν δούς, τί σοι φαίνομαι ὀρθῶς κρίνειν εἰδώς, ἢ οὔ; εἰ μὲν γὰρ ὀρθῶς κρίναντά με φαίης, μὴ συνθῇ, ἵνα μὴ φαίνῃ[4] προειλημμένος, ὃ καὶ μετὰ ὁμολογίαν ἥττων[5] συνθέσθαι μὴ θέλων. εἰ δ' ἄρα μὴ ὀρθῶς τὸν Πέτρον ἐν ὑπεροχῇ τῆς ζητήσεως ἀπεφαινόμην, σὺ ἡμᾶς πεῖσον, πῶς οὐκ ὀρθῶς ἐκρίναμεν, ἢ τοῦ ζητεῖν αὐτῷ ἐπὶ πάντων μὴ παύσῃ, ἐπεὶ ἔσται σοι ἑκάστοτε ἡττωμένῳ καὶ συντιθεμένῳ. ἢ δὲ τὸ αἰδεῖσθαι ἔχεις ἀπὸ πάντων τῶν ἀκροατῶν ἀντὶ μεγίστης τιμωρίας καταγινωσκομένῳ καὶ ἀσχημονοῦντι ὑπὸ συνειδήσεως[6] τὴν σεαυτοῦ ἀλγεῖν ψυχήν· τὸ γὰρ νενικῆσθαι ἔργῳ εἴδομεν, τὸν δὲ ἐπαγγελλόμενόν σου λόγον ἠκούσαμεν. πέρας γοῦν οὐκ οἶμαι, σὲ ἐπὶ τὴν ζήτησιν

satisfactus? Sed dedi occasionem inscitiam tibi persuadendi, ut ad aliud capitulum progressus tota ignorantia tua cognita non conjectans te dijudicem. Sed tres cum jam praeterierint dies, mecum dissere et continuando ego ostendam, te nihil scire. Haec cum Simon locutus esset et exire vellet, pater meus dixit: Paululum me ausculta, Simon, et postea, si lubet, proficiscere. Memini te initio disputationis, quasi me non cognoveris, divinationes meas contempsisse. Sed jam cum alterius partis disquisitionem audiverim, rectene tibi statuere videor an non, si Petrum te superiorem crediderim, eumque verum dicere confitear? Si quidem recte me censere dicis, noli pacisci, ne videaris quamvis praeoccupatus vel ex consensu et victus nolle concedere. Sin Petrum in disputatione superiorem esse non recte ostendebam, persuade nobis, quomodo non recte censuerimus, aut noli cessare a disquisitione coram omnibus, cum tibi alterutrum eligere licebit: aut superari aut componere. Sed tu fortasse pudere coram omnibus auditoribus maximam putas poenam ei, qui dijudicatus est, quia partes male egerit, et ex conscientia dolorem patiatur: nam victum te esse re ipsa scimus, cum orationem a te prolatam audiverimus. Praeterea

1. τοῦ O.
2. νῦν δὲ O.
3. πέτρος O, qui deinde καὶ τί p. τί.
4. ἵνα μὴ φαίνῃ dedi ex conjectura, δὲ σὺ φαίνῃ O.
5. ἧτταν O.
6. συνειδήσεως O.

www.libtool.com.cn

ἐλθεῖν, ὡς ὑπέσχου, ἀλλὰ πρὸς τῷ δοκεῖν μὴ αἰτιᾶσθαι[1] ἐξιὼν ἐπανελθεῖν ὑπέσχησαι[2].

XXV. Ὁ δὲ Σίμων ταῦτα ἀκούσας ὑπὸ ὀργῆς τοὺς ὀδόντας βρύξας, σιωπῶν ἐπορεύθη. ὁ δὲ Πέτρος ἔτι ὥρας οὐκ ὀλίγης οὔσης τὸν πολὺν ὄχλον χειροθετήσας πρὸς ἴασιν καὶ ἀπολύσας, μετὰ τῶν συνηθεστέρων εἰσιὼν οἴκοι ἐκαθέσθη. καὶ δή τις τῶν ἀκολούθων Σοφωνίας[3] ὄνομα ἔφη· εὐλόγηται, Πέτρε, ὁ θεός, ὁ ἐκλεξάμενός σε καὶ σοφίας ἀναπαύσεως μὲν ἕνεκεν τῶν εὐγνωμόνων· ἀληθῶς γὰρ μεγάλως καὶ ἀνεξικάκως διειλέχθης[4] πρὸς Σίμωνα. καὶ ἡμῖν δὲ περὶ πονηρῶν διαλεχθῆναί σε ἀξιοῦμεν, ἐλπίζοντες γνησιώτερόν σε ἡμῖν τὸν περὶ αὐτοῦ ἐκφάναι λόγον, καὶ ταῦτα οὐκ αὐτῆς ὥρας, ἀλλ' αὔριον, εἴ σοι φίλον ἐστίν· συγγινώσκομεν γάρ σοι διὰ τοὺς ἐκ τῆς ζητήσεως καμάτους. καὶ ὁ Πέτρος· εἰδέναι ὑμᾶς θέλω, ὅτι ὁ μετὰ ἡδονῆς ποιῶν τι ὑπ' αὐτῶν τῶν καμάτων ἀναπαύεται, μὴ ποιῶν δὲ ἃ βούλεται ὑπ' αὐτῆς τῆς ἀναπαύσεως κάμνει τὰ μέγιστα. ὥστε μοι τὰ μεγάλα τῆς ἀναπαύσεως χαρίζεσθε τὰ ἐμοὶ φίλα διαλέγεσθαι ποιοῦντες. πλὴν ἐπὶ τῇ προαιρέσει αὐτοῦ ἐξαρκεσθέντες καὶ τοῖς καμάτοις συγγνόντες εἰς τὴν νύκτα[5], ὡς αὐτῷ ἔθος ἦν πρὸς τοὺς γνησι[ωτέρους] λέγεσθαι, τὴν ὑπέρθεσιν γενέσθαι ἠξιώσαμεν. καὶ δὴ ἀλῶν μεταλαβόντες εἰς ὕπνον [ἐτρα]πημεν.

quoque non credo, te venisse ad disputationem, quemadmodum promiseras, sed, ne arguaris, rediturum te exiens promisisti.

XXV. Ac Simon, cum haec audisset, prae ira dentibus stridens tacite abiit. Petrus autem cum non paucum temporis diei superesset, aegrotis ad sanandum manibus impositis, multitudinem dimisit, cumque familiaribus domum ingressus consedit. Tum comitum unus, cui Sophoniae nomen: Benedictus, inquit, sit Deus, qui te, Petre, elegit, ut probi sapientiae acquiescere possent. Nam vere magnifice et cum patientia contra Simonem disputasti. Nunc a te petimus, ut et nobis de malis colloquaris, sperantes genuiniorem te nobis facturum sermonem, non autem jam hac hora, sed cras, si tibi placet: etenim parcendum tibi est ob labores, quos in disquisitione pertulisti. Respondit Petrus: Scire vos volo, inter ipsos labores eum acquiescere, qui lubenter laborat, cum, qui invitus operetur, in ipsa quiete vel maxime laboret. Itaque maximam mihi recreationem praebetis, si me de iis colloqui facitis, quae mihi in deliciis sunt. Ita de consilio ejus satisfacti et lassitudini indulgentes rogavimus ut in noctem differret, quemadmodum mos ei erat cum familiaribus colloquendi. Ac postea cibo sumpto ad somnum conversi sumus.

1. *αἰτεῖσθαι* O.
2. *ὑπέσχηται* O.
3. *σοφονίας* O, ut etiam infra constanter.
4. Nolui scribere *διειλέχθης*.
5. *νύκταν* O.

www.libtool.com.cn

## ΟΜΙΛΙΑ Κ'.

I. Νύκτωρ δὲ διαναστὰς καὶ διυπνίσας ἡμᾶς, καθεσθεὶς συνήθως ἔφη· πυνθάνεσθέ μου, περὶ ὧν βούλεσθε. καὶ ὁ Σοφωνίας αὐτῷ πρῶτος ἤρξατο· πῶς ὄντως ὁ περὶ πονηροῦ λόγος ἔχει, ἐπιθυμοῦσιν ἡμῖν μαθεῖν ὑφήγησαι. καὶ ὁ Πέτρος· ἤδη μέν, ἔφη, καὶ διὰ τῆς πρὸς Σίμωνα διαλέξεως ἐξέφηνα, τῷ δὲ σὺν ἑτέροις κεφαλαίοις τὰ περὶ αὐτοῦ εἰρηκέναι οὐ πάνυ σαφῶς ἐφωτίσθη· πολλὰ γὰρ κεφάλαια ἰσοδυναμεῖν δοκοῦντα τῷ ἀληθεῖ αὐτοῦ τοῦ ἀληθοῦς τοῖς πλείοσι παρέχει τινὰ γνῶσιν. ὥστε, ἐὰν νῦν ὑμῖν εἴπω, ἃ τότε μετὰ πολλῶν εἰρήκειν κεφαλαίων τῷ Σίμωνι, μὴ οἰηθῆτε ἴσῃ αὐτῷ τιμῇ τετιμῆσθαι. καὶ ὁ Σοφωνίας· ὀρθῶς, ἔφη, λέγεις· εἰ νῦν γὰρ ἡμῖν ἐκ πολλῶν τῶν τότε εἰρημένων κεφαλαίων ἀφορίζεις, αὐτὸ τὸ ἀληθὲς ποιήσεις φανερώτερον.

II. Καὶ ὁ Πέτρος· ἀκούσατε, ἔφη, τοιγαροῦν τῆς περὶ τοῦ πονηροῦ ἁρμονίας τὴν ἀλήθειαν. ὁ θεὸς δύο βασιλείας ὁρίσας καὶ δύο αἰῶνας συνεστήσατο, κρίνας τῷ πονηρῷ δεδόσθαι τὸν παρόντα κόσμον διὰ τὸ μικρόν τε αὐτὸν εἶναι καὶ παρέρχεσθαι ὀξέως, τῷ δὲ ἀγαθῷ σώσειν ὑπέσχετο τὸν μέλλοντα αἰῶνα, ἅτε δὴ μέγαν ὄντα καὶ ἄϊδιον. τὸν οὖν ἄνθρωπον αὐτεξούσιον ἐποίησεν, ἐπιτηδειότητα ἔχοντα νεύειν, πρὸς ἃς βούλεται πράξεις. καὶ τὸ μὲν σῶμα αὐτοῦ ἐστὶ τριμερές, ἐκ θηλείας ἔχον τὴν γένε-

## HOMILIA XX.

I. Ubi noctu surrexit, nobis expergefactis consedit secundum morem et dixit: Interrogate me, de quibus lubet. Tum Sophonias primus ei dicere incepit: Explica nobis discere cupientibus, quid reapse de malo sit sentiendum. Et Petrus: Jam, inquit, in disputatione cum Simone habita id demonstravi, licet variis in capitulis non perspicue apparuerint, quae de eo disserui. Multa quippe capitula quibus vis deesse videtur aequo veritati, etiam multitudini notitiam aliquam veri suppeditant: ita ut si nunc vobis dicam, quae tum Simoni dixi per multa capitula, nolite credere, vos eodem modo honorari ac illum. Et Sophonias: Recte, inquit, dicis; nam si nunc nobis ex multis tunc perhibitis capitulis definis, quod verum sit clarius ostendes.

II. Tum Petrus: Jam audite, inquit, veritatem de recta Mali harmonia. Deus duobus regnis definitis duo quoque aeva constituit, Malo praesentem mundum adsignans, quia brevis temporis spatium permanet celeriterque transit, bono autem se daturum promisit mundum futurum, grandem quippe atque aeternum. Ac hominem creavit libero arbitrio praeditum, ut facultate polleret inclinandi ad agenda, quae ei placerent. Et corpus ejus tripartitum est, cum originem ducat ex femineo; nam affectum est cupiditate, ira, luctu et quae

www.libtool.com.cn

σιν· ἔχει γὰρ ἐπιθυμίαν, ὀργήν, λύπην καὶ τὰ τούτοις ἑπόμενα. τὸ δὲ πνεῦμα καὶ αὐτὸ οὐ τριτογενὲς ὄν, ἀλλὰ τριμερές, ἐκ τοῦ ἄρρενος ἔχει τὴν γένεσιν, καὶ δεκτικόν ἐστι λογισμοῦ, γνώσεως, φόβου καὶ τῶν τούτοις ἑπομένων. ἑκατέρα δὲ τῶν τριάδων μίαν ἔχει τὴν ῥίζαν, ὡς εἶναι τὸν ἄνθρωπον ἐκ φυραμάτων δύο, θηλείας τε καὶ ἄρρενος. διὸ δὴ καὶ δύο αὐτῷ ὁδοὶ προετέθησαν, νόμου τε καὶ ἀνομίας· δύο τε βασιλεῖαι ὡρίσθησαν, ἡ μὲν οὐρανῶν λεγομένων, ἡ δὲ τῶν ἐπὶ γῆς νῦν βασιλευόντων. ἀλλὰ καὶ δύο βασιλεῖς ἐτάχθησαν, ὧν ὁ μὲν τοῦ παρόντος καὶ προσκαίρου κόσμου νόμῳ βασιλεύειν χειροτονεῖται, ὃς καὶ ἐπ' ὀλέθρῳ πονηρῶν χαίρειν ἐκράθη· ὁ δὲ ἕτερος, καὶ αὐτὸς βασιλεὺς ὑπάρχων τοῦ ἐσομένου αἰῶνος, στέργει πᾶσαν ἀνθρώπων φύσιν, ἐν τοῖς παροῦσι τὴν παρρησίαν ἔχειν οὐ δυνάμενος, [ἀλλ'] ὡς τις ποτ' ἔστι λανθάνειν πειρώμενος τὰ συμφέροντα συμβουλεύει.

III. Τῶν δὲ δύο τούτων [ὁ ἕτερος] τὸν ἕτερον ἐκβιάζεται, θεοῦ κελεύσαντος. ἕκαστος δὲ τῶν ἀνθρώπων ἐξουσίαν ἔχει, [ἐκείν]ῳ αὐτῶν, ᾧ βούλεται, πείθεσθαι πρὸς τὸ πράσσειν ἀγαθὰ ἢ κακά. πλὴν ἐὰν τὰ ἀγαθά τις πράσσειν ἕληται, τοῦ ἐσομένου ἀγαθοῦ βασιλέως γίνεται κτῆμα· εἰ δὲ φαῦλα πράξειέ τις, τοῦ παρόντος [1] γίνεται πονηροῦ ὑπηρέτημα. ὃς δι' ἁμαρτίας κρίσει δικαίᾳ τὴν κατ' αὐτοῦ λαβὼν ἐξουσίαν καὶ πρὸ τοῦ μέλλοντος αἰῶνος θελήσας αὐτῇ χρῆσθαι [2] ἐν τῷ νῦν βίῳ κολάζων ἥδεται, καὶ

ad ea pertinent. Simili modo spiritus cum non trium generum sit, sed triplex, ortus ex masculo et capax est ratiocinandi, cognoscendi, metuendi et eorum, quae huc pertinent. Utrique autem triadum eadem radix est, ita ut homo duabus commixtionibus, feminei cum masculo, compositus sit. Quapropter etiam duae viae, aequitatis ac iniquitatis, propositae, duo quoque regna definita sunt, alterum coelorum appellatum, alterum eorum, qui nunc in terra regnant. Ac similiter duo reges constituti sunt, quorum alter praesenti ac temporaneo mundo regnare et pernicie malorum gaudere lege tenetur; alter autem, rex et ipse, futuri quidem aevi, universam diligit naturam humanam: qui libertatem agendi etsi in praesenti non habet, nihilominus de utilibus suadendis latenter sollicitus est.

III. Horum duorum, Deo ordinante, alter alteri vim infert. Quisque autem hominum facultatem habet, eorum cui vult obediendi ad bona perficienda aut mala. Ac si quis bona facere sibi eligit, proprietas redditur futuri boni regis; sin quis iniqua perpetret, praesentis mali fit adjutor. Qui quidem cum propter peccata justo judicio eum puniendi acceperit facultatem et ante aevum aeternum ea uti cupiat, in hac vita castigando gaudet et quasi suo ipsius desiderio gratificans Dei voluntatem perficit. Alter vero conditus, ut justorum

1. παρόνοτος O.
2. Vbb. αὐτῇ χρῆσθαι add. ex conjectura.

ὡς ἰδίᾳ χαριζόμενος ἐπιθυμίᾳ τὴν τοῦ θεοῦ βούλησιν ἐκτελεῖ. ὁ δὲ ἕτερος ἐπὶ δικαίων ἐξουσίᾳ χαίρειν [1] δημιουργηθείς, δίκαιον εὑρὼν μεγάλως εὐφραίνεται, σώζων αὐτὸν ἀϊδίῳ ζωῇ, καὶ αὐτὸς δὲ ὡς ἑαυτῷ χαριζόμενος τὴν ὑπὲρ τούτων εἰς θεὸν ἀναφέρει χάριν. ἔξεστι δὲ παντὶ ἀδίκῳ μεταμεληθέντι σώζεσθαι, καὶ παντὶ δικαίῳ ἀνδρὶ ἐπὶ τελευταίας ἁμαρτίας δίκην ὑπέσχειν. πλὴν οἱ δύο ἡγεμόνες οὗτοι ταχεῖαι χεῖρές εἰσι θεοῦ προλαμβάνειν ἐπιθυμοῦσαι, τὸ αὐτοῦ θέλημα ἐπιτελεῖν. ὅτι δὲ τοῦθ' οὕτως ἔχει, εἴρηται καὶ τῷ νόμῳ ἐκ προσώπου τοῦ θεοῦ [2]· ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω, κἀγὼ ἰάσομαι. ἀληθῶς γὰρ ἀποκτείνει [3] καὶ ζωογονεῖ. ἀποκτείνει μὲν διὰ τῆς ἀριστερᾶς, τοῦτ' ἔστι διὰ τοῦ ἐπὶ κακώσει τῶν ἀσεβῶν χαίρειν κραθέντος πονηροῦ. σώζει δὲ καὶ εὐεργετεῖ διὰ τῆς δεξιᾶς, τοῦτ' ἔστι διὰ τοῦ ἐπ' εὐεργεσίᾳ καὶ σωτηρίᾳ δικαίων χαίρειν δημιουργηθέντος [4] ἀγαθοῦ. εἰσὶ δὲ οὗτοι τὰς οὐσίας ἔχοντες οὐκ ἔξωθεν τοῦ θεοῦ· οὐδὲ γὰρ ἔστιν ἑτέρα τις ἀρχή. οὐ μὴν ἀπὸ τοῦ θεοῦ ὡς ζῶα προεβλήθησαν, ὁμόδοξοι γὰρ αὐτῷ ἦσαν· οὔτε συμβεβηκόσιν αὐτομάτως παρὰ τὴν αὐτοῦ βουλὴν γεγονότες, ἐπεὶ τὸ τῆς δυνάμεως αὐτοῦ μέγιστον ἀνῄρητο ἄν. ἀλλὰ ἀπὸ τοῦ θεοῦ μὲν προβέβληνται τὰ πρώτιστα στοιχεῖα τέσσαρα τό τε θερμὸν καὶ ψυχρόν, ὑγρόν τε καὶ ξηρόν. ὅθεν δὴ καὶ πατὴρ τυγχάνει πάσης οὐσίας οὖσης γνώμης τῆς κατὰ τὴν κρᾶσιν· ἔξω γὰρ κραθεῖσιν αὐτοῖς ὡς τέκνον ἡ προαίρεσις ἐγεννήθη. ὁ οὖν πονηρὸς πρὸς τῷ [5]

imperio gaudeat, bono quodam invento magnopere laetatur, eumque vitae aeternae salvat, et ipse vero quasi sibi indulgens amorem erga eos in Deum refert. Attamen quivis injustus converti potest atque salvari, quilibet vir justus peccata commissa poena luere. Hi quidem duo duces veloces Dei manus sunt ad anticipandum promptae, ut ejus voluntatem exsequantur. Quod ita se habere, dictum est etiam in lege ex ipsius Dei persona: Ego occidam et ego vivere faciam; percutiam et ego sanabo. Nam vere occidit et vivificat. Occidit autem sinistra, idest per Malum, qui laetari tenetur impiorum exitio. Vivificat autem et benefacit dextra, id est per bonum, qui ita creatus est, ut beneficentia et salute justorum gaudeat. At hi facultate pollentes non extra Deum existunt; alius enim extra eum principatus est nullus. Neque autem ex Deo ut animalia projecti sunt, cum aequa pollerent potestate ac ille: neque exstiterunt per semetipsos contra illius voluntatem geniti, cum ita summum imperium ei tolleretur. Sed ex Deo quidem projecta sunt priora quatuor elementa, calidum et frigidum, humidum et siccum. Quare etiam pater est cujusvis materiae, ut quae mixtura evenerit secundum ejus sententiam; commixtis enim ipsis consilium extra nascebatur ut fetus. Malus igitur in fine praesentis

1. χάριν O.
2. Deuter. 32, 39.
3. ἀποκτέννει scr. O. Ita et subinde.
4. δημιουργηθέντα O.
5. τὸ O.

τοῦ ἐνεστῶτος κόσμου τέλει ὑπουργήσας ἀμέμπτως τῷ θεῷ, ἅτε δὴ οὐ μιᾶς οὐσίας ὢν τῆς πρὸς κακίαν μονῆς, μετασυγκριθεὶς ἀγαθὸς γενέσθαι δύναται. οὐδὲ γὰρ νῦν κακόν τι ποιεῖ, καί τοι κακὸς ὤν, νομίμως κακουχεῖν εἰληφὼς τὴν ἐξουσίαν.

IV. Ταῦτα τοῦ Πέτρου εἰπόντος, Μιχαίας, καὶ αὐτὸς τῶν ἀκολούθων τις ὤν, ἐπύθετο· πόθεν οὖν τοῖς ἀνθρώποις τὸ ἁμαρτάνειν; καὶ ὁ Πέτρος ἔφη· ἐκ τοῦ ἀγνοεῖν, ὅτι περὶ ὧν πράσσουσι κακῶς, κρί[σεως γε]νομένης πάντως κολασθῆναι ἔχουσιν. ὅθεν καὶ τὴν ἐπιθυμίαν, ὡς ἄλλοτε εἶ[πον], διαδοχὴν βίου ἔχοντες, ταύτην πληροφοροῦσιν, ὡς ἔτυχεν ἡμ[έρων] παίδων φθορᾷ, ἢ ἄλλῃ τινὶ κολακευούσῃ ἁμαρτίᾳ. τῷ γὰρ ἀγνοεῖν, ὅτι κρίνονται, ὡς φθάσας εἶπον, διὰ τὸ ἄφοβον τὴν ἐπιθυμίαν οὐ νομίμως πληροῦν ἐπείγονται. ὥστε οὐχ ὁ θεὸς κακός, ὁ καλῶς θεὶς τὴν ἐπιθυμίαν, ἵνα διαδοχὴ βίου γένηται, ἀλλ' αὐτοὶ ἀσεβέστατοι, οἱ τῷ καλῷ τῆς ἐπιθυμίας χρησάμενοι κακῶς. οὕτω δὴ καὶ ἐπὶ τῆς ὀργῆς ἔστι λογίσασθαι, ὅτι δικαίως μὲν αὐτῇ τις χρησάμενος, ὡς ἔξεστιν, εὐσεβεῖ, παρὰ δὲ τὸ μέτρον ἐξελθὼν καὶ ἑαυτῷ τὴν κρίσιν λαβὼν ἀσεβεῖ.

V. Καὶ ὁ Σοφωνίας πάλιν ἔφη· ἡ μακροθυμία σου, κύριέ μου Πέτρε, παρρησίαν ἡμῖν χαρίζεται, ἀκριβείας χάριν κατὰ πολλὰ πυνθάνεσθαί σου. διὸ θαρροῦντες παντὶ τρόπῳ τὴν ἐξέτασιν ποιούμεθα. μέμνημαι τοίνυν, ὡς χθὲς Σίμων πρὸς σὲ τὴν ζήτησιν ἔχων ἔφη, ὅτι ὁ πονηρός, εἰ ἀπὸ τοῦ θεοῦ γεγέννηται [1], ἀκολούθως τῆς αὐτῆς τῷ προβαλόντι τυγχάνει οὐσίας,

mundi integre coram Deo vivens, cum jam non pertineat ad solam iniquitatis substantiam, instauratus potest bonus fieri. Etenim jam non amplius male agit, quamquam malus est, cum lege facultatem acceperit male agendi.

IV. Quae cum Petrus locutus esset, Michaeas, qui et ipse ex comitum numero erat, interrogavit: Unde igitur fit, ut homines delinquant? Respondit Petrus: Quia ignorant, se pro iis, quae male egerint, in judicio penitus daturos esse poenam. Unde, quemadmodum alias dixi, etiam prolem habentes cupiditati indulgent, ut evenit in occisione tenerorum infantium vel in alio decipiente peccato. Nam, ut modo indicavi, se judicatum iri nescientes, quia nihil est, quod ipsos terreat, properant ad libidini temere atque illicite satisfaciendum. Ideo non Deus injustus est, quippe qui cupiditatem ad vitam propagandam bene ordinaverit; at ipsi sceleratissimi, quippe qui abusi sint eo, quod in cupiditate bonum est. Ita censeri debet etiam de ira; qua qui recte utitur, ut licitum est, non impie agit, sed ultra modum progrediens judicio obnoxius peccat.

V. Iterumque Sophonias excepit: Longanimitas tua, domine mi Petre, nobis animum addit, ob majorem firmitatem de aliis multis te interrogandi. Quare omnino cum fiducia te exploramus. Memini quippe Simonem heri tecum disputantem asseruisse, Malum, si a Deo genitus sit, consequenter esse

1. γεγένηται O.

καὶ ἀγαθὸς ὄφειλεν εἶναι, καὶ οὐχὶ κακός. σὺ δὲ ἀπεκρίνω, μὴ πάντως οὕτως ἔχειν, καθότι πολλοὶ ἐξ ἀγαθῶν κακοὶ γεννῶνται, ὥσπερ ἐκ τοῦ Ἀδὰμ ὁποῖοί τινες ὄντες δύο ἐγεννήθησαν, ὧν ὁ μὲν ἦν κακός, ὁ δ' ἀγαθός. τοῦ δὲ Σίμωνος αἰτιασαμένου, ὅτι ἀνθρωπίνοις ἐχρήσω παραδείγμασιν, ἀπεκρίνω, ὅτι τούτῳ τῷ λόγῳ οὐδὲ τὸ γεννῆσαι θεὸν παραδέξασθαι δεῖ· ἀνθρώπινον γὰρ καὶ τοῦτο τὸ παράδειγμα. ἐγὼ δὲ Σοφωνίας τὸ μὲν γεννῆσαι θεὸν παραδέχομαι, τὸ δὲ κακὸν γεννῆσαι οὐ προσίεμαι, κἂν τῶν ἀνθρώπων οἱ ἀγαθοὶ κακοὺς γεννῶσι. καὶ μή τοι νομίσας με ἀλόγως τῶν ἀνθρώποις διαφερόντων ἔνια μὲν τῷ θεῷ ἀποδιδόναι, ἔνια δὲ οὔ, ἐπειδὴ τὸ μὲν γεννῆσαι δίδωμι, τὸ δὲ ἀνόμοιον αὐτοῦ γεννῆσαι οὐκ ἀποδίδωμι. οἱ μὲν γὰρ ἄνθρωποι κατὰ τὸ εἰκὸς ἀνομοίους ταῖς ἑαυτῶν γνώμαις γεννῶσιν υἱοὺς διὰ τοιαύτην αἰτίαν. ἐκ τεσσάρων γὰρ συνεστῶτες μερῶν κατὰ τὰς διαφόρους τροπὰς διαφόρως τρέπονται τὰ σώματα, ὡς καὶ[1] ἐν ἀνθρωπείῳ σώματι καθ' ἕκαστον καιρὸν τὸ τῆς τροπῆς ἴδιον αὐξανόμενον ἢ ἐλαττούμενον τὴν σύμμετρον κρᾶσιν ἀθετεῖ. τῶν γὰρ συγκραμάτων[2] οὐχ ὡσαύτως ἀεὶ διαμενόντων τὰ σπέρματα ἄλλοτε ἄλλην ἔχοντα κρᾶσιν ἀποκρίνονται, οἷς πρὸς τὴν τοῦ καιροῦ κρᾶσιν καὶ αἱ γνῶμαι ἕπονται εἴτε ἀγαθαί, εἴτε κακαί. ἐπὶ δὲ τοῦ θεοῦ οὐκ ἔστι τι τοιοῦτον λογίσασθαι ἄτρεπτον γὰρ καὶ ἀεὶ ὤν, ὁπ[ότ]αν[3] προβάλλειν βουληθείη, ἀνάγκη πᾶσα τὸ προβαλλόμενον αὐτῷ ὡσαύτως [εἶναι] τὰ πάντα τῷ γεγεννηκότι, τήν τε

debere ejusdem essentiae ac genitorem, ideoque bonum, neque malum. Ac tu respondisti, nequaquam rem ita sese habere, cum multi ex bonis gignerentur mali, sicuti ex Adam duo exstitissent, alter bonus, alter malus. Simoni autem arguenti, te exemplis uti humanis, respondisti, neque illud, Deum gignere, eo modo esse admittendum, quippe quod exemplum et ipsum sit humanum. Ego autem Sophonias Deum gignere admitto, malum gignere eum non concedo, etiamsi inter homines boni gignant malos. Nec tamen credo, me absurde alia eorum, quae hominum sint, Deo attribuere, alia non, cum alterum, gignere, concesserim, non ita alterum, dispari modo gignere. Nam homines liberos ut par est dissimiles ipsorum consiliis hanc ob causam procreant. Cum quatuor partibus componantur, secundum varia anni tempora varie eorum corpora vertuntur, ita ut in corpore humano secundum quodvis tempus id, quod anni tempori proprium sit, crescat aut decrescat congruentem mixturam delens. Nam semina temperatorum non semper ita permanentium alias aliter commixta segregantur, eaque secundum temporis mixtionem et consilia sequuntur sive bona sive mala. At talc quid de Deo non est statuendum. Nam cum immutabilis sit atque aeternus, quando creare vult, procreatum ejusdem modi ac creatorem esse oportet, quod ad substantiam scilicet et mentem.

1. καὶ ὡς p. ὡς καὶ O.
2. Ita ad oram Cod., συγγραμάτων in textu.
3. ὅπ' (sic) seq. lacuna O. Fortasse scribendum ὅπη ἂν vel ὅπως ἄν.

www.libtool.com.cn

οὐσίαν λέγω καὶ τὴν γνώμην. εἰ[δὲ θελήσ]ειε τις καὶ αὐτὸν τρεπτὸν λέγειν, οὐκ οἶδα, πῶς καὶ ἀθάνατον εἰπεῖν δύναται αὐτόν.

VI. Ταῦτα ὁ Πέτρος ἀκούσας καὶ βραχὺ ἐπὶ συννοίας γενόμενος ἔφη· οὐκ οἶμαι, τινὰ δύνασθαι περὶ πονηροῦ διαλεγόμενον μὴ αὐτοῦ τοῦ πονηροῦ τὸ θέλημα ποιεῖν. ὅθεν τοῦτο αὐτὸ εἰδὼς οὐκ οἶδα, τί πράξω, πότερον σιωπήσω ἢ λαλήσω. εἰ μὲν σιωπήσαιμι, γέλωτα πρὸς τοὺς πολλοὺς ὀφλήσαιμι ἄν, ὅτι ἀλήθειαν ἐπαγγελλόμενος κηρύσσειν τὸν περὶ κακίας λόγον ἀγνοῶ· εἰ δὲ εἴποιμι, φοβοῦμαι, μὴ ἄρα οὐκ ἀρέσκῃ θεῷ ζητεῖσθαι τὸ κακόν, ἀλλὰ τὸ ἀγαθὸν μόνον. πλὴν καὶ ὑμῖν εἰς τὸν Σοφωνίου λόγον τὰς ἐμὰς ὑπολήψεις ποιήσω φανερωτέρας. συντίθεμαι καγώ, ὅτι οὐ πάντα τὰ ἀνθρώπων ἀποδιδόναι δεῖ τῷ θεῷ. αὐτίκα γοῦν οἱ ἄνθρωποι οὐκ ἔχοντες τὰ σώματα τρεπτὰ οὐ τρέπονται, ἀλλὰ χρόνῳ ὑπὸ τῶν τροπῶν ἀλλοιοῦσθαι φύσιν ἔχουσιν. ὁ δὲ θεὸς οὐχ οὕτως· ὑπὸ γὰρ τοῦ ἐμφύτου πνεύματος αὐτοῦ ἀπορρήτῳ δυνάμει, ὁποῖον ἂν βούληται, γίνεται τὸ σῶμα. καὶ ταύτῃ μᾶλλον ἔστι πιστεῦσαι, ᾗ καὶ ὁ ἀὴρ παρ' αὐτοῦ τοιαύτην εἰληφὼς φύσιν ὑπὸ τοῦ αὐτὸν διήκοντος ἀσωμάτου νοῦ εἰς δρόσον τραπεὶς καὶ παχυνθεὶς γίνεται ὕδωρ, ὕδωρ δὲ παγὲν λίθοι καὶ γῆ, καὶ λίθοι δὲ συρρήξαντες πῦρ ἐξάπτουσιν. τοιοῦτον κατὰ μεταβολὴν καὶ τροπὴν ὁ ἀὴρ ὕδωρ τὰ πρῶτα γεγονὼς εἰς πῦρ ἔληξε διὰ τῶν τροπῶν, καὶ τὸ ὑγρὸν εἰς τὴν ἐναντίαν φύσιν μετετράπη. τί δέ; οὐχὶ καὶ τὴν Μωϋσέως [1]

Sed si quis eum quoque mutabilem dicere velit, haud sane intelligo, quomodo eum immortalem affirmare queat.

VI. Quibus auditis cum Petrus paululum cogitabundus sedisset, respondit: Non credo, posse aliquem de Malo loqui, nisi faciat simul Mali voluntatem. Quare, cum hoc ipsum sciam, dubito, quid faciam, utrum sileam an loquar. Si enim taceam, risum apud multos moveam, ut qui, veritatem me explicaturum professus, de malitia loqui nesciam; sin loquar, timeo ne Deo displiceat disquisitio de malo instituta, quippe cui non nisi disquisitio de bono placeat. Attamen quae ad Sophoniae interrogationem respondi, etiam clarius vobis explicabo. Ego quoque concedo, non omnia, quae hominum sint, Deo esse attribuenda. Jam quidem homines, quibus corpora immutabilia sunt, non mutantur, sed indolem habent cum anni tempore variandi. At non ita Deus; nam illius spiritu ei innato arcana vi corpus fit, quale ipse vult. Quod eo magis credendum, cum aër per eum, id est per incorpoream mentem in eum difusam, facultatem acceperit, ut in liquorem versus et concretus aqua fiat, aqua autem concreta mutetur in lapides et terram, et lapides confricti ignem accendant. Hoc modo aër post translationem et commutationem primum quidem aqua factus per conversiones cessabat in ignem, et humidum in contrariam naturam mutabatur. Quid vero? Nonne Deus etiam Moysis virgam in

1. μωῦσίος O.

www.libtool.com.cn

ῥάβδον ὁ θεὸς ἔτρεψεν εἰς ζῶον. ποιήσας ὄφιν, ὃν πάλιν μετέστρεψεν εἰς ῥάβδον; καὶ δι' αὐτῆς δὲ τῆς τραπείσης ῥάβδου τὸ Νείλου ὕδωρ ἔτρεψεν εἰς αἷμα, ὃ καὶ πάλιν μετέστρεψεν εἰς ὕδωρ. ἀλλὰ καὶ τὸν ἄνθρωπον, χοῦν ὄντα, ἐμφυσήματι πνοῆς μετέστρεψεν εἰς σάρκα, καὶ πάλιν μετέστρεψεν εἰς χοῦν. οὐχὶ δὲ Μωϋσῆς αὐτὸς σὰρξ ὢν εἰς μέγιστον ἐτράπη φῶς, ὡς μὴ δυνηθῆναι τοὺς υἱοὺς Ἰσραὴλ ἀντιβλέψαι αὐτῷ; πολλῷ οὖν μᾶλλον ὁ θεὸς ἑαυτὸν τρέπειν, εἰς ὃ βούλεται, δυνατώτατός ἐστιν.

VII. Ἀλλ' ἴσως τις ὑμῶν ἐνόησεν, ὅτι ἄλλος μὲν ὑπ' ἄλλου γενέσθαι τι δύναται, αὐτὸς δέ τις ἑαυτόν, εἰς ὃ βούλεται, μετατρέπειν οὐ δύναται, καὶ ὅτι τὸ τρέπεσθαι τοῦ γηρῶντός ἐστι καὶ ἀποθανεῖν [φύσιν] ἔχοντος, ἀλλὰ περὶ ἀθανάτων τοῦτο οὐ χρὴ νομίζειν. ἦ γὰρ οὐκ ἄγγελοι ἀήρως[1] [ὑπάρχοντες] καὶ πυρώδους οὐσίας εἰς σάρκα μετετράπησαν, καὶ οἱ παρὰ τῷ Ἀβραὰμ [ξενι]σθέντες, ὧν καὶ τοὺς πόδας ὡς ὁμοουσίων ἀνθρώπων ἄνθρωποι ἔνιψαν; ἀλλὰ καὶ τῷ Ἰακὼβ ἀνθρώπῳ ὄντι ἄγγελος ἐπάλαισεν εἰς σάρκα τραπείς, ἵνα αὐτῷ συγχρωτισθῆναι δυνηθῇ. καὶ ὁμῶς παλαίσας ἐπὶ τὴν ἰδίαν αὐτοῦ φύσιν βουληθεὶς ἐτράπη. ἤδη εἰς πῦρ μεταβαλλόμενος τοῦ Ἰακὼβ[2] τὸ πλατὺ νεῦρον οὐκ ἔκαυσε μέν, ἔφλεξε δὲ καὶ χωλὸν ἐποίησεν. ὁ δὲ ἕτερον τι γενέσθαι, ὅ,τι θέλει, μὴ δυνάμενος, ὡς ὑποκείμενος τῇ αὐτοῦ φύσει, θνητός ἐστιν· δυνάμενος δέ τις γενέσθαι, ὅτε θέλει, ὃ θέλει, ὡς αὐτῆς τῆς φύσεως δεσποτεύων, εἰς τὸ νεάζειν ὑποστρέφων ἀθάνατός ἐστιν. ὅθεν πολὺ μᾶλλον ἡ τοῦ θεοῦ δύναμις, ὅτε θέλει

animal vertit, serpentem faciens, quem iterum in virgam mutavit? Et ipsa illa virga aquam Nili convertit in sanguinem, quem redire fecit in aquam. Sed hominem quoque, qui limus erat, spiritu inflato in carnem vertit, quam iterum mutavit in limum. Sed nonne et Moyses, qui caro erat, in maximum permutatus est ignem, ita ut filii Israelis eum adspicere non possent? Multo magis igitur Deus semetipsum mutare in quodcumque ei placet potentissimus est.

VII. At fortassis vestrum aliquis existimat, alium quidem fieri aliquid posse per alium, sed ipsum in quodlibet se convertere non valere, esseque etiam commutari senescentis et morti obnoxii, id quod non censendum sit de immortalibus. Nonne enim Angeli quoque perennes atque igneae substantiae caro facti ab Abrahamo hospitio excepti sunt, quorum vel pedes ut ejusdem hominum essentiae homines lavabant? Sed etiam cum Jacobo, qui homo erat, Angelus luctabatur, in carnem commutatus, ut posset cum eo conversari. Similiter postquam luctatus erat, ex voluntate sua propriam iterum induit naturam. Jam vero in ignem transformatus Jacobi nervum femoris non quidem combussit, sed inflammavit claudumque fecit. Attamen is, qui ex voluntate aliud fieri nequit, utpote subditus ipsius naturae, mortalis est; sed qui suae ipsius naturae imperans potis est fieri quidquid et quandocumque vult, ita ut

1. Codicis scripturam ἀήρως mutare nolui. 2. ἰακὼν O.

www.libtool.com.cn

τοῦ σώματος τὴν οὐσίαν εἰς ὃ θέλει μετατρέπει καὶ ὁμοούσιον μὴ παρούσῃ τροπῇ προβάλλει, ἰσοδύναμον δὲ οὔ. ὅτι ὁ μὲν προβάλλων καὶ εἰς ἑτέραν οὐσίαν τραπέντα πάλιν ἐφ' ἑαυτὸν τρέπειν δύναται[1], ὁ δὲ προβληθεὶς τῆς ἐξ ἐκείνου τροπῆς τε καὶ τέκνον ὑπάρχων ἄνευ τοῦ προβάλλοντος βουλῆς ἄλλο τι γενέσθαι οὐ δύναται, εἰ μὴ ἐκεῖνος θέλει.

VIII. Ταῦτα τοῦ Πέτρου εἰπόντος Μιχαίας[2], καὶ αὐτὸς εἷς ὢν τῶν ἑπομένων ἑταίρων, ἐβουλόμην, ἔφη, καὶ αὐτὸς μαθεῖν παρὰ σοῦ, εἰ ὥσπερ ὁ πονηρὸς γέγονεν, οὕτω γεγένηται καὶ ὁ ἀγαθός. εἰ δὲ ὁμοίως γεγόνασιν, ἀδελφοὶ εἶναί μοι δοκεῖ. καὶ ὁ Πέτρος· οὐχ ὁμοίως γεγόνασιν, εἴπερ μέμνησαι, ὧν ἐν ἀρχῇ εἶπον, ὅτι τοῦ πονηροῦ ἡ τετραγενὴς τοῦ σώματος οὐσία πεφυλακρινημένη ὑπὸ τοῦ θεοῦ προεβλήθη, ἔξω δὲ αὐτῆς κατὰ τὴν τοῦ προβαλόντος βουλὴν ἐκράθη[3] πρὸς τὴν κρᾶσιν ἡ κακοῖς χαίρουσα προαίρεσις. ὡς νοεῖν, ὅτι θεοῦ μὲν τέκνον ἡ τετραγενὴς ἐξ αὐτοῦ προβληθεῖσα οὐσία, ἡ καὶ αὐτὴ οὖσα ἀεί. διὰ τί[4] δὲ ἔξω ὑπ' αὐτοῦ κραθεῖσης οὐσίας ἡ συμβεβηκυῖα κακοῖς χαίρουσα προαίρεσις ἐπεγίνετο; καὶ οὔτως οὔτε ὑπὸ τοῦ θεοῦ γεγέννηται, οὔτε ὑφ' ἑτέρου τινός, ἀλλ' οὔτε[5] ὑπ' αὐτοῦ προβέβληται, οὔτε αὐτομάτως προελήλυθεν, οὔτε ἀεὶ ἦν, ὡς ἡ πρὸ τῆς συγκράσεως οὐσία, ἀλλὰ κατὰ τὴν τοῦ θεοῦ βούλησιν ἔξω τῇ κράσει

novus eveniat, est immortalis. Quare multo magis Dei potestas essentiam corporis quando et in quodcumque vult convertit, et similis substantiae, non autem aequae, commutatione peracta procreat. Ita creator et in aliam essentiam commutata in se revertere potest, cum ex illius mutatione filius progenitus sine creatoris voluntate aliud quid fieri non possit, nisi ille annuat.

VIII. Haec cum Petrus dixisset, Michaeas, et ipse ex comitum numero unus: Velim, inquit, a te discere, num etiam Bonus eodem modo genitus sit, quo Malus: si enim aequo modo facti fuerint, fratres mihi esse videntur. Respondit Petrus: Non geniti fuerunt simili modo, si me ab initio dixisse recordaris, Mali quadruplicem substantiam corporis secundum genera divisam a Deo procreatam, sed extra eam secundum creatoris voluntatem ad mixtionem consilium malis gaudens esse temperatum. Ac ita statuendum, substantiam quadruplicem ex Deo prolatam ejus quidem esse creaturam, et ipsam sempiternam. Cur autem extra essentiam ab eo temperatam congrediens propositum malis gaudens postea gignebatur? Et hac quidem ratione neque a Deo, neque ab alio quodam creatum, sed ne ex eo quidem prolatum, neque sponte progressum est, neque semper fuit, uti ante mixtionem essentia, sed mixtura secundum Dei voluntatem extra exstitit. Quae quidem ita sese habeant oportere,

1. ὅτι ὁ μὲν προβάλλων καὶ εἰς ἑτέραν πάλιν οὐσίαν ἐφ' ἑαυτὸν τραπέντα δύναται O.

2. Cfr. supra c. 4. Haud dubie aliud nomen reponendum est ex illis, quae habes Hom. II, c. 1.

3. κραθείσῃ O.

4. εἰς p. διὰ τί O.

5. οὐ δὲ p. οὔτε O.

www.libtool.com.cn

συμβέβηκεν. καὶ ὅτι ἀνάγκη τοῦθ' οὕτως ἔχειν, πολλάκις εἰρήκαμεν. ὁ δὲ ἀγαθὸς ἐκ τῆς τοῦ θεοῦ καλλίστης τροπῆς γεννηθεὶς καὶ οὐκ ἔξω κράσει συμβεβηκὼς τῷ ὄντι υἱός ἐστιν. πλὴν ἐπεὶ ταῦτα ἄγραφα τυγχάνει καὶ στοχασμοῖς πεπιστωμένα, μὴ πάντως ἡ[μῖν] οὕτως ἔχειν βεβαιούσθω. εἰ δὲ μή γε, ὁ νοῦς ὡς πάντως προειληφὼς [τὸ ἀληθ]ὲς τοῦ ζητεῖν παύεται. κἀκεῖνά μοι μνημονεύεται[1], ὅτι τὰ τοιαῦτά [μὲ πᾶσι]ν οὐ δεῖ λέγειν, ἀλλὰ τοῖς μετὰ πεῖραν δοκιμωτάτοις. οὐ δὲ πρὸς ἀλλήλους ῥᾳδίως ἰσχυρίζεσθαι δεῖ τὰ τοιαῦτα, οὐδὲ τολμᾶν ὀφείλετε λέγειν ὡς ἀκριβοῦντες τὴν τῶν ἀπορρήτων εὕρεσιν, ἀλλὰ σιωπῶντας χρὴ ἐνθυμεῖσθαι μόνον· ἐν γὰρ τῷ λέγειν ἴσως οὐχ ὡς ἔχων[2] ὁ φθεγξάμενος ἁμαρτήσεται, καὶ δίκην ὑφέξει ὡς τολμήσας, κἂν πρὸς ἑαυτόν, φθέγξασθαι τὰ σιγῇ τετιμημένα.

IX. Ταῦτα τοῦ Πέτρου εἰπόντος, Λάζαρός τις τῶν ἀκολούθων καὶ αὐτὸς ἔφη· τὴν συμφωνίαν ἡμῖν εἰπέ· πῶς δυνατόν, εὔλογον εἶναι, τὸν ὑπὸ θεοῦ δικαίου κατασταθέντα πονηρὸν ὥστε τῶν ἀσεβησάντων εἶναι τιμωρόν, τοῦτον αὐτὸν ὕστερον μετὰ τῶν αὐτοῦ ἀγγέλων σὺν τοῖς ἁμαρτωλοῖς εἰς τὸ σκότος τὸ κατώτερον πέμπεσθαι; καὶ γὰρ καὶ τοῦτο μέμνημαι εἰρηκότος αὐτοῦ τοῦ διδασκάλου[3]. καὶ ὁ Πέτρος· κἀγώ, ἔφη, ὁμολογῶ, ὅτι ὁ πονηρὸς πονηρὸν οὐδὲν ποιεῖ κατὰ τοῦτο, καθὸ τὸν δοθέντα αὐτῷ νόμον ἐκτελεῖ. καί τοι προαίρεσιν ἔχων κακήν, ὅμως φόβῳ τῷ πρὸς τὸν θεὸν οὐδὲν ἀδίκως πράσσει· διαβάλλων δὲ διδασκάλους ἀληθείας εἰς ἐνέδραν τῶν ἀκρίτων καὶ διάβολος ὁ αὐτὸς ὀνομάζεται. τὸ δὲ τὸν ἀψευδῆ διδάσκαλον

saepe affirmavimus. Sed Bono ex optima Dei commutatione nato, nec extra existenti mixtione, filium esse contingit ei, qui est. Verum haec cum scripta non sint, sed non nisi conjecturis confirmata, haud plane ea ita se habere a nobis comprobetur. Nam alias mens ea, quae jam omnino praeoccupavit, perquirere cessaret. Atque praeterea memini, hujusmodi res non omnibus, sed solis experientia probatissimis mihi esse revelandas. Neque sine difficultate de iis mutuo aliquid affirmetis, neque audeatis pronuntiare cum certitudine ineffabilium cognitionem, sed in silentio tantum remanete cogitabundi. Nam inter loquendum forsan is, qui loquitur, peccat inscitia, poenamque dabit, cum, etiamsi ad semetipsum, pronuntiaverit silentio veneranda.

IX. Quae cum Petrus dixisset, Lazarus, qui et ipse erat unus ex comitibus: Dic nobis, inquit, quomodo haec consentiant: qui rationi consentaneum esse potest, Malum ipsum a Deo justo ad impios vindicandos constitutum postea inter angelos suos cum peccatoribus in infimas tenebras mitti? Namque et hoc ipsum magistrum asseruisse memini. Tum Petrus: Et ego, inquit, affirmo Malum nihil mali facere, quatenus perficit, quae ei jussa sunt. Quamvis ad mala inclinet, nihilominus timore Dei nihil mali facit; sed quia magistros veritatis ad incautos decipiendos calumniatur, et ipse appellatur diabolus. Quod

1. μνημονεύετε O.
2. ἴχον O.
3. Cf. Matth. 25, 41.

www.libtool.com.cn

ἡμῶν εἰπεῖν, αὐτόν τε καὶ τοὺς ἀγγέλους αὐτοῦ σὺν τοῖς ἀπατηθεῖσιν ἁμαρτωλοῖς εἰς τὸ σκότος τὸ κατώτερον ἀπελθεῖν, τοιοῦτόν τινα ἔχει λόγον. ὁ πονηρὸς σκότῳ χαίρειν κατὰ τὴν κρᾶσιν[1] γεγονώς, μετὰ τῶν ὁμοδούλων ἀγγέλων εἰς τὸ τοῦ Ταρτάρου σκότος κατελθὼν ἥδεται· φίλον γὰρ πυρὶ τὸ σκότος. αἱ δὲ τῶν ἀνθρώπων ψυχαὶ φωτὸς καθαροῦ σταγόνες οὖσαι, ὑπὸ ἀλλοφύλου πυρὸς οὐσίας συμπινόμεναι καὶ φύσιν τοῦ ἀποθανεῖν οὐκ ἔχουσαι, κατ' ἀξίαν κολάζονται. εἰ δὲ ὁ τῆς κακίας ἡγεμὼν ἄνθρωπος ὢν οὐ πέμπεται εἰς τὸ σκότος ὡς μὴ τούτῳ χαίρων, τότε οὐ δύναται[2] ἡ κακοῖς αὐτοῦ χαίρουσα κρᾶσις μετασυγκριθῆναι εἰς ἀγαθοῦ προαίρεσιν. καὶ οὕτως ἀγαθὸς συνεῖναι κριθήσεται ταύτῃ μᾶλλον, ὅτι, κακοῖς χαίρουσαν λελογχὼς κρᾶσιν, αἰτίᾳ τοῦ πρὸς τὸν θεὸν φόβου οὐδὲν παρὰ τὸ δοκοῦν τῷ τοῦ θεοῦ νόμῳ διεπράξατο. καὶ μήτι γε τὸ τὴν τοῦ ἀρχιερέως Ἀαρὼν ῥάβδον γενέσθαι ὄφιν καὶ πάλιν ἀντιτραπῆναι εἰς ῥάβδον, τοῦτο εἰς τὴν τοῦ πονηροῦ ὕστερον γεννησομένην τῆς τροπῆς μετασύγκρασιν[3] μυστηριωδῶς ἡ γραφὴ ἐσομένην προεδήλωσεν;

X. Μετὰ δὲ τὸν Λάζαρον Ἰωσήφ, ὃς καὶ αὐτὸς εἷς τῶν ἀκολούθων, ἔφη· ὀρθῶς πάντα εἴρ[ηκας]. κἀμοὶ τοῦτο βουλομένῳ μαθεῖν παράσχου· διὰ τί πᾶσι τῶν αὐτῶν λόγων [μεταδίδως]; οἱ μὲν πείθονται, οἱ δὲ ἀπειθοῦσιν. καὶ ὁ Πέτρος· οὐ γάρ εἰσιν, ἔφη, οἱ λόγοι ἐπῳδαί, ἵνα πάντως

autem verax noster magister dixit, illum atque angelos suos cum seductis peccatoribus in infimas tenebras abire, ita intelligendum est. Malus secundum mixtionem ita creatus, ut tenebris gaudeat, cum angelis conservis in Tartarum descendens laetatur; nam igni gratae sunt tenebrae. Sed hominum animae, quae puri luminis stillae sunt, ignis quidem essentia alius generis absorptae, immunes tamen naturae moriundi, secundum quod meruerunt puniuntur. Si autem malitiae dux ut homo non mitteretur in tenebras, ac si eis non gauderet, mixtio ejus malis gaudens in boni consilium converti non posset. Et ita bonus ibi interesse eo magis judicabitur, cum mixtionem malis gaudentem nactus propter timorem Dei nihil contra ejus legem perfecerit. Ac nonne commutatione virgae summi sacerdotis Aaronis in serpentem et reversione ejus in virgam scriptura mystice praesignificavit, spectare eam ad futuram Mali conversionis commistionem?

X. Post Lazarum Joseph, et ipse unus comitum, dixit: Recte omnino locutus es. Et mihi discere cupienti hoc explica: cur eosdem omnibus sermones impertiris, cum aliis quidem persuadeatur, alii autem non credant? Et Petrus: Sermones, inquit, haud sane incantamenta sunt, quibus, qui audit,

1. χαίρουσαν τὴν κρᾶσιν p. χαίρειν ρων, τότε οὐ δύναται O. κατὰ τὴν κρᾶσιν O.
2. χαίρων. τὸ δέ, δύναται p. χαί-
3. Malim μετασύγκρισιν.

ἀκούσας τις πιστεύσῃ. τῷ δέ τινας μὲν πείθεσθαι, τινὰς δὲ μή, συνετῶς δείκνυται τὸ αὐτεξούσιον. ταῦτα εἰπόντα οἱ πάντες εὐλογήσαμεν.

XI. Καὶ δὴ μέλλουσιν ἡμῖν ἐστιᾶσθαι ὑπεισέδραμέ τις λέγων· Ἀππίων ὁ πλειστονίκης σὺν Ἀννουβίωνι ἦκεν ἀρτίως ἀπὸ Ἀντιοχείας, καὶ ξενίζεται παρὰ Σίμωνι. ὁ δὲ πατὴρ ἀκούσας καὶ χαρεὶς ἔφη Πέτρῳ· εἴ μοι ἐπιτρέπεις, πορεύομαι προσαγορεύσων Ἀππίωνα καὶ Ἀννουβίωνα ἐκ πρώτης ἡλικίας φίλους μοι γεγενημένους. τυχὸν γὰρ Ἀννουβίωνα πείσω, Κλήμεντι διαλεχθῆναι περὶ γενέσεως. καὶ ὁ Πέτρος· ἐπιτρέπω, ἔφη, καὶ ἐπαινῶ τὰ φίλων τε πληροῦντα μέρη. πλὴν ἐννόει μοι, ὡς κατὰ πρόνοιαν θεοῦ πανταχόθεν συντρέχει τὰ πρὸς τὴν σὴν πληροφορίαν οἰκείαν ἀποτελοῦντα τὴν ἁρμονίαν. τοῦτο δὲ εἶπον διὰ τὴν Ἀννουβίωνος χρησίμως σοι γενομένην ἐπιδημίαν. καὶ ὁ πατήρ· ἀληθῶς συνορῶ τοῦτο ἔχον. καὶ ταῦτα εἰπὼν ἐπορεύθη πρὸς Σίμωνα [1].

XII. Ἡμεῖς δὲ οἱ συνόντες τῷ Πέτρῳ δι' ὅλης νυκτὸς ἐπαλλήλως πυνθανόμενοι ὑπό τε ἡδονῆς καὶ χαρᾶς τῶν λεγομένων νήφοντες ἐνυκτερεύσαμεν. ἤδη δέ πως νυκτὸς ὑπαυγαζομένης, Πέτρος ἐμβλέψας ἐμοί τε καὶ τοῖς ἀδελφοῖς μου ἔφη· διαπορῶ, τί ἔδοξε τῷ ὑμετέρῳ πατρί. καὶ λέγοντος τοῦτο ἦκεν ὁ πατὴρ αὐτόθι, τὸν Πέτρον ἡμῖν περὶ αὐτοῦ διαλεγόμενον καταλαβών· καὶ ἀθυμοῦντα ἰδὼν προσαγορεύσας ἀπελογήσατο, δι' ἣν αἰτίαν ἔξω κεκοίμηται. ἡμεῖς δὲ ἐμβλέποντες αὐτῷ ἐξεστήκειμεν, τὸ εἶδος Σίμωνος ὁρῶντες, φωνῆς δὲ τοῦ πατρὸς ἡμῶν ἀκούοντες Φαύστου. καὶ

omnino credat necesse est. Quod aliis persuadetur, aliis non, manifestam probat arbitrii libertatem. Haec elocuto nos omnes benediximus.

XI. Et cum nos ad edendum praepararemus, ingressus est quidem nuntians: Appion plistonices cum Annubione nuper Antiochia venit, hospesque receptus est a Simone. Quibus auditis pater gavisus Petro dixit: Si mihi permittis, ibo salutatum Appionem et Annubionem, quippe qui a prima aetate fuerint mihi amici. Fortasse etiam Annubioni persuadebo, ut de genesi cum Clemente disputet. Ei Petrus: Permitto, inquit, et laudo, amici officio te velle satisfacere. Verumtamen reputa, quomodo ex Dei providentia ad plenam persuasionem tuam harmonice perficiendam omnia undique concurrant. Hoc autem dico, quia Annubionis adventus tibi expedit. Et pater: Rem ita sese habere et ego profecto video. Quibus dictis ad Simonem profectus est.

XII. Nos autem, qui cum Petro eramus, continuo interrogando ob voluptatem atque suavitatem dictorum totam noctem vigiles permansimus. Et cum jam auroresceret, Petrus me ac fratres meos intuens dixit: Haesito, quid patri vestro visum sit. Hoc Petro dicenti pater intervenit, repperitque eum nobis de se loquentem. Quem cum moerentem videret, post salutationem ad se ipsum excusandum exposuit, quam ob causam foris dormisset. Nos vero eum intuentes expavimus, vultum quidem Simonis videntes, vocem autem Fausti

1. „Ad Anubionem“ Ruf. Recogn. X, 52.

δὴ φευγόντων ἡμῶν αὐτὸν[1] καὶ στυγούντων ἐξεπέπληκτο ὁ πατὴρ ἐπὶ τῷ οὕτως ἀπηνῶς καὶ ἐχθρῶς αὐτῷ χρῆσθαι. μόνος δὲ Πέτρος τὴν κατὰ φύσιν αὐτοῦ ὁρῶν μορφὴν πρὸς ἡμᾶς ἔφη· τίνος ἕνεκα βδελυσσόμενοι ἀπωθεῖσθε τὸν ὑμέτερον πατέρα; ἡμεῖς δὲ καὶ ἡ μήτηρ ἔφαμεν· Σίμων ἡμῖν οὗτος φαίνεται φωνὴν ἔχων τοῦ ἡμετέρου πατρός. καὶ ὁ Πέτρος ἔφη· ὑμῖν μὲν ἡ ἀμιάγητος αὐτοῦ φωνὴ μόνη γνώριμός ἐστιν, ἐμοῦ δὲ τοῖς ἀμιαγήτοις ὀφθαλμοῖς καὶ τὸ εἶδος αὐτοῦ ὡς ἔστιν ὁρατόν, ὅτι μή ἐστι Σίμων, ἀλλὰ Φαῦστος ὁ ὑμέτερος πατήρ. τότε δὴ προσεμβλέψας καὶ τῷ πατρὶ ἔφη· [ἴδι]όν σου εἶδος αὐτοῖς οὐ φαίνεται, ἀλλὰ Σίμωνος τοῦ ἀσεβεστάτου καὶ ἡμῖν [ἐχθίστου].

XIII. Ταῦτα τοῦ Πέτρου διαλεγομένου ἐπεισῆλθε τις τῶν προόδων ἀπὸ τῆς Ἀντιοχείας [ὑποστραφείς] λέγων Πέτρῳ· εἰδέναί σε θέλω, κύριέ μου, ὅτι Σίμων ἐν τῇ Ἀντιοχείᾳ δημοσίᾳ πολλὰ τεράστια ποιῶν μάγον σε[2] ὀνομάζων καὶ γόητα καὶ πρὸς τοσοῦτον αὐτοὺς μῖσος παρεσκεύασεν, ὡς γλίχεσθαι πάντα ἄνθρωπον τῶν[3] ἐκεῖ ἐπιδημησάντων σαρκῶν αὐτῶν ἀπογεύσασθαί σου. ὅθεν ἡμεῖς οἱ πρόοδοι μετὰ τῶν ὑπὸ σοῦ τῷ Σίμωνι ὑποβεβλημένων ἀδελφῶν ἡμῶν, πολὺ κατὰ σοῦ βρύχουσαν τὴν πόλιν ἑωρακότες, κρύφα εἰς τὸ αὐτὸ γενόμενοι σκοποῦμεν[4], τί χρὴ ποιεῖν. καὶ δὴ ἐν ἀπορίᾳ ἡμῶν ὄντων ἐπεδήμησε Κορνήλιος ἑκατόνταρχος, ὑπὸ Καίσαρος πεμφθεὶς πρὸς τὸν τῆς ἐπαρχίας ἡγούμενον, ὃν ἐν Καισαρείᾳ δαιμονῶν

patris nostri audientes. Et cum eum fugeremus atque exhorresceremus, obstupuit pater, quod tam austere ac inimice cum eo ageremus. Solus autem Petrus formam ejus naturalem vidit nobisque dixit: Cur execrantes refugitis a patre vestro? Cui nos una cum matre respondimus: Simon iste nobis esse videtur, vocem habens patris nostri. Et Petrus dixit: Vobis quidem vox ejus praestigiis non mutata sola cognoscitur; verum oculis meis non fascinatis vultus quoque, qualis est, apparet, non Simonis, sed Fausti patris vestri. Tum jam patrem respexit eique dixit: Propria facies illis in te non apparet, sed Simonis protervissimi nobisque inimicissimi.

XIII. Haec Petro loquente advenit quidam ex iis, qui Antiochiam praemissi fuerant, eique dixit: Scire te volo, mi domine, Simonem, Antiochiae publice multa prodigia edentem, magum te appellare ac praestigiatorem, incolasque ad tantum excitasse odium, ut quivis desiderio anhelet vel carnibus tuis vescendi. Quapropter nos, praemissi cum fratribus nostris Simoni a te adjunctis, cum civitatem vehementer contra te commotam videremus, occulte convenimus, quid fieri oporteret considerantes. Et cum incerti haesitaremus, Cornelius centurio, quem Caesareae Dominus a daemone liberavit, ab Imperatore

1. Ita scripsi c. Ruf. X, 53, αὐτῶν O.
2. τὲ O.
3. τὴν O.
4. σκοποῦ καὶ O, in quo subinde repetuntur vbb. πολὺ κατὰ σοῦ βρύχουσαν.

www.libtool.com.cn

τα ἰάσατο ὁ κύριος. οὗτος μεταπεμφθεὶς ὑφ' ἡμῶν κρύφα καὶ τῆς ἀθυμίας τὴν αἰτίαν παρ' ἡμῶν μαθὼν καὶ βοηθεῖν ἀξιωθεὶς προθυμότατα ὑπέσχετο φοβήσας φυγαδεύειν αὐτόν, ἐάν γε αὐτοῦ τῷ ἐγχειρήματι ὑπουργήσωμεν. ἡμῶν δὲ ἑτοίμως πάντα ποιήσειν ὑποσχομένων ἔφη· ἐμοῦ διὰ πολλῶν φίλων κρύφα εἰς σύλληψιν αὐτοῦ ἐληλυθέναι περισκοποῦντος καὶ ζητεῖν αὐτὸν φάσκοντος, καθότι Καῖσαρ πολλοὺς μάγους ἀνελὼν καὶ τὰ κατ' αὐτὸν μαθὼν ἐμὲ ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἔπεμψεν, ὅπως καὶ αὐτὸν ὡς καὶ τοὺς πρὸ αὐτοῦ μάγους κολάσῃ. καὶ οἱ ὑμέτεροι οἱ συνόντες αὐτῷ ὡς δὴ κρύφα ποθὲν ἀκηκοότες προσαναφερέτωσαν, ὡς ἐμοῦ ἕνεκα τοῦ συλλαβεῖν αὐτὸν ἀπεσταλμένου. καὶ τυχὸν ταῦτα [1] ἀκούσας φοβηθεὶς φεύξεται. ἐπεὶ τοίνυν ἕτερόν τι ποιεῖν ἐπενοήσαμεν, ὅμως οὕτως ἐγένετο. ὑπό τε γὰρ πολλῶν τῶν ἔξω εἰς τὰ μεγάλα αὐτῷ χαριζομένων λάθρα λεγόντων, ἔτι δὲ καὶ τῶν ἔνδον ὑποβλητῶν ἡμετέρων ἀκηκοὼς καὶ ὡς παρ' ἰδίων γνώμην εἰληφὼς ὑποστέλλεσθαι ἔγνω. ἀποδρὰς οὖν τῆς Ἀντιοχείας μετὰ Ἀθηνοδώρου ἐνθάδε ἐλήλυθεν, ὡς ἀκηκόαμεν. διὸ συμβουλεύομέν σοι μήπω ἐπιβῆναι τῆς πόλεως ἐκείνης, μέχρις ἂν εἴδωμεν, εἰ τῆς κατὰ σοῦ διαβολῆς ἐκείνου ἀπόντος ὑπολήσαι δυνήσονται.

XIV. Ταῦτα τοῦ προόδου ἀπαγγείλαντος, ὁ Πέτρος τῷ πατρὶ προσβλέψας ἔφη· ἀκούεις, Φαῦστε, ὑπὸ Σίμωνος τοῦ μάγου ἡ μεταμόρφωσίς σου γέγονεν, ὡς ἤδη φαίνεται. Καίσαρος γὰρ νομίσας ἐπὶ καιρῷ

ad provinciae Praefectum missus supervenit. Qui a nobis clam accersitus ac de causa moestitiae nostrae certior factus et ut juvaret rogatus promptissime promisit, se eum fugaturum, si quidem coeptum ipsi adjutaremus. Cumque polliciti essemus, sedulo nos omnia facturos: Ego, inquit, per multos meos amicos evulgabo, me venisse ad eum capiendum, cum Caesar multis magis sublatis de eo certior factus me ad id misisset, ut et ipsum eodem modo, quo prius praestigiatores, puniret. Et qui ex vestris cum eo versantur, quasi occulte undicumque audierint, referant ei, me ad capiendum eum esse emissum. Quibus auditis fortasse pavore correptus aufugiet. Cum aliud quid facere cogitaremus, simul ita evenit. Etenim cum et ex multis alienis clam nuntiantibus, tamquam ingens beneficium ipsi conferrent, et insuper ex familiaribus nostrorum simulatis illud audivisset et hanc esse suorum sententiam putaret, sibi cavendum esse cognovit. Antiochia igitur aufugiens cum Athenodoro huc venit, ut audivimus. Itaque tibi suademus, ne ad oppidum illud ascendas, donec viderimus, num illo egresso populus calumniae contra te disseminatae oblivisci possit.

XIV. Quae cum is, qui praecessit, nuntiasset, Petrus in patrem nostrum respiciens dixit: Audis, Fauste, metarmophosin tuam per Simonem magum factam esse, ut jam apparet. Nam cum putaret, ad poenam se a Caesare

1. αὐτὸν O.

αὐτὸν ζητεῖν, φοβηθεὶς ἔφυγε τὴν ἑαυτοῦ σοι περιθεὶς μορφήν, ὅπως ἀποθανόντος σου τοῖς σοῖς τέκνοις ἡ λύπη γένηται. ταῦτα ὁ πατὴρ ἀκούων, κλαίων καὶ ὀδυρόμενος ἔφη· ὀρθῶς ἐστοχάσω, Πέτρε. Ἀννουβίων [γὰρ οἰκεῖός] μού με φιλῶν μυστηριωδῶς τὴν ἐπιβουλὴν ἐξέφηνεν. καὶ οὐκ ἐπίστευ[σα ὁ ταλαίπωρος], ἐπειδὴ τοῦ παθεῖν ἤμην ἄξιος.

XV. Ταῦτα τοῦ πατρὸς εἰπόντος μετ' οὐ πολὺ [Ἀννουβίων ἦλθε] πρὸς ἡμᾶς τὴν Σίμωνος ἡμῖν δηλῶν φυγήν, καὶ ὡς αὐτῆς νυκτὸς ἐπὶ Ἰουδαίαν ὥρμησεν. εὗρε δὲ τὸν πατέρα ἡμῶν κοπτόμενον καὶ μετὰ ὀδυρμῶν λέγοντα· οἴμοι οἴμοι ὁ τάλας, μάγον αὐτὸν ἀκούων ἠπίστουν. ὁ ταλαίπωρος πρὸς μίαν ἡμέραν ἐπιγνωσθεὶς συμβίῳ καὶ τέκνοις ταχέως ἐπὶ τὴν προτέραν τῆς ἀγνοίας ἦλθον συμφοράν. καὶ ἡ μήτηρ ὀδυρομένη τὰς τρίχας κατέτιλλεν· ἡμεῖς δὲ περὶ τῆς τοῦ πατρὸς ἀλλοιώσεως ἀθημονοῦντες ἐστένομεν, ὅ,τι ποτὲ ἦν συννοῆσαι μὴ δυνάμενοι. Ἀννουβίων δὲ ταῦτα ἀκούων καὶ ὁρῶν ἀχανὴς ἔστη. ὁ δὲ Πέτρος ἡμῖν τοῖς τέκνοις ἐπὶ πάντων ἔφη· πιστεύσατε μοι, οὗτός ἐστι Φαῦστος ὁ πατὴρ ὑμῶν. διὸ δὴ κελεύω ὑμῖν, ὡς πατρὶ προσέχειν. παρέξει γὰρ ὁ θεὸς πρόφασίν τινα, δι' ἧς τὴν Σίμωνος ἀποδυσάμενος μορφὴν τὴν τοῦ πατρὸς ὑμῶν προδήλως ἀναδείξει πάλιν[2]. ταῦτα ἡμῖν εἰπὼν καὶ τῷ πατρὶ προβλέψας ἔφη· ἐγώ σοι ἐπέτρεψα, προσαγορεῦσαι Ἀππίωνα καὶ Ἀννουβίωνα, ἐπειδὴ ἐκ παίδων σοι φίλους εἶναι ὁμολογεῖς, οὐχὶ Σίμωνι τῷ μάγῳ συνομιλεῖν.

quaeri, territus fugit ac suum tibi vultum affinxit, ut te morte sublato filiis tuis tristitia pareretur. Ac pater, haec audiens, lacrimans et ejulans exlamavit: Recte divinasti, Petre! Etenim Annubion amicus me diligens sub mysterio quodam insidias collocatas mihi indicavit. Verum ego infelix non credebam, nam dignus eram qui paterer.

XV. His a patre dictis haud multo post Annubion ad nos venit Simonem fugisse nuntians et illa nocte Judaeam petiisse. Ac cum patrem nostrum inveniret afflictum et cum lacrimis dicentem: O me miserum, qui magum esse illum audiens non crediderim! Per unam diem ab uxore et filius recognitus ad priorem erroris miseriam celeriter infortunatus reversus sum. Mater vero plangens capillos evulsit. Nosque de patris permutatione stupentes ingemuimus, nec quid rei esset intelligere potuimus. Annubion autem hoc videns stabat silentio defixus. Tum Petrus nobis filiis coram omnibus dixit: Mihi credite, hicce est Faustus pater vester. Propterea vos hortor, ut habeatis eum, quomodo patrem. Deus enim praebebit occasionem aliquam, qua Simonis vultu exuto patris vestri evidenter recuperare possit effigiem. Quibus ad nos dictis patrem intuens: Ego tibi, inquit, permisi, ut Appionem et Annubionem salutatum ires quia eos a pueris tibi amicos esse asserebas, non ut Simoni mago conversareris.

1. ἀννοβίων (sic) O. 2. πάλαι O.

XVI. *Καὶ ὁ πατήρ· ἥμαρτον, ἔφη, ὁμολογῶ. καὶ Ἀννουβίων· καὶ αὐτός ἐγώ, ἔφη, σὺν αὐτῷ δέομαί σου, συγγνῶναι γέροντι εὐγενεῖ καὶ ἀγαθῷ ἠπατημένῳ· παίγνιον γὰρ γέγονεν ὁ δυσιυχὴς τοῦ περιβοήτου. πλὴν ὡς γέγονε*[1] *φράσω. ὁ ἀγαθὸς γέρων ἦλθε προσαγορεύσων ἡμᾶς. ἐτυγχάνομεν δὲ αὐτῆς ὥρας κατὰ ταυτὸν οἱ ἐκεῖ παρόντες ἀκούοντες Σίμωνος, ὃς ἀποδιδράσκειν ἤθελε αὐτῇ νυκτὶ ἀκηκοώς, ἐπιδημήσειν ποθέν τινας ἐνταῦθα τῇ Λαοδικείᾳ*[2] *ἐκ προσταγῆς βασιλικῆς ζητοῦντας αὐτόν. Φαύστῳ δὲ εἰσιόντι τὸν ἴδιον θυμὸν ἐπέστρεφε*[3] *φήσας οὕτως πρὸς ἡμᾶς· ἀλὼν αὐτὸν ἐλθόντα συμμετασχεῖν ὑμῖν ποιήσατε· ἐγὼ δὲ μύρον τι σκευάσω, ἵνα δειπνήσας καὶ ἀναλαβών τι ἴδιον χρίσας πρόσωπον τὴν ἐμὴν πᾶσιν ἔχειν δόξῃ*[4] *μορφήν. ὑμεῖς δὲ βοτάνης τινὸς ὕλης προσαλειψάμενοι ὑπ' ἐμοῦ οὐκ ἀπατηθήσεσθε ὑπὸ τῆς τένης αὐτοῦ μορφῆς, πλὴν τοῖς ἄλλοις πᾶσιν ὁ Φαῦστος δόξει εἶναι Σίμων.*

XVII. *Ἐκείνου δὲ ταῦτα προλέγοντος ἔφην· τί νῦν σοι ἐκ τῆς τοιαύτης μηχανῆς ἐστὶ κέρδος; καὶ ὁ Σίμων ἔφη· πρῶτον μὲν συλλαβόντες αὐτὸν οἱ ἐμὲ ζητοῦντες παύσονται τῆς κατ' ἐμοῦ ζητήσεως. εἰ δὲ καὶ ὑπὸ βασιλικῆς χειρὸς ἀναιρεθείη, μέγιστον πένθος ἕξουσιν οἱ τούτου παῖδες, οἵτινες ἐμὲ καταλιπόντες, προσφυγόντ[ες τῷ Πέτρῳ] συνεργοῦσιν. νῦν γάρ σοι, ὦ Πέτρε, ὁμολογῶ τὰ ἀληθῆ, ὅτι ἐφοβούμην τὸν [Σίμωνα, τῷ*

XVI. Et pater: Peccavi, inquit, fateor. Ac Annubion: Ego quoque, inquit, simul cum eo te rogo, ut seni generoso et bono decepto ignoscas. Namque infelix ludibrium factus est decantati illius hominis. Sed jam narrabo, quomodo acciderit. Bonus hic senex venit ad nos salutandos. Contigit autem ut illa hora cum Simone essemus, qui ipsa nocte fuga se salvare volebat, cum audisset, adesse quosdam in hac Laodiceae civitate, qui ex Imperatoris praecepto eum quaererent. Et postquam omnem suum furorem contra Faustum ingressum converterat, ita ad nos locutus est: Illum, qui advenit, mensae sonsortem vobiscum faciatis, ego vero unguentum quoddam componam, quo suam ipsius faciem post coenam perunctus omnibus meum vultum circumferre videatur. Vos autem herbae cujusdam succo a me prius peruncti non fallemini de commutato illius vultu, at ceteris omnibus Faustus esse videbitur Simon.

XVII. Quae cum ille praedixisset, quodnam, inquam, tibi lucrum veniet ex hujuscemodi machinatione? Ac Simon respondit: Primum quidem, illo capto, qui me quaerunt, investigatione contra me inita desistent. Si vero etiam manu regia sublatus fuerit, magnopere lugebunt filii ejus, qui me derelicto ad Petrum sese contulerunt, eique collaborant. Jam enim tibi, Petre, verum confiteor,

1. *γέρων* O. Cfr. Ruf. X, 58.
2. *Λαοδικίᾳ* O.
3. *ἐπέστρεφε* addidi ex conjectura.
4. *δόξει* O.

www.libtool.com.cn

Φαύ]στῳ τοῦτο μηνύειν[1]. ἀλλ' οὐδὲ καιρὸν ἡμῖν ὁ Σίμων ἐδίδου πρὸς τὸ ἰδιάζειν· [εἰ μή][2] αὐτῷ τὴν ἐκ τοῦ Σίμωνος κακὴν ἂν ἔφηνα βουλήν. πλὴν ἐν μέσῃ γε νυκτὶ ἀναστὰς ὁ Σίμων τὴν[3] ἐπὶ Ἰουδαίαν ἐποιεῖτο φυγήν, προπεμπόμενος ὑπό τε Ἀππίωνος καὶ Ἀθηνοδώρου. τότε ἐγὼ δυσαρέστως ἔχειν τὸ σῶμα ὑπεκρινάμην, ὅπως μείνας μετὰ τὸ ἐκείνους προευθῆναι εὐθὺς αὐτὸν ἐπὶ τὰ ἑαυτοῦ ἐπανελθεῖν ποιήσω, εἴ που δύναιτο παρ' ὑμῖν κρυπτόμενος λανθάνειν μήπως ὑπὸ τῶν Σίμωνος ζητούντων ὡς Σίμων ληφθεὶς ὑπὸ βασιλικῆς ὀργῆς ἀποθάνῃ. ἀωρίας οὖν αὐτὸν ἐξαπέστειλα πρὸς ὑμᾶς, καὶ κηδόμενος αὐτοῦ νύχιος ἦλθον ὀψόμενός τε αὐτὸν καὶ τάχιον ἀπελευσόμενος, πρὶν τοὺς πέμψαντας [τὸν Σίμωνα] ἐπανελθεῖν[4]. καὶ προσβλέψας ἡμῖν ἔφη· ἐγὼ Ἀννουβίων τὴν τοῦ πατρὸς ὑμῶν ἀληθῆ μορφὴν ὁρῶ ἐναλειψάμενος ὑπ' αὐτοῦ τοῦ Σίμωνος, ὡς προεδιηγησάμην[5], ἵνα τοῖς ἐμοῖς ὀφθαλμοῖς ἡ ἀληθὴς Φαύστου φαίνηται μορφή. ἐκπεπληγμένος οὖν σφόδρα θαυμάζω τὴν Σίμωνος μαγείαν, ὅτι ἑστῶτες τὸν ὑμέτερον οὐ γνωρίζετε[6] πατέρα. κλαιόντων δὲ τοῦ τε πατρὸς καὶ τῆς μητρὸς καὶ ἡμῶν αὐτῶν ἐπὶ τῇ κοινῇ πάντων ἡμῶν συμφορᾷ, συμπαθήσας καὶ ὁ Ἀννουβίων ἐδάκρυσεν.

XVIII. Τότε καὶ ὁ Πέτρος τῆς τοῦ πατρὸς μορφῆς τὴν ἀποκατάστα-

timore Simonis me esse impeditum, quominus Fausto haec significarem. Verum enimvero ne tempus quidem Simon nobis dedit secretius colloquendi; alias pravum Simonis consilium ei patefecissem. Interea media nocte exsurgens Simon Judaeam fuga petiit cum comitibus Appione et Athenodoro. Tunc ego valetudinis incommoda finxi, ut domi remanens post illorum profectionem celeriter eum ad suos remitterem, si forte apud vos aliquo modo posset occultari, ne a Simonis investigatoribus captus ejus loco regio odio periret. Itaque nocte intempesta eum ad vos misi, sollicitusque noctu perveni, ut eum viderem ac velocius redirem, priusquam supervenirent, qui Simonem comitati sunt. Et conversus ad nos: Ego Annubion, inquit, patris vestri verum video vultum, quippe qui a Simone perunctus fuerim, sicuti antea enarravi, ut vera Fausti facies meis oculis appareret. Unde stupeo atque admiror Simonis magiam, quod vos circumstantes patrem vestrum non agnoscitis. Flentibus autem patre et matre nobisque ipsis de communi calamitate commiseratione commotus flebat et Annubion.

XVIII. Tum Petrus patri vultum se restituturum nobis promisit ad eum

1. ὅτι ἐφοβούμην τότε, τῷ Φαύστῳ τοῦτο μηνύειν Ruf.
2. Codicis lacuna desinit in litt. μῶν. Tum ἐφάνη p. ἂν ἔφηνα idem. Alius conjectaverit: [ἴσως συνόντων ἡ]μῶν αὐτῷ τὴν ἐκ τοῦ Σίμωνος κακὴν ἂν ἐφάνη βουλήν.
3. τὸν O.
4. ἐπανελθὼν O.
5. ὧν προδιηγήσαμεν p. ὡς προεδιηγησάμην O.
6. γνωρίζω O.

www.libtool.com.cn

σιν ἡμῖν ἐπηγγείλατο, εἰπὼν πρὸς αὐτόν· ἤκουσας, ὦ Φαῦστε, τὰ καθ' ἡμᾶς. ὅταν οὖν ἡμῖν χρήσιμος ἡ περικειμένη σοι πλάνος μορφὴ γένηται καὶ ὑπουργήσῃς ἡμῖν, πρὸς ἃ κελεύομεν, τότε κἀγώ σοι τὴν ἀληθινήν σου μορφὴν ἀποδώσω πρότερον ποιήσαντι τὰ παρ' ἐμοῦ σοι λεγόμενα. τοῦ δὲ πατρὸς εἰπόντος· πᾶν ὅ,τι ἄν μοι δυνατὸν ᾖ προθυμότατον ποιήσω, μόνον τὴν ἐμὴν τοῖς ἐμοῖς ἀπόδος μορφήν, ὁ Πέτρος ἀπεκρίνατο· αὐτὸς ἰδίοις ὠσὶν ἀκήκοας τῶν προόδων μου ἀπὸ Ἀντιοχείας ἐληλυθότων καὶ εἰπόντων, ὡς ἐκεῖ γεγονὼς ὁ Σίμων ἰσχυρῶς τοὺς ὄχλους κατ' ἐμοῦ παρώζυνε, μάγον καὶ μιαιφόνον, πλάνον τε καὶ γόητα ἀποκαλῶν ἐπὶ τοσοῦτον, ὡς γλίχεσθαι πάντας τοὺς ἐκεῖ τῶν ἐμῶν ἀπογεύσασθαι σαρκῶν. ποιήσεις οὖν, ὡς ἐγὼ λέγω, καταλιπὼν Κλήμεντα παρ' ἐμοὶ καὶ προαγαγὼν ἡμᾶς εἰς Ἀντιόχειαν μετὰ τῆς συμβίου σου, ἔτι δὲ Φαυστίνου καὶ Φαυστινιανοῦ τῶν υἱῶν σου. συνέσονται δέ σοι καὶ ἄλλοι τινές, οὓς ἐγὼ κρίνω δυνατοὺς ὑπουργῆσαι τῷ ἐμῷ θελήματι.

XIX. Μετὰ τούτων ἐν τῇ Ἀντιοχείᾳ [γενόμενος], ἐν ὅσῳ ὡς Σίμων φαίνῃ, δημοσίᾳ κήρυξον τὴν σεαυτοῦ μετα[μέλειαν εἰπών·] ἐγὼ Σίμων ταῦτα ὑμῖν κηρύσσω ὁμολογῶν[1], ἀδίκως καταψευ[σασθαι τὰ τοῦ Πέτρου· οὐ γάρ] ἐστι πλάνος, οὐ μιαιφόνος, οὐ γόης, οὐδὲ ὅσα ποτὲ φαῦλα περὶ αὐτοῦ λέγων ἔφθανον ὑπὸ θυμοῦ ἑλαυνόμενος. δέομαι τ' ἐμῶν αὐτὸς ἐγώ, ὁ τοῦ πρὸς ὑμᾶς μίσους αἴτιος αὐτῷ γεγονώς, παύσασθε μισοῦντες αὐτόν· τοῦ γὰρ ὑπὸ θεοῦ πρὸς σωτηρίαν κόσμου ἀπεσταλμένου ἀληθοῦς προφή-

dicens: Audivisti, Fauste, quae ad nos spectant. Si ficta in te vultus imago utilis nobis fiat et tu nos adjuveris ad ea, quae mandabo, tunc propriam tibi restituam faciem, si prius feceris, quae tibi jussero. Ac patri dicenti: Quaecumque possum, lubenter perficiam, si modo meis effigiem meam reddas, Petrus respondit: Ipse auribus tuis audisti ex iis, qui a me praemissi Antiochia redierunt, quomodo Simon illic versatus multitudinem vehementer contra me excitarit, magum et caede pollutum, deceptorem et praestigiatorem me nuncupans, ita ut vehementur cupiant illic, omnes vel carnibus meis vesci. Fac ergo quae tibi praecipiam, et, Clemente apud me relicto, cum uxore tua et Faustino ac Faustiniano, filiis tuis, duc nos Antiochiam. Erunt autem tecum et alii quidam, quos ad adjuvandum meum consilium idoneos credidero.

XIX. Quando igitur simul cum iis Antiochiae versaris et Simon quidem esse videris, palam praedica poenitentiam tuam atque dic: Ego Simon vobis annuncio atque fateor, me inique de Petro mentitum esse; non enim ille est deceptor, aut caede pollutus, aut praestigiator, aut quae alia cuncta de eo mala protuli furore incitatus. Obsecro ego vos ipse, qui odii vestri contra eum noxius sum auctor, ut id deponatis: nam ille est veri ad salutem mundi a Deo missi prophetae verus apostolus. Quapropter et ipse suadeo, ut ei cre-

1. ὁμολογοῦν O.

www.libtool.com.cn

του ἀληθής ἐστιν ἀπόστολος. διὸ καὶ αὐτὸς συμβουλεύω, αὐτῷ ὑμᾶς πείθεσθαι περὶ ὧν κηρύσσω, ἐπεὶ πᾶσα ὑμῶν ἡ πόλις ἄρδην ἀπολεῖται. δι' ἣν δὲ αἰτίαν ὑμῖν ταῦτα ὡμολόγησα, εἰδέναι ὑμᾶς θέλω. ταύτης τῆς νυκτὸς ἄγγελοί με τοῦ θεοῦ, τὸν ἀσεβῆ, ὡς ἐχθρὸν ὄντα τῷ τῆς ἀληθείας κήρυκι, δεινῶς ἐμαστίγουν. παρακαλῶ οὖν, μηδ' ἂν αὐτὸς ἐγὼ ἄλλοτε ἐπελθὼν κατὰ Πέτρου ἐπιχειρῶν λέγω, μὴ ἀποδέξησθέ με. ἐξομολογοῦμαι γὰρ ὑμῖν· ἐγὼ μάγος, ἐγὼ πλάνος, ἐγὼ γόης. ἔξεστι γὰρ ἴσως, μετανοίᾳ ἀπολῦσαι τὰ προπεπραγμένα μοι ἁμαρτήματα.

XX. Ταῦτα τοῦ Πέτρου ὑποτιθεμένου, οἶδα, ἔφη, ὁ πατήρ, ὅ,τι βούλει· διὸ μὴ κάμνε. ἐμοὶ γὰρ οὐχ ἧττον μελήσει ἐκεῖσε ἐλθόντι διαλεχθῆναι, ἃ χρὴ περὶ σοῦ διαλέγεσθαι. καὶ ὁ Πέτρος πάλιν ὑπετίθετο· ὅταν οὖν νοήσῃς τὴν πόλιν μεταβαλομένην τοῦ μίσους, ἐπιθυμοῦσαν δὲ ἰδεῖν ἡμᾶς, πέμψας δήλωσόν μοι, καὶ αὐτόθι ἐπικαταληψόμεθά σε. γενόμενος δὲ ἐκεῖ αὐθήμερον τὴν ἀλλοτρίαν σου μορφὴν ἀπελάσας τὴν σὴν τοῖς σοῖς καὶ πᾶσι τοῖς ἄλλοις ἁπλανῶς φαίνεσθαι ποιήσω. ταῦτα εἰπὼν συνεῖναι αὐτῷ τοὺς υἱούς, ἀδελφοὺς δὲ ἐμούς, ἐποίησε καὶ Ματτιδίαν [1], τὴν μητέρα ἡμῶν, καὶ τῶν γνησιωτέρων τινὰς συναπέρχεσθαι ἐκέλευσεν. ἡ δὲ μήτηρ συναπελθεῖν αὐτῷ ὀκνηρῶς εἶδε λέγουσα [2]· μοιχὰς γὰρ εἶναι δοκῶ τῇ Σίμωνος συνοῦσα μορφῇ. εἰ δ' ἄρα συναπέρχεσθαι αὐτῷ ἀναγκασθήσομαι, ἀδύνατον ἐπὶ τῆς αὐτῆς τύχης κλίνης συγκατακλιθήσεσθαι. οὐκ οἶδα δέ, εἰ καὶ συναπελθεῖν αὐτῷ πεισθήσομαι. ὀκνοῦσαν δὲ αὐτὴν ἀπελ-

datis in iis, de quibus loquor, ne forte oppidum vestrum funditus pereat. Verum enimvero scire vos volo, cur haec confitear. Dei Angeli me impium, quod inimicus essem nuntio veritatis, hac nocte vehementer flagellarunt. Hortor ergo, ne mihi credatis, etiamsi alias veniens Petrum calumnier. Confiteor enim vobis: egometipse sum magus, ego deceptor, ego praestigiator. Sic forsan licet, peccata prius a me commissa poenitentia delere.

